

Google





HISTORIA CARMINUM HOMERICORUM.

ΙΣΤΟΡΙΑ ΤΩΝ ΟΜΗΡΙΚΩΝ ΕΠΩΝ

ΣΥΓΓΡΑΦΕΙΣΑ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΜΙΣΤΡΙΩΤΟΥ,


ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

„Καίτοι ταῦτα τὰ ποιήματα συνέστηκεν ὡς ἐνδέχεται ἄριστα καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις." Ἀριστ. Περὶ ποιητ. 26.

ΕΝ ΛΕΙΨΙΑι

ΤΥΠΟΙΣ ΟΘΩΝΟΣ ΒΙΓΑΝΔΟΥ.

1867.


LIBRARY OF THE TAYLOR INSTITUTION
UNIVERSITY
16 NOV. 1932
OF OXFORD

ΤΩι

ΦΙΛΟΓΕΝΕΣΤΑΤΩι ΚΑΙ ΦΙΛΟΜΟΥΣΩι

ΚΥΡΙΩι

ΘΕΟΔΩΡΩι Π. ΡΟΔΟΚΑΝΑΚΗι,

ΙΔΡΥΤΗι

ΤΟΥ ΦΕΡΩΝΥΜΟΥ ΑΓΩΝΟΣ

ΜΕΓΙΣΤΗΣ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΕΛΑΧΙΣΤΟΝ

ΤΕΚΜΗΡΙΟΝ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΣΥΓΓΡΑΦΕΥΣ.

ΠΡΟΛΟΓΟΣ.

Δικαίως ὑπὸ πάντων ὁμολογεῖται, ὅτι οἱ ἡμέτεροι ὁμογενεῖς πολλαχῶς καὶ γενναίως πρὸς ἀναγέννησιν τῶν γραμμάτων ἐν τῇ κοινῇ πατρίδι συνεβάλοντο. Διότι οἱ μὲν τούτων ἀφειδέστατα τὸν ἴδιον πλοῦτον πρὸς μεγαλοπρεπῶν καὶ πολυταλάντων οἰκοδομημάτων ἀνέγερσιν ἐδαπάνησαν, οἱ δὲ παντοίους τρόπους πρὸς τῶν ἡμετέρων λογίων ἐνθάῤῥυνσιν ἐπενόησαν. Καὶ δὴ ὁ ἐν Ὀδησσῷ φιλόμουσος κύριος Ῥοδοκανάκης τὸν φερώνυμον ἀγῶνα ἵδρυσε καὶ τρεῖς σοφοὺς ἄνδρας ἀγωνοδίκας ὠνόμασεν. Διὰ τῆς ἱδρύσεως δὲ ταύτης τὸν θεμέλιον λίθον πραγματικῆς καὶ ζώσης Ἀκαδημίας ἔθηκεν. Τῷ μεγάλῳ τούτῳ τοῦ Ἑλληνικοῦ εὐεργέτῃ τὸ ἡμέτερον πόνημα ὡς ἐλάχιστον εὐγνωμοσύνης τεκμήριον ἀφιεροῦμεν. Διότι καὶ τῇ γενναιότητι τούτου τὰς ὁμηρικὰς ἡμῶν σπουδὰς ὀφείλομεν καὶ τὸ ἀφιερούμενον σύγγραμμά ἐστι προϊὸν τοῦ ἀγῶνος, ὃν αὐτὸς ἵδρυσεν. Οὐ φέρει μὲν τὸν στέφανον, ὃν οἱ ἀγωνοδίκαι πλέκουσιν, ἀλλ' ἔστιν ἀσθενῶν μὲν δυνάμεων προϊόν, πολυετῶν δὲ πόνων καὶ μεγάλων μόχθων τελευταῖον ἐπιγέννημα.

Τὸ ἀφιερούμενον σύγγραμμα ὑπεβλήθη εἰς τὴν κρίσιν τῶν ἐπὶ τούτῳ ὁρισθέντων ἀγωνοδικῶν, ἐξ ὧν ὁ πολιὸς καὶ σεβάσμιος Ἀσώπιος τὴν περὶ αὐτοῦ κρίσιν συνέταξεν. Ἐν τῇ τρίτῃ περιόδῳ τοῦ εἰρημένου ἀγῶνος ὑπεβλήθησαν δύο πονήματα, ὧν τὸ μὲν ἡμέτερον ὁ σοφὸς Εἰσηγητὴς ἐκ τοῦ ἐπιγεγραμμένου Ἀριστοτελικοῦ ἀποσπάσματος Ἀριστοτελικὸν ὠνόμασε, τὸ δ' ἕτερον δι' ὁμοίαν αἰτίαν Πινδαρικὸν ἐκάλεσεν. Τὸ μὲν Ἀριστοτελικὸν κατὰ τὸν σοφὸν ἄνδρα

πλὴν τοῦ ζητουμένου περιεῖχε περιττὴν καὶ ἄσκοπον ὕλην, τὸ δὲ Πινδαρικὸν ἦν ἐν πολλοῖς ἐλλιπές. Διὰ τοῦτο τὸν μὲν συγγραφέα τοῦ πρώτου δευτέρας ὑποβολῆς τοῦ συγγράμματος ἀπέκλεισε, τὸν δὲ τοῦ δευτέρου εἰς τὴν τῶν ἐλλιπόντων συμπλήρωσιν παρέπεμψεν. Μετὰ παρέλευσιν δὲ χρόνου τινὸς ὁ ἀξιότιμος τμηματάρχης τοῦ Ὑπουργείου τῆς δημοσίας ἐκπαιδεύσεως ἀντὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν, ἣν ὁ σοφὸς Εἰσηγητὴς ἀπῄτει, τὰς ὑποθέσεις τῶν διαφόρων ῥαψῳδιῶν προσθεὶς ἔτυχε τοῦ ἄθλου. Ἐνταῦθα τὴν ἀνάλυσιν τῶν δύο ὑποβληθέντων πονημάτων καὶ τὴν παραβολὴν αὐτῶν πρὸς ἄλληλα παραλείποντες εὐχόμεθα ἐκ καρδίας, ἵνα ἡ ἀπόφασις τοῦ Πατριάρχου τῶν ἑλληνικῶν γραμμάτων ἀποδειχθῇ δικαία πρὸς τιμὴν τῆς κρίσεως καὶ ἀνάπαυσιν τῆς συνειδήσεως αὐτοῦ. Παραπέμποντες δὲ τὴν ἀπόφασιν εἰς τὸν Ἄρειον Πάγον τῆς κοινῆς γνώμης ἐννοοῦμεν δικαστὰς οὔτε τοὺς ἐπιστημονικὰ συγγράμματα ἀναγινώσκοντας, ὅπως δι' ἠχηρῶν φράσεων τὰ ὦτα αὐτῶν ἐρεθίσωσιν, οὔτε τοὺς ζητήματα τῆς κριτικῆς μελετῶντας, ὅπως διὰ ποιητικῶν εἰκόνων τὴν ἰδίαν φαντασίαν ἐξάψωσιν, οὔτε τοὺς σοφοὺς ἄνδρας, ὧν ἡ ψῆφος μέγα τὸ βάρος ἐν ἄλλοις ζητήμασι τῆς ἐπιστήμης κέκτηται, ἀλλὰ μόνον ἐκείνους, οἵτινες πολλὰ ἔτη εἰς ὁμηρικὰς σπουδὰς κατέτριψαν καὶ τὰς διαστάσεις τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν ὀρθῶς κατενόησαν. Τοιοῦτοι δυστυχῶς παρ' ἡμῖν ὑπάρχουσι πάνυ ὀλίγοι. Εὐχόμεθα δέ, ἵνα οὗτοι οἱ ὀλίγοι Ἀρειοπαγῖται τὴν ἀπόφασιν τοῦ σοφοῦ ἀνδρὸς κυρώσωσιν.

Ἐνταῦθά που ἴσως ὁ ὅλος τοῦ ἡμετέρου πονήματος πρόλογος ἔληγεν, εἰ μὴ ὁ πολυμαθὴς γέρων ἐδίδεν ἡμῖν συμβουλάς τινας τὰ ἡμέτερα ἁμαρτήματα δεικνυούσας. Καὶ ἐν τοῖς πρώτοις τὸ γῆρας τοῦ ἀνδρὸς σεβόμεθα, καὶ ἐν τοῖς μάλιστα τὴν πολυμάθειαν αὐτοῦ τιμῶμεν, ἀλλὰ δυστυχῶς τὸ ἡμέτερον πόνημα ὀφείλει εἶναι προϊὸν οὐχὶ συμβουλῶν σοφοῦ ἀνδρός, ἀλλὰ τῶν ἀσθενῶν τοῦ συγγραφέως δυνάμεων. Τῇ ἀληθείᾳ πικρὸν μέν ἐστιν ἡμῖν, ὅτι οὐκ ἀκολουθοῦμεν ταῖς συμβουλαῖς τοῦ Πατριάρχου τῆς

ἐθνικῆς παιδεύσεως, ἀλλ' ἔχομεν τὴν παραμυθίαν, ὅτι τὰ δειχθέντα ἁμαρτήματα μὴ μεταβαλόντες πρὸς τιμὴν αὐτοῦ ἀκίβδηλον τὴν δίκην εἰς τὸν Ἄρειον Πάγον εἰσάγομεν. Προστιθέντες δὲ καὶ τὰς αἰτίας τῆς παρακοῆς ἴσως συγγνώμης παρὰ τοῦ συμβουλεύσαντος τυγχάνομεν.

Α'. Ὁ πολυμαθὴς γέρων ὁμολογεῖ μὲν[1]) τὴν ἀξίαν τοῦ Ἀριστοτελικοῦ συγγράμματος, ἀλλὰ θεωρεῖ σπουδαιότατον ἁμάρτημα, ὅτι ὁ συγγραφεὺς καὶ περιττὴν καὶ ἄσκοπον ὕλην ἐπραγματεύθη. Τοιαύτην δ' ἐννοεῖ καὶ ὀνομάζει ὁλόκληρον τὸ πρῶτον βιβλίον, δηλαδὴ τὸν πρῶτον τοῦ ζητήματος ὅρον. Ἀλλ', εἰ ὁ σεβάσμιος γέρων διετήρει ἐν τῇ μνήμῃ τὴν τοῦ ζητήματος θέσιν, ἐν ᾗ ὑπ' αὐτοῦ ἐζητήθη „Ἡ ἱστορία τῶν ὁμηρικῶν ἐπῶν" ὑπὸ τὸν ὅρον „νὰ ἐκτεθῇ μετὰ τῆς δυνατῆς ἀκριβείας" καὶ „Εἰ ὑπῆρχε παρὰ τοῖς ἀρχαίοις διαφωνία περὶ Ὁμήρου ...", οὐκ ἔμελλε θεωρῆσαι τὰ περὶ τῆς πατρίδος, τὰ περὶ τῆς ἐποχῆς καὶ τὰ τοιαῦτα ὡς περιττὴν καὶ ἄσκοπον ὕλην, ἀλλ' ὡς σπουδαῖον τοῦ ζητήματος ὅρον. Πάντες οἱ ἱστορήσαντες ἄλλα τῆς ποιήσεως εἴδη τὰ κατὰ τοὺς ποιητὰς ὡς σπουδαῖον τῆς ἱστορίας μέρος ἐθεώρησαν. Παραδείγματος χάριν ὁ Klein συνέγραψεν ἱστορίαν τοῦ δράματος (Geschichte des Dramas), ἀλλ' οὔτε τὸν βίον τοῦ Αἰσχύλου, οὔτε τὸν τοῦ Σοφοκλέους, οὔτε τοὺς τῶν ἄλλων ποιητῶν ἄσκοπον ὕλην ἐνόμισεν, ἀλλ' ἀκριβῶς τὰ κατ' αὐτοὺς ἐπραγματεύθη. Ὁ δὲ συγγραφεὺς τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν διὰ μείζονα αἰτίαν ὤφειλε ταῦτα ἐξετάσαι. Διότι αἱ πολλαὶ τοῦ

---

1) Ὅρα ἔκθεσ. σελ. 10 „Καὶ ἐν τούτοις δὲ καὶ ἐν τοῖς ἔμπροσθεν οὔτε τὴν φιλοπονίαν, οὔτε τὴν φιλοτιμίαν τοῦ συγγραφέως παραγνωρίζομεν, μηδὲν ἀνέπαφον θελήσαντος παραλιπεῖν τῶν περὶ Ὁμήρου περιεχόντων τι, ἔστω καὶ τὸ ἐλάχιστον. Ἐπαινοῦμεν καὶ τὴν ὑπομονὴν καὶ τὸν σκοπὸν αὐτοῦ, προσπαθήσαντος νὰ προσενέγκῃ διεξοδικὸν καὶ ὅσον ἔνεστι πλῆρες σύγγραμμα περὶ πραγμάτων τοσοῦτον θροῦν παρὰ τοῖς ἀλλοδαποῖς ποιούντων ......" καὶ σελ. 12 „Καὶ ἀνωτέρω δὲ εἰπόντες περιττὴν καὶ ἄσκοπον ὕλην ἐννοοῦμεν μόνον ὡς πρὸς τὸν ὡρισμένον σκοπὸν τοῦ προκειμένου θέματος, ἄλλως δὲ πρὸς γενικωτέραν πρόθεσιν περὶ Ὁμήρου καὶ ταῦτα καὶ ἔτι πλείονα οὔτε ἄτοπα οὔτε ἄκαιρα."

ποιητοῦ πατρίδες καὶ αἱ πολλαὶ αὐτοῦ ἐποχαί εἰσιν αἱ πρῶται αἰτίαι, δι' ἃς οἱ κριτικοὶ τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν ἀρνοῦνται. Αὕτη δὴ ἦν ἡ πρώτη αἰτία, δι' ἣν ὁ Vico *τὸ ὁμηρικὸν ζήτημα ἤγειρεν. Διὰ ταῦτα πάντες οἱ τῆς Γερμανίας καθηγηταί, ὅσοι καὶ βραχεῖαν ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν παραδίδουσι, τὰ εἰρημένα ἐν τοῖς πρώτοις ἐξετάζουσιν. Ὁ* Lauer *ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν* (Geschichte der Homerischen Poesie) *συγγράψας ταῦτα οὔτε περιττὴν, οὔτε ἄσκοπον ὕλην θεωρεῖ. Διότι περὶ τούτων πραγματεύεται, ὡς ὁ σοφὸς ἀνὴρ ἐν τῇ ἐπιγραφῇ τῶν κεφαλαίων δύναται ἰδεῖν.*

Erstes Buch.

Erster Abschnitt. Die Quellen und Hülfsmittel.

Zweiter Abschnitt. Das Vaterland des Homer.

Dritter Abschnitt. Das Zeitalter des Homer.

Πρὸς δὲ τίς ἀγνοεῖ, ὅτι ἡ ἐτυμολογία τοῦ ὀνόματος τοῦ Ὁμήρου καὶ τὰ πολλὰ ἔπη, ἅπερ αὐτῷ ἀποδίδονται, μεγάλαι καὶ σπουδαῖαι αἰτίαι εἰσὶ πρὸς ἀναίρεσιν τῆς προσωπικῆς τοῦ ποιητοῦ ὑπάρξεως; Κρίνομεν περιττόν, ἵνα ἐνταῦθα ἐπαναλάβωμεν, ὅσα ἐν τῷ ἡμετέρῳ συγγράμματι ἀκριβῶς ἐξετάζονται. Εἰ λοιπὸν ὁ σοφὸς Εἰσηγητὴς ὄντως διάφορον γνώμην περὶ τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν ἔχει, εἰκάζομεν, ὅτι ταύτην ἐμόρφωσεν ἐκ τῆς ἀναγνώσεως μικρᾶς τινος διατριβῆς, ἐν ᾗ ὁ συγγραφεὺς μόνον ἓν μέρος τῆς ἱστορίας τῶν ἐπῶν ἐξήταζεν. Διὰ ταῦτα περιττὴ καὶ ἄσκοπος ὕλη ἦν οὐχὶ αἱ ἐπιστημονικαὶ τοῦ Ἀριστοτελικοῦ συγγραφέως ἀποδείξεις, ἀλλ' αἱ Πινδαρικαὶ τοῦ Πινδαρικοῦ εἰκόνες.

Β΄. Ἐπειδὴ ὁ σοφὸς ἀνὴρ τοιαύτην περὶ τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν γνώμην ἔχει, νομίζει, ὅτι ὁ συγγραφεὺς οὐκ ἐδάμασε τὴν ὕλην καὶ συμβουλεύει αὐτῷ, ἵνα τὴν ἐπιγραφὴν τοῦ πονήματος εἰς Ὁμηρικὰ μεταβάλῃ. Ἐπειδὴ ὅμως ἡ αἰτία ἡμαρτημένη ἐδείχθη, ἕκαστος ἐννοεῖ τὴν ἀξίαν τῆς συμβουλῆς. Δάμασιν δὲ τῆς ὕλης ἐννοεῖ ὁ πολυμαθὴς

ἀνὴρ τὴν κατάταξιν αὐτῆς κατὰ συγγραφεῖς, δηλαδὴ τί εἶπεν ὁ Müller χωρίς, τί ὁ Nitzsch χωρὶς καὶ οὕτως ἐφεξῆς, ὡς γίνεται δῆλον ἔκ τε τῶν συμβουλῶν, ἃς ἔδιδε τοῖς ἀγωνισομένοις, καὶ ἐκ τοῦ τρόπου, καθ' ὃν οὗτος τὴν ἱστορίαν τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων ἐπραγματεύθη. Ἴσως πλανώμεθα, ἀλλὰ κατὰ τὴν ἀσθενῆ ἡμῶν κρίσιν κρίνοντες νομίζομεν, ὅτι τὰ τοιαῦτα οὐχὶ ἱστορίαι, ἀλλὰ λεξικά εἰσιν. Τὴν ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν διῃρέσαμεν εἰς τρία· Τίς ὁ ποιητής; Πῶς μέχρις ἡμῶν τὰ ἔπη αὐτοῦ περιῆλθον; Καὶ τίνα ἀξίαν ταῦτα ἔχουσιν; Φυσικωτέραν τῆς διαιρέσεως ταύτης οὐδεμίαν εὑρίσκοντες παρακαλοῦμεν τὸν σοφὸν ἄνδρα, ἵνα ἀποφανθῇ, τίνα κρείττονα μέθοδον πρὸς διαίρεσιν τῆς ὕλης ἐπενόησεν.

Γ'. Ὁ πολυμαθὴς γέρων ψέγει τὸν συγγραφέα, ὅτι οὗτος τὸν Graf Pasch van Krienen ὀνομάζει ἀξιωματικὸν τοῦ ῥωσσικοῦ ναυτικοῦ, ἐν ᾧ κατὰ τὰς ἐρεύνας τοῦ σοφοῦ ἀνδρὸς οὗτος εἷλκε τὸ γένος ἐξ Ὀλλανδῶν. Ἀλλὰ πόθεν οἱ γονεῖς αὐτοῦ κατήγοντο, ἢ ποῦ αὐτὸς ἐγεννήθη, οὔτε τότε ἐξητάσαμεν, οὔτε νῦν μετὰ τοὺς ψόγους τοῦ σοφοῦ ἀνδρὸς ἐξετάζομεν. Ἡμῖν ἱκανόν ἐστιν, ὅτι ὁ van Krienen ἀνῆκε τῷ ῥωσσικῷ ναυτικῷ. Οὕτω πάντες περὶ αὐτοῦ ὁμιλοῦσι καὶ οὐδεὶς αὐτοὺς ψέγει. Τὴν δὲ καταγωγὴν αὐτοῦ ὀφείλει ἐξετάσαι οὐχὶ ὁ συγγραφεὺς τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν, ἀλλ' ὁ συγγραφεὺς (ἂν δηλαδή ποτε τοιοῦτος ὑπάρξῃ) τῆς ἱστορίας τῶν πατρίδων τῶν γονέων τῶν ἀρχαιολόγων, ἤ, μᾶλλον εἰπεῖν, τῶν ἀπατεώνων (οἱ Γερμανοί γε τὴν ὑπὸ van Krienen ἀνακάλυψιν τοῦ τάφου τοῦ Ὁμήρου ὀνομάζουσι Betrügerei). Ἐν τῷ ἡμετέρῳ συγγράμματι μνημονεύονται ἴσως ἑκατοντάδες ἀνδρῶν σπουδαίαν θέσιν ἐν τῇ ἱστορίᾳ τῶν ὁμηρικῶν ἐπῶν κατεχόντων, ἀλλ' εἰλικρινῶς ὁμολογοῦμεν, ὅτι, εἰ μὴ πάντων, τῶν πλείστων γε ἀγνοοῦμεν καὶ τὴν πρώτην καὶ τὴν δευτέραν πατρίδα, εἴ τις τούτων τοιαύτην ἔσχεν. Εἰ δ' εἰς οὕτως ἀτόπους ἐρεύνας εἰσηρχόμεθα, τῇ ἀληθείᾳ, καὶ εἰ δεκα γλώσσας καὶ ἄρρηκτα στήθη εἴχομεν, οὐκ ἠδυνάμεθα ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν συγγράψαι. Τελευταῖον ἄξιον σημειώσεώς

ἐστιν, ὅτι ὁ ἀνὴρ, ὁ τὰ τῆς πατρίδος τοῦ Ὁμήρου περιττὴν καὶ ἄσκοπον ὕλην ὀνομάσας, αἰτεῖ μετὰ πολλοῦ τοῦ κρότου την ἔρευναν τῆς πατρίδος τῶν γονέων ἀπατεῶνός τινος.

Δ'. Ὁ σοφὸς Εἰσηγητὴς ἐλέγχει τὸν Ἀριστοτελικὸν συγγραφέα, ὅτι κατ' αὐτὸν Θεόδωρος ὁ Γαζῆς ἵδρυσε τὴν Ἀκαδημίαν τῆς Φερράρας, ἐν ᾧ κατὰ τὸν ἄνδρα ἱδρύθη ὑπὸ Φριδερίκου τοῦ Β'. Ἀλλ' ὁ πολυμαθὴς γέρων οὐ διετήρει ἐν τῇ μνήμῃ, ὅτι ὁ ἡμέτερος Θεόδωρος ταύτην ἀνενέωσε καὶ πρῶτος αὐτῆς διευθυντὴς ἐγένετο „Doctrina sua Theodorus Ferrariam cum maxime illustravit: qua in urbe renovati gymnasii primus, teste Lil. Greg. Gyraldo, constitutus rector, Graecas litteras professus, eo applausu, ut ex omnibus undiquaque Italiae locis ad illum confluerent, quotquot litterarum studia amarent"[1]). Διὰ τὴν λήθην δὲ ταύτην ὁ σοφὸς ἀνὴρ μετὰ κόμπου παραπέμπει ἡμᾶς εἰς τὴν Ῥώμην, εἰς τὸν Τίβεριν καὶ ἄλλοσε[2]) προσθείς, ὅτι τὸ πρᾶγμα αὐτῷ ἐστι π ρ ω τ ά κ ο υ σ τ ο ν[3]). Ἀλλ' ὁ ἡμέτερος Ἐξάκουστος ἀκουστὸν τοῦτο τοῖς πᾶσι κατέστησε διὰ τῆς μεταφράσεως τῆς διατριβῆς τοῦ Γάλλου Ἀκαδημιακοῦ Marquis de Fortia d'Urban[4]), ὅστις, καίπερ εἰς τὴν Ῥώμην ἀπελθὼν καὶ τὸν Τίβεριν ἰδὼν καὶ μετὰ τοῦ ἐφόρου τῆς ἐκεῖ βιβλιοθήκης πολλὰ εἰπών[5]), ὅμως λέγει „Ὅτε δὲ μετὰ τὴν ἅλωσιν τῆς Θεσσαλονίκης (1429) Θεόδωρος ὁ Γαζῆς μετέβη εἰς Ἰταλίαν καὶ ἐσύστησε τὴν Ἀκαδημίαν τῆς Φερράρας . . . ."[6]).

Ε'. Τὰ περὶ Ῥωμαίων τῷ συγγραφεῖ ἀποδιδόμενα, εἰμή τι ἄλλο, εἰσὶ προϊόντα ἀπίστου μνήμης τοῦ ἐπικρίνοντος. Περὶ τούτου ἠδυνάμεθα σιωπῆσαι, εἰ μὴ ὁ πολιὸς

---

1) Christ. Börner, De doctis hominibus Graecis litterarum Graecarum in Italia instauratoribus σελ. 122. 2) Ὅρα ἔκθεσ. σελ. 9 „Εἰ ὁ συγγραφεὺς ἐνθυμεῖτο τὴν τότε Ῥώμην, τὸν Τίβεριν, τὴν τύχην τοῦ Γαζῆ καὶ τῶν ἄλλων προσφύγων, τοὐλάχιστον ἐκ τῆς προεισαγωγῆς τῆς τοῦ Εὐγενίου Λογικῆς . . . . ." 3) Αὐτόθι „Ὅτι ὅμως καὶ ἀκαδημίαν ἐν Φερράρᾳ συνέστησε, τοῦτο εἶναι πρωτάκουστον ἡμῖν." 4) Homère et ses écrits. Paris 1832. 5) Σελ. 26. 6) Σελ. 86. Κρίνομεν περιττόν; ἵνα σημειώσωμεν, ὅτι ἡ ἀνανέωσις ἢ ἵδρυσις ἐννοητέα κατὰ τὸ πνεῦμα ταύτης τῆς περιόδου.

γέρων πλεῖστα ἄλλα ὅμοια ἐποίει καὶ ἐν γένει τοιαύτην εἰκόνα περὶ τοῦ ἡμετέρου συγγράμματος ἔδιδεν, ὥστε μόλις ἐκ τοῦ Ἀριστοτελικοῦ ἀποσπάσματος ἐνοήσαμεν, ὅτι τοῦτο κρίνει. Παραδείγματος χάριν λέγει, ὅτι οὐκ ἐπραγματεύθημεν περὶ τῆς θεωρίας τοῦ Wolf, ἐν ᾧ ἐν ὁλοκλήρῳ τῷ δευτέρῳ βιβλίῳ σχεδὸν μόνον περὶ τούτου ὁμιλοῦμεν. Αὐτὸς δὴ ὁ ἐπικρίνων ἐπαινεῖ τὸ περὶ γραφῆς κεφάλαιον, ἐν ᾧ ἰδίως ἡ θεωρία τοῦ μεγάλου τούτου ἀνδρὸς ἐξετάζεται καὶ κατὰ τὰς ἀσθενεῖς τοῦ συγγραφέως δυνάμεις ἐπικρίνεται. Τοὺς Ῥωμαίους ὁ συγγραφεὺς οὔτε βαρβάρους, οὔτε ἄλλο τι ὠνόμασεν (ὡς ὁ ἀναγνώστης παρατηρεῖ ἐν σελ. 80 καὶ 81) καὶ παρακαλεῖ τοὺς σοφοὺς τοῦ Εἰσηγητοῦ συναδέλφους, ἵνα περὶ τοῦ πράγματος ὁμολογήσωσιν. Τοῦτο λέγομεν μόνον χάριν τῆς ἀληθείας. Διότι, ὅ, τι τότε οὐκ εἴπομεν, τολμῶμεν, ἵνα νῦν ἐκφράσωμεν. Οἱ Ῥωμαῖοι εἶχον δύο μεγάλας ἀρετάς, τὴν virtutem καὶ gravitatem, καὶ τῶν ἄλλων τοῦ ἀρχαίου κόσμου λαῶν πολὺ προεῖχον. Ὅσοι δὲ τούτων κοινωνοὶ τῆς ἑλληνικῆς παιδείας ἐγένοντο, δύνανται πρὸς τοὺς Ἕλληνας παραβληθῆναί πως. Ἀλλ' ἡ παιδεία αὐτῶν κατὰ τὸ πλεῖστον (εἰ μὴ τὸ ὅλον) ἦν προϊὸν ἑλληνικὸν καὶ οὐχὶ ῥωμαϊκόν. Ὅλος δ' ὁ ἄλλος ῥωμαϊκὸς λαὸς (καὶ ἐκ τοῦ ὅλου κρίνονται οἱ λαοὶ) εἶχε παλλὰ καὶ μεγάλα στοιχεῖα βαρβαρισμοῦ. Ταῦτα δ' λέγοντες οὔτε μῖσος, οὔτε ἔχθραν πρὸς ἀνθρώπους πρὸ αἰώνων κεκοιμημένους ἔχομεν, ἀλλὰ φιλολογικῷ τῷ τρόπῳ καὶ sine ira et studio αὐτοὺς κρίνομεν. Ἴσως δὲ καὶ ἡ κρίσις ἡμῶν οὐκ ἔστιν ἡμαρτημένη. Διότι αὐτοὶ οἱ Ῥωμαῖοι μέχρι τῶν χρόνων τοῦ Αὐγούστου (δηλαδὴ μέχρι τοῦ χρόνου, καθ' ὃν ἡ ἑλληνικὴ παιδεία ἐν Ῥώμῃ ἐπεκράτησε) βαρβάρους ἑαυτοὺς ὠνόμαζον. Ἴσως οἱ ἄνθρωποι οὗτοι ἐγίνωσκον ἑαυτοὺς κρεῖττον τοῦ σοφοῦ Ἀσωπίου, ὅστις διάφορον γνώμην ἔχων φέρει ἀποδείξεις κατὰ τὴν ἀσθενῆ ἡμῶν κρίσιν οὔτε ὀρθάς, οὔτε ἐπιστημονικάς. Διότι ἐπικαλεῖται μάρτυρας τὰ ὀνόματα τῶν μηνῶν καὶ ἡμερῶν[1]), τὴν πληθὺν

1) Ὅρα ἔκθεσ. σελ. 15 „Τὰ ὀνόματα τῶν μηνῶν εἶναι ἁπανταχοῦ τῆς Εὐρώπης ῥωμαϊκά, πολλαχοῦ δὲ καὶ τὰ τῶν ἡμερῶν τῆς ἑβδομάδος.“

τῶν ὑπηκόων, τὰ συγγράμματα τῶν Λουδοβίκων καὶ Ναπολεοντιδῶν[1]) *καὶ τοὺς υἱοὺς καὶ τὰ ὀνόματα αὐτῶν. Εἴπομεν, ὅτι αἱ ἀποδείξεις εἰσὶν οὐχὶ ὀρθαί. Διότι καὶ οἱ ἀρχαῖοι Ἕλληνες πολλὰς λέξεις παρὰ τῶν Περσῶν, δηλαδὴ τῶν βαρβάρων κατ᾽ ἐξοχήν, ἐδανείσθησαν, καὶ ἡ αὐτοκρατορία τῶν Σινῶν δεκάκις ἴσως μείζονα πληθυσμὸν τῆς καλουμένης κοσμοκρατορίας ἔχει, καὶ ὁ ἡμέτερος Ξενοφῶν περὶ τῶν κατ᾽ ἐξοχὴν βαρβάρων ἔγραψεν. Ὠνομάσαμεν δὲ τὰς ἀποδείξεις καὶ οὐχὶ ἐπιστημονικάς· διότι τοὺς πεπολιτισμένους τῶν βαρβάρων λαῶν διαστέλλουσιν οὔτε ὀνόματα, οὔτε λέξεις, ἃς ξένοι λαοὶ ἐδανείσθησαν, οὔτε πληθὺς ὑπηκόων, οὔτε οἱ μεγάλοι ἄνδρες τῶν ἄλλων ἐθνῶν ὡς οἱ Λουδοβίκοι καὶ Ναπολέοντες, οὔτε οἱ υἱοὶ καὶ τὰ ὀνόματα αὐτῶν, ἀλλ᾽ αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι. Εἰ δὲ τούτων ὁ σοφὸς Εἰσηγητὴς ἀνεμιμνήσκετο, ῥᾳδίως εὕρισκεν, ὅτι οἱ Ῥωμαῖοι ἀκριβῶς ἑαυτοὺς ἐγίνωσκον. Ἴσως δὲ καὶ ἤκουσέ ποτε τοῦ συναδέλφου αὐτοῦ ἱστορίαν τῆς ἀρχαίας τέχνης παραδίδοντος. Οὗτος λέγει δημοσίᾳ, ὅ, τι ἄμουσον, ὅ, τι ἄκομψον, ὅ, τι βαρβαρικόν ἐστι ῥωμαϊκόν, ὅτι δὲ χαρίεν, ὅ, τι κομψὸν καὶ ὅ, τι ὑψηλόν ἐστιν ἑλληνικόν. Ἀνάλογα δὲ πρὸς ταῦτα λέγουσι καὶ οἱ περὶ τὰς ἀρχαίας ἐπιστήμας ἀσχοληθέντες.*

ΣΤ΄. Ὁ σοφὸς ἀνὴρ κατέφυγε καὶ εἰς τοὺς καλουμένους κοινοὺς τόπους, δηλαδὴ ἐν συγγράμματι 400 *σελίδων ἀνεκάλυψε πέντε παροράματα. Ἀλλὰ θαυμάζομεν, ὅτι τοῦτο περιεῖχε μόνον* 5, *καὶ οὐχὶ* 105. *Τὸ παρορᾶν συμπέφυκε τῇ ἀνθρωπίνῃ φύσει καὶ σοφῶς ὁ αὐστηρὸς ἐπικριτὴς περὶ ἑαυτοῦ λέγει· „θέλει συγχωρήσει, ἐλπίζομεν, ὁ ἐπιεικὴς ἀναγνώστης, ἐνθυμούμενος ὅτι τοσοῦτον ὑποληφθότως ταῦτα διαφεύγουσι καὶ τὴν ὀξυτάτην ὅρασιν τοῦ*

---

1) *Αὐτόθι „Ὁ μέγας Ναπολέων διὰ τοὺς μεγάλους σκοπούς του (Εἰ οὕτως, πολὺ ὀρθῶς λέγει, ἀλλὰ μετὰ τοῦ ζητουμένου οὐδὲν τὸ κοινὸν ἔχει) οὐδένα τίτλον εὕρηκε καταλληλότερον ἵνα τιμήσῃ τὸν υἱόν του ἢ βασιλεὺς τῆς Ῥώμης. Ὁ αὐτὸς Ναπολέων ὡς πρότερον Λοδοβίκος ὁ ΙΔ΄ καὶ ὁ νῦν Ναπολέων τὸν δικτάτορα τῆς Ῥώμης Ἰούλιον Καίσαρα εὕρηκαν τῆς προσοχῆς αὐτῶν ἄξιον νὰ μεταφράσωσι, νὰ ὑπομνηματίσωσι καὶ ἱστορήσωσιν.“*

διορθωτοῦ“ (σελ. 148). Εἰ λοιπὸν ὁ σοφὸς ἀνὴρ τοιαῦτα περὶ ἑαυτοῦ λέγει, παρ' ἡμῶν ὑπερφυσικὴν ὀξυδέρκειαν ἀπαιτεῖ. Εἰ τοῦτο ἦν ἐφικτὸν ἐν τῷ κόσμῳ τούτῳ, τῇ ἀληθείᾳ οὐ περιεμένομεν αὐτὸ παρ' ἡμῶν αὐτῶν, ἀλλὰ παρὰ τοῦ Πατριάρχου τῶν ἑλληνικῶν γραμμάτων, ὅστις ἕνα ὁλόκληρον αἰῶνα περὶ τὴν ἡμετέραν γλῶσσαν ἠσκήθη. Ἀλλὰ καὶ οὕτω δυστυχῶς τὰ συγγράμματα αὐτοῦ μεστὰ γλωσσικῶν ἁμαρτημάτων εἰσίν. Τοιαῦτα δ' ἐννοοῦμεν τὰ ἀσυγχώρητα π·χ τὰς ὀνομαστικὰς ἀπολύτους. Ἡ ἔκθεσις δὴ αὐτή, ἐν ᾗ τὴν ὑπερφυσικὴν ὀξυδέρκειαν ἀπαιτεῖ, περιέχει 5 γε ἁμαρτήματα ἐν ἑκάστῃ σελίδι κατὰ μέσον ὅρον. Παραδείγματος χάριν ἐν σελίδι 18 λέγει περὶ ἡμῶν „οἵτινες (sic!) ἢ ἐκ παραναγνώσεως τοῦ χειρογράφου ... ἢ εἰς ἄλλην ἀνθρωπίνην ἀδυναμίαν περιπεσόντες (sic!) δυνατὸν (sic!) ...“, καὶ ἀλλαχοῦ „εἰ ὅλως ὑπάρχει σύγγραμμα ἐν τοιαύτῃ (sic!) ἐκτάσει τὴν ὕλην πραγματευόμενον, ὅσον (sic!) ...“ Τί ἆρά γε ὁ σοφὸς ἀνὴρ ἔμελλεν εἰπεῖν καθ' ἡμῶν, εἰ οὗτος τοιαῦτα ἁμαρτήματα ἐν τῷ ἡμετέρῳ εὕρισκεν; Τὰ ὑπ' αὐτοῦ εὑρημένα ἐγράφησαν πανταχοῦ ὀρθῶς καί που κατὰ παραδρομὴν κακῶς. Γλωσσικὸν δὲ ἁμάρτημα λογίζεται, εἰ λέξις τις πολλαχοῦ ἢ πανταχοῦ οὐκ ὀρθῶς γράφεται. Ἀνωτέρω εἴπομεν, ὅτι ὁ σοφὸς Εἰσηγητὴς εὗρε πέντε παροράματα. Ἀλλὰ καὶ ἐν τοῖς 5 τούτοις ἅπαξ ἁμαρτάνει· διότι ἐνόμισεν ἁμάρτημα τὸ Μελησιγένης, ἐν ᾧ ἐστι διάφορος γραφὴ καὶ παραπέμπομεν αὐτὸν εἰς τὴν ἔκδοσιν τοῦ Westermann (Βιογράφοι), ὅστις πανταχοῦ Μελησιγένης γράφει.

Ζ'. Τελευταῖον ὁ σοφὸς ἀνὴρ ψέγει τὸν τοῦ Ἀριστοτελικοῦ πονήματος συγγραφέα νομίζοντα (ἐν σελ. 68), ὅτι ὁ ἡμέτερος Θουκυδίδης οὐκ ὀρθῶς περὶ Ἑλλήνων καὶ βαρβάρων ὁμιλεῖ. Ὁ ἱστορικός, ὡς γνωστόν, νομίζει, ὅτι Ἕλληνές εἰσι μόνον οἱ μετὰ τοῦ Ἀχιλλέως στρατευσάμενοι καὶ ὅτι ὁ Ὅμηρος τοὺς βαρβάρους ἀγνοεῖ (I, 3). Ἀλλ', ὅτι μὲν τὸ ὄνομα Ἑλλὰς εὐρυτέραν σημασίαν τῆς ὑπὸ τοῦ ἱστορικοῦ ἀποδιδομένης ἔχει, ἐν τῇ σελίδι 330 τοῦδε τοῦ πονήματος ἐδείξαμεν· ὅτι δ' ὁ ποιητὴς γινώσκει καὶ βαρβάρους,

ἔδειξεν ἤδη ὁ Στράβων, ὅστις ἐλέγχει τὸν ἱστορικὸν καὶ οἱονεὶ τὸν σοφὸν Εἰσηγητὴν ἐρωτᾷ „μὴ λεγομένων τε βαρβάρων, πῶς ἔμελλεν εὖ λεχθήσεσθαι τὸ βαρβαροφώνων;“ 1) Παραπέμπομεν τὸν ἄνδρα εἰς τὴν ἀνάγνωσιν ὁλοκλήρου τούτου τοῦ χωρίου, ὃ πάντες οἱ φιλολόγοι ἐπαινοῦσιν.

Ταῦτα εἰσι πάντα τὰ ἁμαρτήματα, ἃ ὁ σοφὸς ἀνὴρ ἐν τῷ Ἀριστοτελικῷ συγγράμματι εὑρὼν μετὰ ἀσυνήθους πικρίας τὸν συγγραφέα ψέγει καὶ πέραν τῶν καθηκόντων τοῦ Εἰσηγητοῦ ἐξέρχεται. Οὔτε οἱ γονεῖς τοῦ συγγραφέως, οὔτε αὐτὸς τὸ αὐτοῦ πρόσωπον ὑπὸ τὴν κρίσιν τοῦ σοφοῦ Εἰσηγητοῦ ὑπέβαλεν, ἀλλὰ μόνον τὸ σύγγραμμα αὐτοῦ. Τῇ ἀληθείᾳ πικρότατόν ἐστιν ἡμῖν, ὅτι νέοι ὄντες πολιὸν γέροντα καθήκοντα ὑπομιμνήσκομεν. Τὰ εὑρημένα λοιπὸν ἁμαρτήματα, ὡς νομίζομεν, ἀνηρέθησαν, ἀλλ' ὑποθῶμεν, ὅτι ὄντως ταῦτα ὑπῆρχον. Τούτου δ' ὑποτεθέντος γεννῶνται δύο σπουδαιόταται ἀπορίαι, ὧν τὴν λύσιν παρὰ τοῦ σοφοῦ ἀνδρὸς ἀπαιτοῦμεν. Εἰ τὸ Ἀριστοτελικον σύγγραμμα καὶ περιττὴν ὕλην περιεῖχε, τὸ δὲ Πινδαρικὸν κατὰ πλεῖστα ἐλλιπὲς ἦν, πότερον πλείονος χρόνου ἐδεῖτο; Ἕκαστος προχείρως ἀποκριθήσεται, ὅτι ἐν τῷ πρώτῳ αὐτὸς ὁ Εἰσηγητὴς τὸ λεπτὸν κλῶσμα τὸ συνδέον τὸ πρῶτον βιβλίον μετὰ τῶν λοιπῶν κόψας ἐλάμβανεν, ὅ, τι ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν ἐνόει. Συνάμα δὲ ἐκόπτοντο καὶ πάντα τὰ ἁμαρτήματα (διότι ἐν τῷ πρώτῳ περιείχοντο), ἅπερ οὗτος ἐνόμισεν, ὅτι εὗρεν. Ἐν ᾧ τοῦτο ἦν τὸ ὅλον τοῦ Ἀριστοτελικοῦ συγγραφέως ἔργον, ὁ τοῦ Πινδαρικοῦ τοσαῦτα ἁμαρτήματα κατὰ τὴν κρίσιν αὐτοῦ τοῦ Εἰσηγητοῦ ὤφειλεν ἐξαλεῖψαι καὶ τοσαῦτα ἐλλείποντα συμπληρῶσαι, ὅσα, εἰ εἰλικρινῶς ἐπληροῦντο, τῇ ἀληθείᾳ ἔτη ἀπῄτουν. Ἀλλ' οὐχί· κατὰ τὴν κρίσιν τοῦ σοφοῦ ἀνδρὸς ἡ τοῦ κλώσματος τομὴ πλείονα χρόνον ἀπῄτει. Ὡς ὑπερφυσικὴν ὁ σοφὸς ἀνὴρ τὴν ταχύτητα τοῦ Πινδαρικοῦ ἐνόμισε καὶ ὡς

---

1) XIV, 565. Τούτου ἓν μέρος εὑρίσκει ὁ ἀναγνώστης ἐν σελ. 64 τοῦ ἡμετέρου πονήματος. Τὸ Ἕλληνες καὶ βάρβαροι ἐννοητέον κατὰ τὸ πνεῦμα τῆς ὁμηρικῆς ἐποχῆς.

παρὰ φύσιν τὴν τοῦ Ἀριστοτελικοῦ βραδύτητα! Δευτέρα ἀπορία ἐστὶν ἡ ἑξῆς. Τὰ ἡμέτερα ἁμαρτήματα (εἰ δηλαδὴ ὑπῆρχον) ὡς κείμενα ἐν σημειώσεσι καὶ ὑποσημειώσεσιν οὐδεν βάρος ἐπὶ τῆς κρίσεως τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν ἔχουσιν. Οὔτε ὁλλανδικήν, οὔτε ῥωσσικήν, οὔτε ῥωμαϊκὴν ἱστορίαν συγγράφοντες ἴσως περὶ ταῦτα ἡμάρτομεν. Καὶ τῇ ἀληθείᾳ, εἰ τοιοῦτον ζήτημα ὑπὸ τῶν κριτῶν ἐδίδετο, εἰς τοιοῦτον ἀγῶνα οὐκ ἀπεδυόμεθα. Ὁ ἀγὼν ὅμως ἦν περὶ τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν, καὶ ὁ σοφὸς Εἰσηγητὴς μηδὲ ἓν ἁμάρτημα ἐν ταύτῃ ἀνακαλύψας κατεψήφισε τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν διὰ τὴν ἄγνοιαν τῆς ὁλλανδικῆς ἱστορίας!

Ἀλλ' ὁ πολυμαθὴς γέρων λέγει, ὅτι ἐν τῷ ἡμετέρῳ πονήματι καὶ ἄλλα ἁμαρτήματα ἀνεκάλυψεν, ἅπερ δι' ἔλλειψιν τόπου καὶ χρόνου παραλείπει. Πρῶτον τοῦτο οὐ φαίνεται πιθανόν. Διότι ἀνήρ, ὅστις τὴν τοῦ ζητήματος θέσιν παρέβη, ὅπως ἁμαρτήματα πλάσῃ, ὅστις ἀνύπαρκτα ἐλέγχει, ὅστις τὰ εἰρημένα τρὶς καὶ τετράκις ἐκτενῶς ἐπαναλαμβάνει, ὅστις λυπεῖται, ὅτι οὐκ εἶδε πρότερον τὰ ἐν Κλειοῖ γραφέντα, ὅπως ταῦτα κρίνῃ (ἐν τῇ ἐκθέσει δηλαδὴ τοῦ Ῥοδοκανακείου διαγωνίσματος) καὶ ὅστις πλεῖστα τερπνὰ ἀνέκδοτα διηγεῖται, ὁ ἀνήρ, λέγομεν, οὗτος οὐκ εἶχεν ἆρά γε τόπον καὶ χρόνον, ἵνα ἓν γε ἁμάρτημα ἐκ τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν δείξῃ, ὅπως τοῦτο ἀντίρροπον πρὸς τὰ ἄπειρα τοῦ Πινδαρικοῦ φαίνηται; Εἶτα ὑποχωρήσαντες ὑποθῶμεν, ὅτι ὁ σοφὸς ἀνὴρ ὄντως εὗρεν. Ταῦτα ἆρά γε ἦσαν μείζονα ἐκείνων, ἅπερ γελοῖα ἐδείχθησαν, ἢ ἥττονα; Εἰ μὲν τὰ κρυφθέντα ἦσαν μείζονα, καὶ οὐχὶ ἀληθῶς κατ' ἐντολὴν τοῦ σοφοῦ Εἰσηγητοῦ ὁ Πρύτανις τοῦ ἐθνικοῦ Πανεπιστημίου εἶπεν, ὅτι τῷ συγγραφεῖ αἱ ἀναγκαῖαι συμβουλαὶ ἐδόθησαν, καὶ ἦν ἀνάξιον τοῦ Πατριάρχου τῆς ἐθνικῆς παιδεύσεως, εἰ τὰ μὲν ἥττονα ἔλεγε, τὰ δὲ μείζονα πρὸς βλάβην τοῦ συγγραφέως ἔκρυπτεν. Εἰ δὲ τὰ κρυφθέντα ἁμαρτήματα ἦσαν ἥττονα τῶν δειχθέντων, πόσον ἆρά γε γελοῖα ἔμελλον εἶναι ταῦτα, εἰ τὰ μείζονα γελοῖα ἐδείχθησαν;

Ἀλλὰ μηδὲν κῦρος ταῖς ἡμετέραις ὑποθέσεσι διδόντες νομίζομεν, ὅτι ὁ πολυμαθὴς ἀνὴρ ὄντως εὗρεν ἁμαρτήματα. Διὰ τοῦτο νἱκῶς παρακαλοῦμεν αὐτόν, ἵνα ταῦτα καταδείξῃ. Εὐχόμεθα δὲ τῷ ἀνδρί, ἵνα εὕρῃ τοιαῦτα, οἷα παραβαλλόμενα πρὸς τὰς ἀρετὰς τοῦ συγγράμματος, πρὸς τὰ ἁμαρτήματα τὰ ἤδη ὑπ᾽ αὐτοῦ ἐν τῇ Πινδαρικῇ διατριβῇ εὑρημένα καὶ πλεῖστα ἄλλα, ἅπερ οὗτος παρεῖδε, πρὸς ταῦτα, λέγομεν, παραβαλλόμενα δύνανται πεῖσαι τοὺς μετριωτέρους γε γνώστας τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν, ὅτι ἡ ἀπόφασις αὐτοῦ ἦν δικαία. Εἰ ὅμως οὐ δύναται εὑρεῖν τοιαῦτα, κατὰ τὴν ἀσθενῆ ἡμῶν κρίσιν νομίζομεν, ὅτι καὶ μεγάλου ἀνδρός ἐστιν ἄξιον καὶ τῆς δόξης αὐτοῦ οὐχὶ ἀλλότριον, ἵνα εἰλικρινῶς ὁμολογήσῃ, ὅτι οὔτε τὰ μέσα, οὔτε χρόνον πρὸς τοιαύτας ἐρεύνας εἶχεν, οὔτε ἡ ἡλικία αὐτοῦ ἐπέτρεπεν, ὅπως εἰς τὰς πηγὰς ἀναδραμὼν περὶ τῶν ὑποβληθέντων πονημάτων δικαίως ἀπαφανθῇ. Διότι ἐστὶν ἄδικον καὶ πρὸς τὸ γῆρας αὐτοῦ ἀνάρμοστον, ἵνα δι᾽ ἀορίστων φράσεων μετὰ τὴν ὑλικὴν καταστροφὴν[1]) ἑνὸς νέου καὶ τὴν ἐπιστημονικὴν αὐτοῦ ἀξίαν ἀφαιρέσῃ. Ἄνθρωπος, ὅστις ὁλόκληρον δεκαετηρίδα εἰς ὁμηρικὰς σπουδὰς κατέτριψεν, ἴσως οὐκ ἀγνοεῖ τὴν ἀξίαν διατριβῆς συγγραφείσης ἐν ὀλίγαις χειμεριναῖς νυξὶ καὶ κατὰ παραδόσεις καθηγητοῦ γενικῆς ἱστορίας[2]), ταύτην δὲ μὴ ἀγνοῶν ἀτενίζει ποτὲ καὶ πρὸς τὸν τῆς δίκης ὀφθαλμόν, ὃς τὰ πάντα ἐφορᾷ.

Ἀλλ᾽ ἴσως ἡ νἱκὴ αὕτη πρὸς τὸν Πατριάρχην τῶν ἑλληνικῶν γραμμάτων διαγωγὴ ἀπαρέσκει ἐκείνοις, οἵτινες εἰς προσωπικὰς κατὰ τῶν διδασκάλων τοῦ ἔθνους ὕβρεις ἐτράπησαν καὶ τὰ γεραρὰ ταῦτα τῆς παρελθούσης γενεᾶς

---

1) *Τοιαυτα συγγράμματα οὔτε συγγράφονται, οὔτε ἐκδίδονται ἄνευ δαπάνης πολλῶν χιλιάδων δραχμῶν.* 2) *Ταῦτα λέγει ὁ ἀξιότιμος τοῦ Πινδαρικοῦ συγγράμματος συγγραφεύς, ἡμεῖς δὲ μηδένα ψόγον σκοποῦντες ταῦτα ἐξ ἀνάγκης ἐπανελάβομεν. Τοὐναντίον θαυμάζομεν, ὅτι ἄνθρωπος, καίπερ τῆς φιλολογίας ἰδιώτης, συνέγραψε πραγματείαν, ἥτις δεκτὴ ἐν ἐπιστημονικῷ ἀγῶνι ἐγένετο. Τοῦτο προϋποτίθησιν εὐφυΐαν (παρὰ τοῖς ἄλλοις γε λαοῖς) οὐχὶ συνήθη καὶ ἐν τοῖς πρώτοις αὐτὴν τιμῶμεν.*

λείψανα κατεψύχραναν. Δυστυχῶς οἱ ἁπλούστεροι τῶν Ἑλλήνων τὰς ὕβρεις εὐφυΐαν θεωρήσαντες τοὺς ὑβριστὰς ὡς εὐφυεῖς τινας ἐτίμησαν. Οἱ μεγάλοι τοῦ ἔθνους εὐεργέται ἦσαν κρείττονος τύχης ἄξιοι. Ὁ πολυμαθὴς οὗτος γέρων ὁμοιάζει πρὸς εὐρυρρόαν ποταμόν, ὅστις πηγάζει ἐκ τῶν συμφορῶν τοῦ παρελθόντος, διαρρέει τὰς ἐρήμους τῆς ἐθνικῆς ἀμαθείας καὶ φθάνει μέχρι τῶν πεδιάδων τῆς ἐθνικῆς ἀνεξαρτησίας, ἃς μετ᾽ ὀλίγων ἄλλων πλουσίως κατήρδευσε καὶ εἰς ἐφόρους κήπους μετέβαλεν. Ὁ σεβάσμιος οὗτος γέρων καὶ οἱ δύο σοφοὶ αὐτοῦ συνάδελφοι, ὁ Φίλιππος Ἰωάννου καὶ ὁ Εὐθύμιος Καστόρχης, εἰσὶν οἱ τηλαυγέστεροι τοῦ ἐθνικοῦ Πανεπιστημίου ἀδάμαντες, εἰσὶ τρεῖς μεγάλοι κρίκοι ἡμᾶς τοὺς ὀψιγόνους μετὰ τῶν ἀθανάτων ἡμῶν προγόνων συνδέοντες.

Μετὰ τὰ εἰρημένα τὸν ἡμέτερον ἀναγνώστην εἰς τὴν ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν εἰσάγοντες αἰτοῦμεν συγγνώμην παρ᾽ αὐτοῦ, ὅτι ἐν γλώσσῃ ἧττον συνήθει γράφομεν, π·χ πανταχοῦ ἀποφεύγομεν τὸ „δὲν" καὶ „νὰ" καὶ πολλαχοῦ ἀπαρεμφάτοις καὶ ἀρχαιοτέροις τύποις λέξεων χρώμεθα Ταῦτα ἴσως μὲν κακῶς εἰς τὰ ὦτα τῶν ἡμετέρων ἀναγνωστῶν ἠχοῦσιν, ἀλλ᾽ ἐπράξαμεν οὕτως, ὅπως τὸ ἡμέτερον πόνημα καταστήσωμεν προσιτόν πως καί τισι τῶν ἀλλογλώσσων τὴν ἀρχαίαν ἑλληνικὴν γινωσκόντων. Ἴσως τις τούτων ῥίψει βλέμμα καὶ πρὸς τόδε τὸ σύγγραμμα, ἐν ᾧ κατὰ τὰς ἀσθενεστάτας τοῦ συγγραφέως δυνάμεις αἱ κατὰ τοῦ ποιητοῦ ἀποδείξεις τῶν μεγάλων ἀνδρῶν ἐπικρίνονται. Ἴσως εὑρήσει τις ἐν τῇ καλύβῃ τοῦ Εὐμαίου ἀμυδρὰ ἴχνη τῆς ὑπάρξεως τοῦ Ὁμήρου, ὃν οἱ Νέστορες τῆς ἐπιστήμης ὡς ἀπολεσθέντα κηρύττουσιν. Πρὸς τούτοις αἰτοῦμεν συγγνώμην παρὰ τῶν ἡμετέρων ἀναγνωστῶν, ὅτι μέρη τινὰ τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν οὐχὶ ἐκτενῶς ἐπραγματεύθημεν, ὡς ἐν τοῖς οἰκείοις τόποις ὁμολογοῦμεν. Εὐχόμεθα δέ, ἵνα ἄλλοι ἡμῶν κρείττονες τὸ ἔργον πρὸς τιμὴν τῆς πατρίδος ἐκτελέσωσιν

Mi sat erit, specimen tanti monstrasse laboris.

Μετ' ἐθνικῆς δ' ὑπερηφανείας ἀκούομεν, ὅτι ὁ ἐν Τεργέστῃ πολυμαθὴς καὶ εὐφυὴς κύριος Θερειανὸς καὶ ὁ ἐν Λονδίνῳ φιλόπονος καὶ φιλόπατρις κύριος Βαλέττας περὶ τοῦ ζητήματος τούτου συνέγραψαν. Τρὶς καὶ τετράκις εὐδαίμονες οἱ ἄνδρες οὗτοι, οἷς τὰ τῆς οὐσίας οὕτως ἔχουσιν, ὥστε τῆς μικρᾶς τῶν ἄθλων ἀμοιβῆς μὴ δεόμενοι φιλοπόνως ὑπὲρ τοῦ Ἑλληνισμοῦ ἐργάζονται!

Ἔγραφον ἐν Βερολίνῳ τῇ 30 *Ἰουνίου* 1867.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΒΙΒΛΙΟΝ Ι.

Περὶ Ὁμήρου.

ΒΙΒΛΙΟΝ ΙΙ.

Διάδοσις καὶ περιπέτειαι τῶν ὁμηρικῶν ἐπῶν.

ΒΙΒΛΙΟΝ III.

Ἑνότης τῶν ὁμηρικῶν ἐπῶν καὶ παραβολὴ αὐτῶν πρὸς ἄλληλα.

ΒΙΒΛΙΟΝ Ι.

ΠΕΡΙ ΟΜΗΡΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Κριτικὴ τῶν πηγῶν τῶν περὶ Ὁμήρου μύθων.

Ἡ ἱστορία τῶν ὁμηρικῶν ἐπῶν διαιρεῖται εἰς τρία σπουδαῖα μέρη· τὸν ὁρισμὸν τοῦ ποιητοῦ, τὴν διάδοσιν καὶ τὰς περιπετείας τῶν ὁμηρικῶν ἐπῶν καὶ τελευταῖον τὴν ἑνότητα αὐτῶν. Εἰ καὶ τὰ τρία ταῦτα μέρη πολλαχῶς ὑπὸ τῶν ἀρχαίων ἠρευνήθησαν, ὅμως ἀπὸ τοῦ Wolf *πολλῶν ἐρευνῶν καὶ μεγάλων ἐρίδων αἰτία ἐγένοντο. Διότι πολλοὶ τῶν κριτικῶν καὶ ἐκ τῶν τριῶν εἰρημένων μερῶν ὁρμώμενοι πειρῶνται, ὅπως τὴν περὶ Ὁμήρου τῆς ἀρχαιότητος πεποίθησιν ἀνατρέψωσιν. Διὰ τοῦτο ὁ τὴν λύσιν τοῦ σπουδαίου καὶ πολυθρυλήτου ὁμηρικοῦ ζητήματος ἀναδεχόμενος ὀφείλει, ἵνα ἐκ τῶν τριῶν τούτων δεδομένων ὅρων κατὰ τοὺς νόμους τῆς πιθανότητος εἰς πιθανὸν συμπέρασμα φθάσῃ. Διότι ἡ ἀποφυγὴ οἱουδήποτε τούτων τῶν ὅρων εἰς ἡμαρτημένον, ὡς εἰκός, συμπέρασμα ἄγει. Ἀρχόμεθα κατὰ φύσιν τοῦ πρώτου. Ἐπειδὴ δ' αἱ περὶ τοῦ ποιητοῦ εἰδήσεις ἐν μορφῇ μύθων παρεδόθησαν, οὐχὶ ἄσκοπον νομίζομεν, ὅπως τὰς πηγὰς τούτων εἰς βραχεῖαν κριτικὴν ἔρευναν ὑποβαλόντες τὴν ἀξίαν αὐτῶν νοήσωμεν.*

Εἰ τὰ ὑπὸ τοῦ Τατιανοῦ[1]) μνημονευόμενα συγγράμματα τῶν ἀρχαιοτέρων Ἑλλήνων συγγραφέων περὶ τῆς Ὁμήρου ποιήσεως καὶ γένους καὶ χρόνου, καθ᾽ ὃν οὗτος ἤκμασεν, ἐσώζοντο, ἴσως ἡ κριτικὴ πολλῶν ἁμαρτημάτων ἀπηλλάσσετο. Ὁ πανδαμάτωρ ὅμως χρόνος τῶν γνησίων ἐκείνων προϊόντων τῆς κλασικῆς ἀρχαιότητος μὴ φεισάμενος κατέλιπεν ἡμῖν εἰδήσεις τινὰς ἐν τοῖς συγγράμμασι τῶν τε Ἑλλήνων καὶ Ῥωμαίων διεσπαρμένας καί τινας μικρὰς βιογραφίας, ὧν ἡ γνησιότης ἀμφισβητεῖται. Ἐνταῦθα μόνον περὶ τοῦ δευτέρου εἴδους τῶν πηγῶν ἔσται ἡ ἔρευνα. Ἐξεδόθησαν δὲ μέχρι τοῦδε, καθ᾽ ὅσον οἴδαμεν, ὀκτώ.

Α΄. [Ἡροδότου Ἁλικαρνασσῆος] Περὶ τῆς τοῦ Ὁμήρου γενέσιος καὶ βιοτῆς[2]). Περὶ τῆς γνησιότητος ταύτης τῆς βιογραφίας οὐχὶ ἀδίκως οἱ κριτικοὶ τῶν ἡμετέρων χρόνων ἀμφιβάλλουσιν. Διότι τό τε ὕφος αὐτῆς τοῦ ἡροδοτείου οὐ σμικρὸν ἀπέχει, καὶ ἡ ἐν τῷ τέλει χρονολογικὴ εἴδησις τῆς ὑπὸ τοῦ Ἡροδότου ἐν τῇ ἱστορίᾳ[3]) παραδεδομένης διάφορός ἐστιν. Πειρᾶται μὲν ὁ Γάλλος Ἀκαδημιακὸς Marquis de Fortia d'Urban[4]) ὅπως τὴν βιογραφίαν ἡροδότειον ἀποδείξῃ, ὅμως, ὡς δοκεῖ, ἀποτυγχάνει. Διότι πρὸς τοῖς εἰρημένοις, ἐν ᾧ ἀπὸ τοῦ Ἡροδότου μέχρι τοῦ Τατιανοῦ, τοῦ πρώτου μνημονεύοντος ἡροδοτείου συγγράμματος τοιαύτης ὕλης, παρεμπίπτουσιν ἓξ περίπου αἰῶνες, ὅμως οὐδεὶς συγγραφεὺς ἐν οὕτω μακρῷ διαστήματι χρόνου μέμνηται τοῦ εἰρημένου. Διὰ ταῦτα ὁ μὲν Wolf νομίζει τὴν βιογραφίαν προϊὸν γραμματικοῦ τινος τῶν τελευταίων χρόνων ex

---

1) Πρὸς Ἕλληνας κεφ 48 „Περὶ γὰρ τῆς ποιήσεως τοῦ Ὁμήρου, γένους τε αὐτοῦ καὶ χρόνου, καθ᾽ ὃν ἤκμασεν, προηρεύνησαν οἱ πρεσβύτατοι, Θεαγένης τε ὁ Ῥηγῖνος κατὰ Καμβύσην γεγονώς, Στησίμβροτός τε ὁ Θάσιος καὶ Ἀντίμαχος ὁ Κολοφώνιος, Ἡρόδοτός τε ὁ Ἁλικαρνασσεὺς καὶ Διονύσιος ὁ Ὀλύνθιος· μετ᾽ ἐκείνους Ἔφορος ὁ Κυμαῖος καὶ Φιλόχορος ὁ Ἀθηναῖος Μεγακλείδης τε ὁ Χαμαιλέων, οἱ περιπατητικοί· ἔπειτα γραμματικοί, Ζηνόδοτος, Ἀριστοφάνης, Καλλίμαχος, Κράτης, Ἐρατοσθένης, Ἀρίσταρχος, Ἀπολλόδωρος." 2) Καὶ τὰς ὀκτὼ βιογραφίας ἐξέδω ὁ Antonius Westermann ἐν τῷ Βιογράφοι, Vitarum scriptores Graeci minores Braunsvig 1845 σελ. 1—45. 3) II, 53. 4) Homère et ses écrits. Paris 1832. Ἡ διατριβὴ αὕτη μετεφράσθη εἰς τὴν ἑλληνικὴν ὑπὸ Πέτρου Ἐξακούστου.

Grammatico infimi aevi[1]), ὁ δὲ Dugas Montbel[2]) καὶ ὁ Welcker[3]) εἰς τοὺς χρόνους τῶν Πτολεμαίων ἀναβιβάζουσιν. Ὁ δὲ Nitzsch[4]) εἰς τὸ τέλος τῆς βιογραφίας ἀπιδών, ὅπου μνεία τῶν ἐν Ἀθήναις ἀρχόντων γίνεται, εἰκάζει, ὅτι ὁ βιογράφος Ἀθηναῖός ἐστιν. Ἀλλ᾽ ἴσως ἡ μὲν πατρὶς τοῦ βιογράφου ὀλίγον πρὸς τὸν ἡμέτερον σκοπὸν συμβάλλεται, ὁ ὁρισμὸς δὲ τῆς ἐποχῆς αὐτοῦ μείζονος προσοχῆς δεῖται. Καίπερ μὴ δυνάμενοι τὴν τοῦ βιογράφου ἐποχὴν ἀκριβῶς ὁρίσαι, ὅμως οὐκ ἀπέχομεν τῆς ἀληθείας πιστεύοντες, ὅτι ἡ βιογραφία συνεγράφη οὐ πολὺ βραδύτερον τῆς ἱδρύσεως τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης, ὅτε πλείονες πρὸς νοθεύσεις αἰτίαι ἐδόθησαν[5]). Πρὸς δὲ ὁ 130 Μ·Χ ζήσας Τατιανὸς οὐκ ἠδύνατο ἀποδοῦναι τῷ Ἡροδότῳ τὴν βιογραφίαν, εἰ αὕτη ὀλίγον πρὸ αὐτοῦ χρόνον ἐγράφετο.

Β'. [Πλουτάρχου] Περὶ τοῦ βίου καὶ της ποιήσεως Ὁμήρου. Καὶ τὸ σύγγραμμα τοῦτο νόθον νομίζεται. Διότι συνέγραψε μὲν ὁ Χαιρωνεὺς τοιοῦτον βιβλίον, ὡς ὁ Γέλλιος ἐν νυξὶν ἀττικαῖς[6]) παραδίδωσιν, ὅμως τὰ ὑπ᾽ αὐτοῦ μνημονευόμενα χωρία[7]) οὐδόλως ἐν τῷ ἡμετέρῳ ἀνευρίσκονται. Διὰ τοῦτο ὁ ἀρχαῖος ἤδη κριτικὸς Jonsius[8]) τῷ Πλουτάρχῳ τὸ εἰρημένον σύγγραμμα ἠρνήθη. Τῶν δὲ νεωτέρων ὁ Lauer[9]) ἀποφαίνεται μὲν τοῦτο γνήσιον, ὅμως ὑπό τινος μεταγενεστέρου ἐπιτετμημένον. Τὸ σύγγραμμα τοῦτο διαι-

---

1) Prolegomena ad Homer. σελ. 260, σημ. 45. 2) Histoire des Poésies Homériques σελ. 110. 3) Der epische Cyklus oder die Homerischen Dichter, Bonn 1835. I. σελ. 456. 4) Indag per. Odyss. interpol. σελ. 41. 5) Γαλην. εἰς Ἱπποκρ. I, 42· „Πρὶν γὰρ τοὺς ἐν Ἀλεξανδρείᾳ τε καὶ Περγάμῳ γενέσθαι βασιλεῖς ἐπὶ κτήσει παλαιῶν βιβλίων φιλοτιμηθέντας, οὐδέπω ψευδῶς ἐπεγέγραπτο σύγγραμμα· λαμβάνειν δ᾽ ἀρξαμένων μισθὸν τῶν κομιζόντων αὐτοῖς συγγράμματα παλαιοῦ τινος ἀνδρός, οὕτως ἤδη πολλὰ ψευδῶς ἐπιγράφοντες ἐκόμιζον. Ἀλλ᾽ οὗτοι μὲν οἱ βασιλεῖς μετὰ τὸν Ἀλεξάνδρου γεγόνασι θάνατον· ὁ δὲ Πλάτων ἀνωτέρω τῆς Ἀλεξάνδρου βασιλείας ἐγεγράφει ταῦτα μηδέπω πεπανουργημένων τῶν ἐπιγραφῶν, ἀλλ᾽ ἑκάστου βιβλίου τὸν ἴδιον γραφέα διὰ τοῦ προγράμματος δηλοῦντος.“ 6) IV, 11. II, 8. 7) Ὑπὸ τὰς ἐπιγραφὰς *Μελετῶν ὁμηρικῶν* καὶ *Μελετῶν Ὁμήρου*. 8) De script. hist. phil. III, 6, 237. 9) Geschichte der Homerischen Poesie. Berlin 1851.

ρεῖται εἰς δύο μέρη, ὧν τὸ μὲν βίον τινὰ τοῦ Ὁμήρου περιέχει, τὸ δὲ ἔρευναν τῆς ὁμηρικῆς γλώσσης, ἠθῶν, ἐθῶν κτλ. Ἐπειδὴ δ' ἐν τῷ δευτέρῳ μέρει περιέχεται ἡ φράσις ἐστὶ τὰ εἴδη τούτων ἐν τῇ τεχνολογίᾳ ἀναγεγραμμένα, ὅ τε Gale[1]) καὶ Barnes[2]) ἐνόμισαν συγγραφέα τούτου Διονύσιον τὸν Ἁλικαρνασσέα εἰς τὸ σύγγραμμα αὐτοῦ Ῥητορικὴν τέχνην δῆθεν παραπέμποντα. Ἀλλ' ἡ φράσις ἐκείνη διάφορον σημασίαν ἔχει. Ἄλλοι ἀποδίδουσι τοῦτο Φαβορίνῳ τῷ Περὶ ὁμηρικῆς φιλοσοφίας, καὶ ἄλλοι Ἀπολλωνίῳ τῷ Δυσκόλῳ τῷ Περὶ σχημάτων ὁμηρικῶν γράψαντι[3]). Τελευταῖον ὁ Rudolf Schmidt ἔν τινι προγράμματι πειρᾶται[4]), ὅπως τὸ δεύτερον μέρος τοῦ συγγράμματος (τοῦ πρώτου ὀλιγωρεῖ·) τῷ φιλοσόφῳ Πορφυρίῳ ἀποδῷ. Ἄν τις τὴν κρίσιν τοῦ ἀνδρὸς τούτου δεχθῇ, τὸ δεύτερον μέρος τοῦ συγγράμματος ἀνήκει τῷ τρίτῳ αἰῶνι Μ·Χ, καθ' ὃν ὁ Πορφύριος ἔζη. Εἰ δέ τις ἀμφιβάλλει, ὡς ἡμεῖς, τὸ μέρος τοῦτο οὐ δύναται εἶναι προγενέστερον τοῦ πρώτου Π·Χ αἰῶνος. Διότι ἐν τούτῳ μνημονεύεται ὁ περὶ τὰ 100 Π·Χ ζήσας Διονύσιος ὁ Θρᾷξ. Ὡσαύτως καὶ τὸ πρῶτον οὐκ ἔστι τοῦ αὐτοῦ αἰῶνος προγενεστερον. Διότι ἐν τῷ τετάρτῳ κεφαλαίῳ γίνεται μνεία Ἀντιπάτρου τοῦ εἰς Ὅμηρον ἐπίγραμμα ποιήσαντος. Ἀλλὰ παραδίδονται δύο Ἀντίπατροι ἐπιγράμματα ποιήσαντες, ὧν ὁ μὲν Θεσσαλονικεὺς ἔζη ἐπὶ Τιβερίου, ὁ δὲ ἕτερος ἦν σύγχρονος Διονυσίου τοῦ Θρᾳκός. Ὁιοσδήποτε καὶ ἂν ᾖ, τὸ μέρος τοῦτο τοῦ συγγράμματος οὐ δύναται εἶναι προγενέστερον τοῦ πρώτου αἰῶνος Π·Χ[5]). Τὸ ὅλον λοιπὸν σύγγραμμα οὐκ ἐγράφη μὲν ὑπὸ τοῦ Χαιρωνέως, ὅμως κατά τινα πιθανότητα οὐδὲ τῇ ἐποχῇ τοῦ Πορφυρίου ἀνήκει.

Γ'. Πρόκλου περὶ Ὁμήρου[6]). Ἡ βιογραφία αὕτη ἀνή-

---

1) Opusc. Mythol. Amstelod. 1688. 2) Homer. Ilias 1, 3. 3) Ὅρα Lauer σελ. 71. 4) Παράβαλε Sengebusch, Homerica Dissertatio prior. σελ. 7. 5) Αὐτόθι σελ. 8. 6) Πρόκλου χρηστομαθείας γραμματικῆς τῶν εἰς δ' διῃρημένων τὸ α' Ὁμήρου χρόνοι, βίος, χαρακτήρ, ἀναγραφὴ ποιημάτων."

κει τῇ Χρηστομαθείᾳ τοῦ Πρόκλου, ὅστις μέχρι Welcker ὁ αὐτὸς Πρόκλῳ τῷ Διαδόχῳ, φιλοσόφῳ τοῦ πέμπτου αἰῶνος Μ·Χ ἐνομίζετο. Ὁ Πρόκλος ὅμως οὗτος, ὡς δια μακρῶν ὁ σοφὸς Welcker ἀπέδειξε[1]), διάφορος τοῦ φιλοσόφου ὢν ἔζη ἐν τῷ δευτέρῳ αἰῶνι Μ·Χ· Δ'. Βραχεῖά τις βιογραφία τὸ πρῶτον ὑπὸ τοῦ Χίου Λέοντος Ἀλλατίου ἐκδοθεῖσα. Ἐν ταύτῃ οὐ φέρεται μὲν τεκμήριόν τι, ἐξ οὗ ἠδύνατό τις τὴν ἐποχὴν αὐτῆς εἰκάσαι, ὅμως ὁ εὐφυὴς Sengebusch[2]) πρὸς τὰς δύο ἑπομένας παραβαλὼν ἀποφαίνεται, ὅτι αὕτη οὐκ ἔστι ἀρχαιοτέρα αὐτῶν, ὧν ἡ χρονολογία μετά τινος πιθανότητος ὁρίζεται. Ἡ Ε' βιογραφία μεταγενεστέρα ἐστὶ τοῦ πρώτου Π·Χ αἰῶνος. Διότι ἐν ταύτῃ γίνεται μνεία Διονυσίου τοῦ Θρᾳκὸς περὶ ταύτην τὴν ἐποχὴν ζήσαντος. Τῆς δὲ ΣΤ' βιογραφίας ἡ ἐποχὴ ἀκριβέστερον ὁρίζεται. Διότι ἐν ταύτῃ πρὸς τοῖς ἄλλοις λέγεται, ὅτι ὁ μὲν Ἀριστόδημος ὁ Νυσαεὺς ἔκ τινων ῥωμαϊκῶν ἠθῶν τὸν Ὅμηρον Ῥωμαῖον ἀπεδείκνυεν, ὁ δὲ Ὑψικράτης τὸν ποιητὴν ἡλικιώτην τοῦ Ἡσιόδου ἔλεγεν. Ἀλλὰ δύο, ὡς γνωστόν, ἐγένοντο Ἀριστόδημοι, ὧν ὁ μὲν γραμματικήν τε καὶ ῥητορικὴν ἐδίδαξεν, ὁ δὲ ἕτερος μόνον ῥητορικήν. Ὁ Sengebusch[3]) ἀποφαίνεται, ὅτι ὁ βιογράφος τὸν τῆς γραμματικῆς καὶ ῥητορικῆς διδάσκαλον νοεῖ. Ἀλλὰ τοῦτο οὔτε ἀναβιβάζει, οὔτε πολὺ τὴν ἐποχὴν τοῦ βιογράφου καταβιβάζει. Διότι ἀμφότεροι ἀρχομένου τοῦ πρώτου Π·Χ αἰῶνος ἔζων. Διότι ὁ μὲν γραμματικὸς κατὰ Στράβωνα διδάσκαλος τοῦ μεγάλου Πομπηίου ἐγένετο, ὁ δὲ πατὴρ τοῦ γραμματικοῦ ἅμα καὶ διδασκάλου τῆς ῥητορικῆς Ἀριστοδήμου Μενεκράτης ἦν μαθητὴς τοῦ Ἀριστάρχου. Αὐτὸς δὲ ὁ Ἀριστόδημος ἦν διδάσκαλος τοῦ Στράβωνος[4]). Ὁ δὲ Ὑψικράτης, οὗ συχνάκις ὁ Στράβων μέμνηται οὐ μόνον ἐν τοῖς γεωγραφουμένοις, ἀλλὰ καὶ ἐν τοῖς

---

1) Der epische Cyklus I, σελ. 3—7 καὶ II, σελ. 497. Παράβαλ. Lange, kykl. Dichter σελ. 23 καὶ 64. 2) Homeric. dissert. prior σελ. 13. 3) Αὐτόθι σελ. 10. Παράβαλ. καὶ Σχολιαστὴν εἰς Ἰλιάδ. Γ 453 καὶ Ν 1. 4) XIV σελ. 650.

ἱστορικοῖς ὑπομνήμασιν, ἔζη ἐπὶ Αὐγούστου, ἐφ' οὗ ἐν τῇ τοῦ Ὑψικράτους πατρίδι, Ἀμισῷ, αἱ ὁμηρικαὶ σπουδαὶ ἤκμαζον[1]). *Ἐπειδὴ λοιπὸν ἐν τῇ βιογραφίᾳ γίνεται μνεία ἀνδρῶν ἐν τῷ πρώτῳ Π·Χ αἰῶνι ζησάντων, μεταγενεστέρα ταύτης τῆς ἐποχῆς ἐστιν. Ἡ Ζ'*[2]) *βιογραφία ἀπεσπάσθη ἐκ τοῦ Βυζαντινοῦ λεξικογράφου Σουίδα περὶ τὸν ἑνδέκατον Μ·Χ αἰῶνα ζήσαντος. Ἡ δὲ Η' Περὶ Ὁμήρου καὶ Ἡσιόδου καὶ τοῦ γένους καὶ ἀγῶνος αὐτῶν ἐγράφη μετὰ τοὺς χρόνους τοῦ Ἀδριανοῦ. Διότι ἐν τῷ τρίτῳ κεφαλαίῳ γίνεται μνεία τούτου ὡς τὴν Πυθίαν περί τε τῆς πατρίδος καὶ τῶν γονέων τοῦ ποιητοῦ πυθομένου.*

Πλὴν δὲ τῶν ὀκτὼ τούτων βιογραφιῶν ὑπάρχουσι καὶ ἄλλαι τινὲς ἀσημότεραι ἀνέκδοτοι[3]). *Νομίζομεν δ', ὅτι ἐν ταύταις οὐδεμία περὶ τοῦ ἡμετέρου ποιητοῦ σπουδαία εἴδησις ὑπάρχει. Διότι, εἰ τοιαύτη ἐν αὐταῖς ἐφέρετο, ὤφειλε διεγεῖραι τὴν προθυμίαν τινὸς τῶν ἐκδοτῶν, ἀφ' οὗ ὑπὲρ τοῦ ὁμηρικοῦ ζητήματος καὶ τὰ μικρότερα μνημεῖα ἠρευνήθησαν.*

Τῶν βιογραφιῶν λοιπὸν τούτων ἡ μὲν πρώτη μόλις μέχρι τοῦ δευτέρου Π·Χ αἰῶνος ἀναβαίνει, αἱ δὲ λοιπαὶ εἰς μεταγενεστέρους χρόνους καταβαίνουσιν. Ἀλλ' ἐπειδὴ αἶται ἐρείδονται ἐπὶ ἀρχαιοτέρων συγγραφέων, οὓς καὶ μάρτυρας ἐπικαλοῦνται, σπουδαιότερον ἀποβαίνει ἡμῖν τὸ ζήτημα, ἐκ τίνων πηγῶν αἱ εἰδήσεις τούτων καταρρέουσιν. Πρῶτος πάντων περὶ Ὁμήρου γράψας λέγεται Θεαγένης ὁ Ῥηγῖνος[4]). *Αἱ δὲ εἰρημέναι βιογραφίαι μνημονεύουσι πηγῶν ἑαυτῶν Εὐγαίωνος τοῦ Σαμίου, τοῦ Σιμωνίδου, τοῦ Πινδάρου, τοῦ Βακχυλίδου, τοῦ Φερεκύδου, τοῦ Στησιμβρότου, τοῦ Ἑλλανίκου καὶ τοῦ Δαμάστου. Ἀλλὰ οὗτοι πόθεν ἄραγε τὰς περὶ Ὁμήρου εἰδήσεις ἤντλησαν; Ὁ* Lauer, *ὅστις προβάλλει τὸ ζήτημα, ἀποφαίνεται, ὅτι, εἰ προγενέστεραι*

---

1) C. Müller, Fragmenta histor. Graec. III, *σελ.* 493. 2) *Δηλαδὴ κατα τὴν σειράν, ἣν ἔδω ὁ* Westermann. 3) Lauer, Geschichte der Homer. Poesie *σελ.* 73, *σημ.* 18. 4) *Σχόλια Ἑνετ. εἰς Ἰλιάδ Υ 67·* „*Οὗτος μὲν οὖν ὁ τρόπος ἀπολογίας ἀρχαῖος ὢν πάνυ καὶ ἀπό Θεαγένους τοῦ Ῥηγίνου, ὃς πρῶτος ἔγραψε περὶ Ὁμήρου.*“

τούτων πηγαὶ ὑπῆρχον, ὤφειλον ὑπὸ τῶν βιογράφων μνημονευθῆναι[1]). Ἀλλὰ μάλις δύναταί τις ἀπαιτῆσαι, ἵνα οὗτοι καὶ εἰς τὰς πηγὰς τῶν πηγῶν αὐτῶν παραπέμψωσιν. Ἡμῖν γε λίαν πιθανὸν φαίνεται, ὅτι μικρά τινα ᾄσματα καὶ ἄλλα μικρὰ μνημεῖα αἱ πρῶται πηγαὶ ἦσαν.

Ἐν τῇ ψευδοηροδοτείῳ γε βιοτῇ[2]) περιεσώθησαν ἡμῖν στίχοι τεθειμένοι εἰς τὸ στόμα τοῦ Ὁμήρου πρὸς τὸν ἐπιστάτην τῶν Κυμαίων ἀποτεινομένου. Τούτους ὁ σοφὸς Welcker θεωρεῖ προϊὸν τῆς ἀκμαζούσης ἐπικῆς ποιήσεως[3]). Ὁ αὐτὸς ἀνὴρ νομίζει, ὅτι τὸ παρ' Ἀθηναίῳ[4]) τετράστιχον τοῦ Σαμίου ἀοιδοῦ Ἀσίου, ἐν τῇ δεκάτῃ ὀλυμπιάδι ἀκμάσαντος, εἰς τὸν Μελησιγενῆ Ὅμηρον ἀναφέρεται. Ὡς τοιοῦτον μνημεῖον τοῦ βίου τοῦ Ὁμήρου δυνάμεθα μνημονεῦσαι καὶ τοῦ εἰς τὸν Δήλιον Ἀπόλλωνα ὕμνου, ὅστις ἀποδίδοται τῷ Κυναίθῳ τὴν ἕκτην ἢ ἐννάτην Ὀλυμπιάδα ζήσαντι[5]). Ἐπὶ Θεαγένους δὲ καὶ τῶν ἄλλων, ὡς δοκεῖ, τοιαῦτα μνημεῖα (ἔγγραφα ἢ ἄγραφα) ὑπῆρχον πολλά.

Διότι οἱ περὶ Ὁμήρου μῦθοι οὐκ ἐπλάσθησαν ἐπὶ Πεισιστράτου, ὅτε τὰ ὁμηρικὰ ἔπη (ὡς οἱ περὶ τὸν Wolf νομίζουσιν·) ἐγράφησαν καὶ κοινότερα κατέστησαν, ἀλλ' ἐξ ἐποχῆς μὴ πολὺ ἀπεχούσης τῆς ὁμηρικῆς καταρρέουσιν. Οἱ χρόνοι τοῦ Πεισιστράτου οὐκ ἦσαν γόνιμοι μύθων. Ἀλλά, καὶ εἰ τοιοῦτοι ἐπλάσσοντο, ἔμελλον εἶναι ὑπὲρ τῶν ἀξιώσεων τῶν Ἀθηναίων, καὶ τὴν τιμὴν τοῦ Μέλητος ὤφειλεν ἔχειν ὁ Ἰλισσός. Οἱ ἀττικοὶ ποιηταί, οἱ τοσαῦτα τῶν ἄλλων πόλεων σφετερισάμενοι, ἔμελλον ἀττικοὺς μύθους δημιουργῆσαι, καὶ τοῖς δημόταις τούτους ἐπιδεικνύοντες τέρπειν καὶ κολακεύειν τοὺς φιλῃκόους, φιλοκαίνους καὶ φιλοκόλακας Ἀθηναίους. Πόσην ἆρά γε ἀφορμὴν ἔμελλε τοῦτο

---

1) Geschichte der Homer. Poesie σελ. 74. 2) Κεφ. 14. 3) Der epische Cyklus I, 142. 4) Βιβλ. III, 125.

Χωλὸς στιγματίης πολυγήραος ἶσος ἀλήτῃ
ἦλθεν ὁ κνισσοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος ζωμοῦ κεχρημένος· ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

5) Σχολιαστὴς Πινδ. εἰς Νέμ. II, 1.

παρασχεῖν τοῖς φιλολόγοις ἐκείνοις ῥήτορσι καὶ δημαγωγοῖς τῶν Ἀθηνῶν! Πρὸς δέ, εἰ οἱ μῦθοι ἐπὶ Πεισιστράτου ἐπλάσσοντο, οἱ σύγχρονοι καὶ οἱ μετ' αὐτὸν ἀκμάσαντες ποιηταὶ καὶ λογογράφοι οὐκ ἠδύναντο αὐτοὺς δέξασθαι.

Λέγοντες ὅμως, ὅτι τινὲς τῶν φερομένων μύθων ἐν ἐποχῇ ὀλίγον μεταγενεστέρᾳ τῆς ὁμηρικῆς ἐγένοντο, οὐκ ἐννοοῦμεν, ὅτι ἐντεῦθεν ἡ προσωπικὴ τοῦ ποιητοῦ ὕπαρξις ἀναγκαίως ἕπεται. Διότι ἡ πρὸς τὸ ζήτημα τοῦτο ἀπόκρισις μόνον ἐκ τῆς ἐρεύνης πάντων τῶν ὅρων τοῦ ζητήματος δίδοται. Ἐκ τῶν εἰρημένων ἐξάγεται μόνον, ὅτι οἱ μῦθοι οὗτοι ἐν πολὺ ἀρχαιοτέρᾳ τοῦ Πεισιστράτου ἐποχῇ γεννηθέντες διετηρήθησαν μέχρι τοῦ Θεαγένους, τοῦ Εὐγαίωνος καὶ τῶν ἄλλων ἀείποτε μεγεθυνόμενοι, νοθευόμενοι καὶ πρὸς τὸ συμφέρον τῶν Ἑλληνίδων πόλεων ἀλλοιούμενοι. Ἐντεῦθεν ἐξηγεῖται ἡ μεγάλη αὐτῶν διαφορὰ καὶ τὸ μέγα τῶν ἀντιφάσεων πλῆθος, ὃ ἐν ταῖς περὶ Ὁμήρου εἰδήσεσιν εὑρίσκομεν. Μόνον ἡ ψευδοηροδότειος βιοτὴ φαίνεταί πως ἀπηλλαγμένη τούτων. Ὁ δὲ Lauer [1]) *νομίζει ὡς αἰτίαν, ὅτι ὁ βιογράφος τὴν τοῦ Ὁμήρου γέννησιν τῇ Σμύρνῃ ἐπιθυμῶν ἀποδοῦναι πάντας τοὺς μύθους τούτῳ τῷ σκοπῷ ὑποτάσσει. Ἡ αἰτία ὅμως, ὡς νομίζομεν, ἀλλαχοῦ ἔγκειται. Ἐν τοῖς ἔμπροσθεν ἐλέχθη, ὅτι αὕτη ἡ βιογραφία πρεσβυτέρα τῶν ἄλλων ἐστίν. Ἐν τῇ ἐποχῇ ταύτῃ οἱ μῦθοι τῶν ἄλλων πόλεων, ὡς δοκεῖ, οὐκ ἠξιοῦντο μεγάλης πίστεως. Ἴσως δὲ καὶ ὁ τῆς εἰρημένης βιογραφίας συγγραφεύς, ὡς ἔκ τε τῆς ἐντελοῦς μιμήσεως τῆς ἰωνικῆς γλώσσης καὶ τῆς καθ' ὅλου γνώσεως τῆς ἀρχαιοτέρας Ἑλλάδος εἰκάζομεν, ἦν ἐπιτήδειος, ὅπως τοὺς ἀρχαιοτέρους μύθους διακρίνῃ. Διότι ἄλλως οὐκ ἐννοοῦμεν, πῶς βιογράφος τοῦ δευτέρου ἢ καὶ τρίτου αἰῶνος Π·Χ ἠδύνατο δοῦναι τοῖς μύθοις τοιαύτην μορφήν.*

Αἱ περὶ Ὁμήρου εἰδήσεις εἰς τρεῖς τάξεις δύνανται διαιρεθῆναι [2]). *Α'. Εἰς τὸν μῦθον ἢ τοὺς μύθους τοὺς*

---

1) Geschichte der Homer. Poesie *σελ.* 77. 2) *Ὁ* Otfried Müller *φαίνεταί πως διαστέλλων δύο εἴδη μύθων*, Geschichte der griechischen Literatur *σελ.* 69.

πλασθέντας μεθ' Ὅμηρον ἢ μετὰ τὴν ἐποχήν, καθ' ἣν τὰ ὁμηρικὰ ἔπη συνετέθησαν, ἢ μετὰ τὴν παράστασιν τοῦ Ὁμήρου ὡς προσώπου. Β'. Εἰς τοὺς μύθους τοὺς κατὰ μίμησιν τῶν πρώτων πλασθέντας ὑπὸ πόλεων ὁρμωμένων ἐξ ἐγχωρίων αἰτιῶν π·χ οἱ Κολοφώνιοι τὴν ἐπικὴν ποίησιν ἀκμάζουσαν παρ' ἑαυτοῖς ὁρῶντες ἐνόμισαν τὸν ποιητὴν δημότην καὶ ὁμοίους τοῖς πρώτοις μύθους ἐποίησαν. Γ'. Εἰς τὰ μεταγενέστερα πλάσματα τῶν λογίων νομισάντων, ὅτι ἔν τε τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ ὁ τοῦ Ὁμήρου βίος ὑπολανθάνει. Οὕτως ἠνεῴχθη μέγα στάδιον πρὸς ἄλλο εἶδος μυθαρίων ῥᾳδίως διακρινομένων ἀπὸ τῶν μύθων τῶν δύο ἡγουμένων τάξεων. Φέρ' εἰπεῖν, ἐπειδὴ ὁ ποιητὴς μετα συμπαθείας εἰκονίζει τὸν Τηλέμαχον, ὃν ἐν τοῖς ἀνακτόροις τοῦ Νέστορος λούει ἡ καλὴ Πολυκάστη, ἔπλασαν τὸ μυθάριον, ὅτι δῆθεν ὁ Ὅμηρος υἱὸς τοῦ Τηλεμάχου καὶ τῆς Πολυκάστης[1]) ἐστίν. Ὡσαύτως ἐν τῇ Ὀδυσσείᾳ ὑπάρχει ἡ ζύμη τοῦ περὶ τῆς σχέσεως τοῦ ποιητοῦ πρὸς τὸν Μέντην μύθου[2]). Τί ἄλλο ἐστὶν ἡ πρὸς τὸν ποιητὴν σχέσις τοῦ ὁπλοποιοῦ Τυχίου[3]) καὶ τοῦ φιλέριδος Θερσίτου ἢ πλάσματα ἐκ τοῦ ἐν τῇ Ἰλιάδι ἐπαίνου πρὸς ἐκεῖνον καὶ μομφῆς πρὸς τοῦτον; Οὕτω λοιπὸν πρῶτον μία πόλις περὶ Ὁμήρου μύθους ἔπλασε ἢ τὰ γεγονότα ἐμεγέθυνεν. Διότι τὸ ὄνομα Ὅμηρος οὐκ ἠδύνατο (ἐκφραζόμεθα κατὰ τοὺς ἀναιροῦντας τὴν προσωπικὴν τοῦ ποιητοῦ ὕπαρξιν) ἐν πάσαις συγχρόνως ταῖς πόλεσι πλασθῆναι καὶ ταῦτα, ἀφ' οὗ ἐν τῷ ἑπομένῳ κεφαλαίῳ προδήλως δείκνυται, ὅτι αἱ ἄλλαι πόλεις εἶχον ὑπ' ὄψιν τὸν μῦθον μιᾶς. Κατὰ ταῦτα ὁ ὁρισμὸς τῆς πατρίδος τοῦ ποιητοῦ συμπίπτει τῷ ὁρισμῷ τοῦ τόπου, ἐν ᾧ πρῶτον περὶ Ὁμήρου μῦθοι ἐπλάσθησαν. Ἀλλὰ περὶ τοῦ ζητήματος τούτου ἔσται ὁ λόγος ἐν τῷ ἑπομένῳ κεφαλαίῳ.

Μετὰ τὰ εἰρημένα ἐγείρεται τὸ ζήτημα, τίνα ἀξίαν οἱ μῦθοι οὗτοι ἔχουσιν. Τούτοις πρὸ τοῦ Wolf *οὐ σμικρὸν κῦρος ἀπεδίδοτο, οἱ δὲ περὶ τὸν* Wolf *κατεφρόνησαν αὐτῶν*

---

1) *Βιογρ. Ζ' καὶ Η.* 2. 2) *Βιογρ. Α' κεφ.* 6. 3) *Ἰλιάδ Η* 219.

ὡς μηδεμίαν δῆθεν ἀξίαν ἐχόντων. Ἀλλὰ καὶ τὰ δύο ταῦτα ἄκρα, ὡς συνήθως τὰ ἄκρα, τῶν ὁρίων τοῦ ἀληθοῦς ἐξέρχονται. Αἱ περὶ Ὁμήρου εἰδήσεις μῦθοί εἰσι σπέρματα ἀληθείας περιέχοντες, ὡς οἱ πλεῖστοι τῶν ἄλλων μύθων. Ἡ εὕρεσις ὅμως τοῦ ἐν αὐτοῖς περιεχομένου ἀποβαίνει δυσχερεστάτη καὶ τοῖς ἐπιχειροῦσι τοῦτο εὑρεῖν πολλάκις τολμηροτάτη. Καὶ δὴ οἱ περὶ Ὁμήρου μῦθοι διττῶς ἐξηγοῦνται. Κατὰ τὴν πρώτην ἐξήγησιν ἄνθρωπός τις Ὅμηρος ὀνομαζόμενος ἐν Σμύρνῃ ἢ καὶ ἀλλαχοῦ γεννηθεὶς ἐποίησε τὴν Ἰλιάδα ἢ τὴν Ὀδύσσειαν ἢ καὶ ἀμφότερα τὰ ἔπη. Τοῦ μεγάλου δὲ τούτου ἀνδρὸς ὁ βίος κατὰ τὸ ἔθος ἐκείνης τῆς ἐποχῆς παρεδόθη ἐν μύθοις ἐκ τῶν ὁμηρικῶν μὲν χρόνων καταρρέουσι, θολουμένοις δὲ δι' εἰσροῆς μυθαρίων πόλεων τὸν Ὅμηρον σφετεριζομένων καὶ τῆς τούτου δόξης ὀρεγομένων μετασχεῖν. Κατὰ δὲ τὴν δευτέραν Ὅμηρος μέν ἐστιν προσωποποίησίς τις τῆς ἐπικῆς ποιήσεως, τὰ δὲ κατὰ τὸν βίον αὐτοῦ ὡς τῆς εἰρημένης τέχνης τύχαι ἐξηγοῦνται. π. χ. ὁ μῦθος, ὅτι ὁ Ὅμηρος εἰς Χίον ἢ ἄλλοσέ που ἀπεδήμησε, σημαίνει τὴν τῆς ἐπικῆς ποιήσεως μετάβασιν εἰς ταύτην τὴν νῆσον ἢ τὰς χώρας, εἰς ἃς ὁ ποιητὴς λέγεται ἀποδημήσας. Ἀμφότεραι αἱ ἑρμηνεῖαι δυναταί εἰσι, καὶ ἴσως τὸ ὁμηρικὸν ζήτημα ὤφειλεν, ὡς δὴ τὰ ἀπροσδιόριστα τῆς μαθηματικῆς προβλήματα, ἔχειν καὶ τὰς δύο εἰρημένας λύσεις, εἰ μὴ ἄλλοι ἄλλοθεν τοῦ ζητήματος ὅροι γνωστοὶ ἦσαν ἐξ ἀπροσδιορίστου προσδιοριστὸν αὐτὸ καθιστάντες. Διότι κατ' εὐτυχίαν οὐκ ἔχομεν μόνον τοὺς περὶ Ὁμήρου μύθους, ὡς παρὰ πᾶσι τοῖς ἄλλοις μύθοις συμβαίνει, ἀλλὰ καὶ δύο μακρὰ ἔπη ὑπὸ πάντων τῶν ἀρχαίων ἀποδιδόμενα τῷ ποιητῇ, περὶ οὗ οἱ μῦθοι. Τὰ ἔπη δὲ ταῦτα παρέχουσιν ἡμῖν τοὺς λοιπούς, μάλιστα δὲ τοὺς σπουδαιοτέρους, ὅρους τοῦ ζητήματος.

Ἡ τῶν ἐπῶν ὅμως ἔρευνα πρὸς λύσιν τοῦ ὁμηρικοῦ ζητήματος κακῇ τύχῃ ἤρξατο ἐν ἐποχῇ, καθ' ἣν ὁ μέγας Wolf καὶ τοῖς εἰρημένοις μύθοις πᾶν σπέρμα ἀληθείας, καὶ τῷ ποιητῇ τὴν προσωπικὴν ὕπαρξιν ἠρνεῖτο. Διὰ τοῦτο πρῶτον οἱ περὶ τὸν Wolf, βραδύτερον δέ, ἀλλὰ κατ' ἐξοχήν,

οἱ περὶ τὸν Lachmann ἠρεύνησαν τὰ ὁμηρικὰ ἔπη μήτε ἀπαθῶς, μήτε ἐπιστημονικῶν προλήψεων ἀπηλλαγμένοι, ὡς ἐν τῷ τρίτῳ βιβλίῳ δειχθήσεται. Τὸ δὲ πλεῖστον μέρος τοῦ τότε φιλολογικοῦ κόσμου ἤχθη εἰς τό δίλημμα· τὸ δέξασθαι μύθους, πρὸς οὓς αἱ πρότεραι καὶ σύγχρονοι γενεαὶ θρησκευτικὸν σέβας ὁμολογοῦσαι ἀπέδιδον μέγα κῦρος[1]), ἢ τὸ ἀρνήσασθαι πάντας, ὡς ὁ Wolf διὰ τῶν Προλεγομένων ἀπεφαίνετο. Μόνον αἱ δύο αὗται ὁδοὶ ἦσαν, ὧν ἡ μὲν ἔφερεν εἰς σκοπέλους μεγάλων δυσχερειῶν καὶ εἰς λαβύρινθον ἀντιφάσεων, ἐν δὲ τῇ ἑτέρᾳ ἱστάμενος ὁ Wolf τοὺς εἰσερχομένους δι' ἐπιστημονικοῦ τινος φωτὸς ὡδήγει. Ἡ ὁδὸς λοιπὸν αὕτη τὸ ἐπαγωγὸν ἔχουσα πάντας τοῦ νεωτεριστὰς τοῦ δεκάτου ὀγδόου αἰῶνος ἐπέσπασε, καὶ ἄκοντας διὰ τὸ ἔθος τοὺς πλείστους φιλολόγους τοῦ παρόντος αἰῶνος παρέσυρεν. Ἀλλὰ ποῦ, ἐπικαλούμεθα τὴν κρίσιν ἀπαθῶν κριτικῶν, ἔμελλεν ἡ ὁδὸς αὕτη ἀγαγεῖν τοὺς εἰς ταύτην εἰσελθόντας! Εἰ πρὸ τοῦ Wolf προηγεῖτο ἄλλος Wolf, ὅστις τὰς περὶ Ὁμήρου εἰδήσεις μύθους θεωρῶν ἐπιστημονικῶς αὐτοὺς ἐβασάνιζεν, ἴσως τὸ ὁμηρικὸν ζήτημα ἄλλοσέ που διηυθύνετο ἢ οὐδόλως ὑπῆρχεν. Τοὺς κινδύνους ὅμως, εἰς οὓς ἡ τοῦ Wolf θεωρία ἔφερε, λίαν βραδέως καὶ πολὺ ὀλίγοι σοφοὶ κατιδόντες ἤρξαντο ἐπιστημονικῆς τῶν μύθων ἐρεύνης[2]).

Ἐκ τῶν εἰρημένων λοιπὸν δῆλον γίνεται, ὅτι ἡ ἔλλειψις ἀκριβῶν καὶ βεβαίων περὶ Ὁμήρου εἰδήσεων καὶ ἡ νόθευσις τοῦ βίου αὐτοῦ διὰ μυθαρίων ὑπὸ συμφέροντος πεπλασμένων κατέστησαν τὸ πρῶτον δυνατὴν παρὰ τοῖς ἀνθρώποις τὴν γένεσιν ὁμηρικοῦ ζητήματος. Πῶς; Ἡ ἔλλειψις βεβαίων ἱστορικῶν εἰδήσεων κατέστησε ἀκροσφαλῆ τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν; Τοὐναντίον ἡμεῖς πι-

---

1) Παραδείγματος χάριν μνημονεύομεν τῆς Vita Homeri, τοῦ Petri Candidi Decembrii καὶ τοῦ Joh. Sander, De Homeri vita et scriptis collectanea Magdeburg 1661. 2) Ὡς ὁ Otfried Müller, Geschichte der griech. Literatur σελ. 69. G. W. Nitzsch, Sententiae veterum de Homeri patria et aetate accuratius etc. Kil. 1834. Lauer, Geschichte d. Homer. Poesie. B. Thiersch, Ueber das Zeitalter und Vaterland des Homer. Halberstadt 1824.

στεύομεν, ὅτι ἡ ἔλλειψις αὕτη οὐ σμικρὰ τῆς ἐκείνου ὑπάρξεως ἐγγύησίς ἐστιν. Διότι, εἰ σαφεῖς, μηδόλως ἀλλήλαις ἀντιφάσκουσαι καὶ καθαραὶ ἱστορικαὶ εἰδήσεις μυθικῷ προσώπῳ ἀπεδίδοντο, τοῦτο ἦν ἀπόδειξις, ὅτι τὸ πρόσωπον ἐκεῖνο οὐδέποτε ὑπῆρξεν. Διότι τότε δικαίως ἠδύνατό τις εἰπεῖν, ὅτι αὗται αἱ εἰδήσεις εἰσὶ πλάσματα τῶν ἱστορικῶν. Ἴσως πολλοὺς τῶν λογίων παρασύρουσιν εἰς ἀλλοίας κρίσεις αἱ σαφεῖς ἱστορικαὶ εἰδήσεις, ἃς περὶ τοῦ βίου τοῦ Schiller καὶ Göthe ἔχομεν. Ἀλλ' οὗτοι μὲν ἔζησαν ἐν ἱστορικοῖς, ἐκεῖνος δὲ ἐν μυθικοῖς χρόνοις.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς πατρίδος τοῦ Ὁμήρου.

Ἀφ' οὗ ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ἐδείξαμεν, ὅτι τὸ τοῦ Ὁμήρου ὄνομα ὡς προσώπου χαρακτηριστικὸν πρῶτον ἐν μιᾷ πόλει ἐφάνη καὶ εἶτα ἐν ταῖς ἄλλαις, ἐν τῷδε προτιθέμεθα, ἵνα τὰ δικαιώματα τῶν πόλεων τῶν δικαίας τὰς ἀξιώσεις πρὸς ἀντιποίησιν τοῦ ποιητοῦ ἐχουσῶν κρίναντες ἀποφανθῶμεν, τίς πλείονα δικαιώματα ἐπὶ τοῦ ποιητοῦ ἔχει. Ὁ μῦθος δὲ τῆς πόλεως ταύτης, ὡς ἐν τῇ σειρᾷ τῆς ἡμετέρας ἐρεύνης δῆλον ἔσται, ὁ ἀρχαιότερος πασῶν τῶν ἄλλων ἐστίν.

Ἐπειδὴ δ' ἡ δικαία τοῦ δικαστοῦ ἀπόφασις οὐ ῥᾳδία τυγχάνει, ταύτην ἀπέφευγον πολλοὶ τῶν ἀρχαίων, ὧν οἱ μὲν τὸν ἡμέτερον ποιητὴν κοσμοπολίτην 1), οἱ δε ποιητικώτερον

---

1) Πρόκλου περὶ Ὁμήρου „Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος οὐ ῥᾴδιον ἀποφήνασθαι· οὔτε γὰρ αὐτός τι λελάληκεν, ἀλλ' οὐδ' οἱ περὶ αὐτοῦ εἰπόντες συμπεφωνήκασιν, ἀλλ' ἐκ τοῦ μηδὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος οἷς ἐβούλετο ἐχαρίσατο. Καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δ' Ἰήτην, ἄλλοι δὲ Κυμαῖον, καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τἀνδρός, ὅθεν εἰκότως ἂν κοσμοπολίτης λέγοιτο."

τὸν Οὐρανὸν ὡς πατρίδα αὐτοῦ ἔλεγον[1]). Ἀλλ' οἱ τῆς ἀρχαιότητος ἐρευνηταὶ μὴ ἀπηλλαγμένοι τῶν μικροφιλοτιμιῶν τῶν Ἑλληνίδων πόλεων, ὅσαι τῆς ὁμηρικῆς δόξης ἀντεποιοῦντο, οὐκ ἠδύναντο δικαίως ἀποφανθῆναι. Διότι οἱ μὲν τοὺς αὐτῶν δημότας ἐφοβοῦντο, οἱ δὲ αὐτοὺς ἢ τοὺς ἀποίκους τῆς ἰδίας πόλεως ἐκολάκευον, οἱ δὲ καὶ παντοῖα μυθάρια ἔπλασσον, ὅπως τὴν τῶν δημοτῶν εὔνοιαν κερδίσωσιν, οἱ δὲ ἐκ πολλῶν συμπαθειῶν καὶ συμφερόντων τὴν ἰδίαν πεποίθησιν οὐκ ἐξέφραζον. Καὶ δὴ οὐ θαυμαστόν, ὅτι Ἔφορος ὁ Κυμαῖος λέγει τὸν ποιητὴν Κυμαῖον, παράδοξον ὅμως φαίνεται, ὅτι καὶ πλαγιώτερα συμφέροντα τὴν περὶ τοῦ ζητήματος τούτου ἀπόφανσιν ἐκώλυον. Ἀπίων ὁ ἐπικληθεὶς Μόχθος, ὁ μαθητὴς Διδύμου τοῦ Χαλκεντέρου, καίπερ τὴν σκιὰν τοῦ Ὁμήρου ἐπικαλεσάμενος, ὅπως περὶ τῆς πατρίδος αὐτοῦ ἐρωτήσῃ, ὅμως οὐ τολμᾷ δηλῶσαι τὴν ἀπόκρισιν[2]) φοβούμενος, μὴ τὸ πολιτικὸν δικαίωμα ἀπολέσῃ, δι' οὗ κατὰ τὸν Σενέκαν πᾶσαι αἱ Ἑλληνίδες πόλεις ἐτίμησαν αὐτόν[3]).

Οἱ χρόνοι ὅμως τῆς κολακείας παρῆλθον ἤδη, ἡ δ' ἐπιστήμη ἐλευθέρα καὶ φιλοκόλακος ἀκροατηρίου ἀπηλλαγμένη δυναται ἀπαθῶς καὶ ἀφόβως ἐν τῷ παγκοσμίῳ τῆς ἱστορίας δικαστηρίῳ δικάσαι. Ἀλλ' ἐνταῦθα ἐξετάσομεν τὰ δικαιώματα μόνον τῶν πόλεων τῶν ἐπὶ μύθων τοῦ πρώτου καὶ δευτέρου εἴδους ἐρειδομένων ἀποφεύγοντες παραδόξους ἀξιώσεις καὶ εἰκασίας. Παραδείγματος χάριν Μελέαγρος ὁ Γαδαρεὺς ἔλεγε τὸν Ὅμηρον Σύρον, ὅτι τοὺς

---

1) Ἀνθολ. Παλ. II, σελ. 715, 295 καὶ 296. Ὅρα καὶ Bonitz, Ueber den Ursprung der Homerischen Gedichte, Wien 1864, σελ. 14. 2) Πλίνιος XXX, 2, 6. Ἀνθολογ. τόμ. II, σελ. 716

Χῖος ἔφυς; οὔ φημι. Τί δέ, Σμυρναῖος; ἀπαυδῶ.
Κύμη δ' ἢ Κολοφὼν πατρὶς Ὅμηρε σέθεν;
Οὐδετέρη. Σαλαμὶς δὲ τεὴ πόλις; οὐδ' ἀπὸ ταύτης
ἐξέφυν. Ἀλλ' αὐτὸς λέξον ὅπη γέγονας.
Οὐκ ἐρέω. Τίνος ἦρα; Πέπεισμ' ὅτι τἀτρεκὲς εἰπών,
ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

3) Ἐπιστολὴ 88.

Ἀχαιοὺς ἀπεχομένους ἰχθύων ἐποίησεν[1]), ὅπερ διὰ πολλοὺς λόγους ἡμαρτημένον ἀποδείκνυται. Ὡσαύτως ἐξ ἡμαρτημένης προϋποθέσεως ἐγεννήθησαν αἱ ἀξιώσεις τοῦ Ἄργους, τῆς Ἰθάκης, τῶν Κεγχρεῶν, τῆς Κνωσσοῦ, τῆς Πύλου, τῆς Θεσσαλίας καὶ τῶν ἄλλων. Διότι οἱ πολῖται τῶν πόλεων τούτων ἐνόμιζον, ὅτι οἱ μῦθοι μόνον ὑπὸ ἐγχωρίου ποιητοῦ δύνανται ποιηθῆναι. Ὁ δ' Ἀριστόδημος ὁ Νυσαεὺς ὀνομάζων τὸν Ὅμηρον Ῥωμαῖον[2]) ἐπεθύμει, ὅπως κατὰ τὸ ἐπικρατοῦν τότε ἔθος διά τινος παραδόξου καὶ καινοφανοῦς τὸν αὐτοῦ λόγον κοσμήσῃ. Μέγα δ' ἀδικεῖ τὸν ῥήτορα ὁ νομίζων, ὅτι ὄντως ὁ Ἀριστόδημος τὸ αὐτοῦ παράδοξον ἐπίστευεν. Ὡσαύτως ἡ ἐπιστήμη ἀπαξιοῖ, ὅπως ἐξετάσῃ τὰς ἀξιώσεις τῆς Αἰγύπτου, τῆς Λυδίας καὶ πασῶν τῶν χωρῶν καὶ πόλεων, ἃς δικαίως ὁ Λουκιανὸς σκώπτει[3]). Ἡ δίκη λοιπὸν ἔσται μεταξὺ ὀλίγων πόλεων.

Ἀθῆναι. Οὐδόλως προὐτιθέμεθα περὶ ταύτης τῆς πόλεως πραγματευθῆναι, εἰ μὴ νεώτατός τις φιλολόγος, ὁ εὐφυὴς Sengebusch[4]), διὰ μακρῶν ἐπειρᾶτο τὸν Ὅμηρον ἀποδεῖξαι Ἀθηναῖον. Ὁ Otfried Müller[5]) δικαίως λέγει, ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τοῦ Ὁμήρου οὐδὲν ἄλλο δικαίωμα ἔχουσιν, ἢ καθ' ὅσον οὗτοι τὴν Σμύρνην ἀπῴκισαν. Τοῦτο ἀριδήλως δείκνυσι καὶ τὸ εἰς Πεισίστρατον ἐπίγραμμα[6]), ᾧ ὁ Sengebusch ἡμαρτημένην ἐξήγησιν δίδωσιν. Διότι ὁ σοφὸς οὗτος ἀνὴρ προϋποτιθεὶς τὸν ἐπιγραμματοποιὸν γινώσκοντα δῆθεν, ὅτι ὁ Ὅμηρος ἦν τῶν ἀρχαιοτάτων τῆς Σμύρνης κατοίκων, ὑποβάλλει τῷ ἐπιγράμματι τὸν ἑξῆς συλλογισμόν·

---

1) Ἀθην. IV, 157. 2) Vit. Matr. „Ἀριστόδημος δὲ ὁ Νυσαεὺς Ῥωμαῖον αὐτὸν ἀποδείκνυσιν ἔκ τινων ἐθῶν ῥωμαϊκῶν." 3) Ἀληθ. ἱστορ. II, 20. 4) Homerica dissertatio posterior. 5) Geschichte d. griech. Literatur σελ. 69. 6) Bekker, Anecd. II, 768

Τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξεν
  δῆμος Ἀθηναίων καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
  ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
Ἡμέτερος γὰρ κεῖνος ὁ χρύσειος ἦν πολιήτης,
  εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

ὁ Ὅμηρος ἦν ἐν τοῖς οἰκισταῖς τῆς Σμύρνης· οἱ οἰκισταὶ τῆς Σμύρνης ἦσαν Ἀθηναῖοι· ἄρα ὁ Ὅμηρος ἦν Ἀθηναῖος[1]). Ἀλλ' ὁ σοφὸς Sengebusch, ἰσχυρῶς, ὡς νομίζομεν, τὸν ἐπιγραμματοποιὸν πιέζει, ὅπως οὗτος μαρτυρήσῃ, ὅ, τι οὐ τολμᾷ εἰπεῖν. Πρός τί ὁ τοσοῦτος ἑλιγμός; Εἰ ὁ ἐπιγραμματοποιὸς ἐθεώρει τὸν Ὅμηρον ἐξ Ἀθηνῶν εἰς Σμύρνην μετοικήσαντα, τί ἐκώλυεν αὐτὸν εἰπεῖν τοῦτο διαρρήδην; Εἰ ὁ Μίλτων, ὡς λέγει ὁ Hiecke[2]), μετ' ἄλλων ἐκ τῆς μεγάλης Βρεταννίας εἰς τὴν Ἀμερικὴν μετῴκει, καὶ εἰ οἱ μὲν Βρεταννοὶ ἐγίνωσκον τοῦτο, οἱ δὲ Ἀμερικανοὶ ἐσφετερίζοντο τὸν ποιητήν, ἔμελλεν ἆρά γε Βρεταννὸς ἐπιγραμματοποιὸς δι' ἑλιγμῶν καὶ οὐχὶ διαρρήδην εἰπεῖν, ὅτι ὁ ποιητὴς Βρεταννὸς ἄποικός ἐστιν; Ἀλλ' ἐσώθησαν τῶν ἀρχαίων μαρτυρίαι, καθ' ἃς ὁ Ἀρίσταρχος καὶ Διονύσιος ὁ Θρᾷξ τὸν ποιητὴν Ἀθηναῖον ἔλεγον[3]). Τῇ δὲ μαρτυρίᾳ τοῦ Ἀριστάρχου ὡς τοῦ μεγίστου κριτικοῦ καὶ ὡς ὑπ' ὄψιν τὰς ἀρίστας περὶ Ὁμήρου εἰδήσεις ἔχοντος ὁ Sengebusch ἀποδίδωσι μέγα κῦρος. Ἀλλ' ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ἐδείξαμεν, ὅτι ἀττικοὶ μῦθοι περὶ Ὁμήρου οὐχ ὑπῆρχον. Ἡ δὲ τοῦ κριτικοῦ γνώμη, ὡς δοκεῖ, ἐμορφώθη ἐκ τοῦ ὑπὸ τοῦ Ἀριστοτέλους παραδεδομένου μύθου, καθ' ὃν ὁ Ὅμηρος εἰς τοὺς χρόνους τῆς ἰωνικῆς ἀποικίας τίθεται. Ἐνίσχυσαν δὲ τὴν γνώμην τοῦ κριτικοῦ λέξεων τύποι ὡς ἀττικοὶ τότε θεωρούμενοι. Ἀλλ' εἰς τὸν Sengebusch καὶ μετ' ὀλίγον ἐπανερχόμεθα. Ἀττικοὶ λοιπὸν μῦθοι οὐχ ὑπῆρχον, ἀλλὰ μόνον εἰκασίαι γραμματικῶν καὶ φῆμαι ἀόριστοι καὶ ἀνυπόστατοι[4]).

Κύμη. Ἐν τῇ ἐξετάσει τῶν ἀξιώσεων τῶν Ἀθηνῶν εἴδομεν, ὅτι ἡ πόλις αὕτη οὐ μόνον ἴδια δικαιώματα ἐπὶ τῆς γεννήσεως τοῦ ποιητοῦ οὐκ εἶχεν, ἀλλὰ σεμνυνομένη, ὅτι μητρόπολις τῆς πατρίδος τοῦ ποιητοῦ ἐστι, καὶ τὰ τῆς

---

1) Neue Jahrbücher von Jahn σελ. 369. 2) Der gegenwärtige Stand der Homerischen Frage 1856 σελ. 22. 3) Ἐπιφάνιος Βιβλ. I, τόμ. 3 „Ἀθηναῖον δὲ αὐτὸν οἱ περὶ Ἀρίσταρχον ἀπεφήναντο.“ 4) Gellius III, 2 „Sunt qui Atheniensem, sunt qui Aegyptium dicant.“

Σμύρνης ἐνίσχυεν. Τὰ αὐτὰ δικαιώματα ἔχει καὶ ἡ Κύμη κατ' ἄλλην παράδοσιν μητρόπολις τῆς Σμύρνης οὖσα. Διότι, ὡς γνωστόν, δύο παραδόσεις περὶ τῆς πόλεως ταύτης ὑπῆρχον, ἡ μὲν ἰωνική, ἡ δὲ αἰολική. Κατὰ μὲν τὴν πρώτην ὑπὸ τῶν κατοίκων τῆς Ἐφέσου ἢ χωρίου τινὸς τῆς Ἐφέσου Σμύρνης ὀνομαζομένου ἐκτίσθη ἡ βραδύτερον ἀκμάσασα Σμύρνη. Ἡ ἀποικία δ' αὕτη ἐθεωρεῖτο καὶ ἀττική· διότι τὴν Ἔφεσον οἱ Ἀθηναῖοι ὑπὸ Ἄνδροκλον τὸν Κόδρου ἔκτισαν. Κατὰ δὲ τὴν δευτέραν οἱ Αἰολεῖς τὴς Κύμης ὀκτωκαίδεκα ἔτη μετὰ τὴν κτίσιν τῆς πόλεως αὐτῶν τὴν Σμύρνην κατέσχον[1]). Κατὰ τὸν αἰολικὸν μῦθον Ἀπελλῆς, Μαίων καὶ Δῖος ἦσαν ἀδελφοί, Κυμαῖοι τὸ γένος· τούτων ὁ μὲν Δῖος διὰ χρέος εἰς Ἄσκρην τῆς Βοιωτίας μετοικήσας καὶ ἐκεῖ τὴν Πυκιμήδην γήμας ἐγέννησε τὸν Ἡσίοδον, ὁ δ' Ἀπελλῆς ἐν Κύμῃ τελευτήσας κατέλιπε θυγατέρα Κριθηίδα ὀνομαζομένην ὑπὸ τὴν κηδεμονίαν τοῦ ἀδελφοῦ Μαίονος. Οὗτος ὅμως τὴν παρθένον διακορεύσας καὶ τὴν κατάγνωσιν τῶν δημοτῶν φοβηθεὶς συνῆψεν αὐτὴν εἰς γάμον μετά τινος διδασκάλου γραμμάτων Φημίου ὀνομαζομένου. Ἡ δὲ ἐκκορευθεῖσα παρὰ τοῖς πλυνοῖς τοῦ Μέλητος ποταμοῦ τῆς Σμύρνης διάγουσα ἔτεκε τὸν ἡμέτερον ποιητὴν Μελησιγενῆ μὲν τὸ πρῶτον κληθέντα, βραδύτερον δέ, ἅτε τὰς ὄψεις πηρωθέντα, Ὅμηρον μετονομασθέντα. Διότι κατὰ τὴν μαρτυρίαν τοῦ Ἐφόρου οἱ Κυμαῖοι τοὺς τυφλοὺς ὁμήρους ὀνομάζουσιν[2]). Ἡ διήγησις αὕτη φέρει τὸν τύπον μύθου πλασθέντος ἐν ἐποχῇ προγενεστέρᾳ τοῦ Ἐφόρου. Ὅτι δ' ὁ μῦθος οὐκ ἐπλάσθη ὑπὸ τοῦ Κυμαίου, δηλοῦται ἐκ τούτου, ὅτι μνημονεύει αὐτοῦ καὶ ὁ Ἱππίας[3]). Ὁ μῦθος δ' οὗτος προδήλως δείκνυσιν, ὅτι ἐν τῇ ἐποχῇ, καθ' ἣν οὗτος ἐπλάσσετο, ἡ δημοσία τῶν Ἑλλήνων γνώμη ἦν, ὅτι ὁ Ὅμηρος ἐν Σμύρνῃ ἐγεννήθη. Διὰ τοῦτο δὴ οἱ Κυ-

---

1) Otfried Müller, Geschichte der griech. Literatur σελ. 72, καὶ Βιογραφίαν Α΄. 38. „Μετὰ δὲ Κύμην ὀκτωκαίδεκα ἔτεσιν ὕστερον Σμύρνα ὑπὸ Κυμαίων κατῳκίσθη, καὶ ἐν τούτῳ γίνεται Ὅμηρος.“ 2) Βιογραφία Β΄, 2. 3) Welcker, Der epische Cyklus I, 143. Παράβαλ. καὶ Nitzsch. Melet. II, 88, 94.

μαῖοι ἀναδραμόντες εἰς τὸν μῦθον, ὅτι οὗτοι εἰς τὴν Σμύρνην ἀποίκους ἔπεμψαν, καὶ ἐν τούτῳ ζύμην εὑρόντες ἔπλασαν ἄλλον μῦθον ἀφαιροῦντα ἐκ τῆς Σμύρνης, ὅ, τι ἦν δυνατόν. Τὴν μὲν γέννησιν τοῦ Ὁμήρου οὐ δύνανται σφετερίσασθαι, σφετερίζονται ὅμως τὴν μητέρα, τὸν ἀληθῆ πατέρα καὶ αὐτὴν τὴν σύλληψιν τοῦ ποιητοῦ. Πρὸς δὲ οἱ Κυμαῖοι καὶ ἄλλην αἰτίαν πρὸς ἀντιποίησιν τοῦ Ὁμήρου εἶχον· διότι ἡ πόλις αὐτῶν ἐκτίσθη ὑπὸ τῶν ἀπογόνων τοῦ Ἀγαμέμνονος, Κλεύα καὶ Μαλαοῦ[1]), καὶ πολὺ βραδύτερον ἦρχεν ἐνταῦθα βασιλεύς τις Ἀγαμέμνων, οὗ τὴν θυγατέρα ὁ τῶν Φρυγῶν βασιλεὺς Μίδας[2]) ἐνυμφεύθη. Διὰ τοῦτο οἱ Κυμαῖοι ἀκούοντες τὰ ὁμηρικὰ ἔπη ἤκουον τοὺς ἰδίους μύθους, τοὺς αὐτῶν δ' ἀκούοντες ἡδέως ἐπίστευον, ὅτι ὁ ποιητὴς ἐκ Κύμης τὸ γένος εἷλκεν.

Ἴος. Ὅ, τι ἔπραξαν οἱ Κυμαῖοι, τὸ αὐτὸ ποιοῦσι καὶ οἱ Ἰῆται. Ὁ Ἀριστοτέλης κατὰ τὸν Ψευδοπλούταρχον[3]) ἐν τῷ τρίτῳ περὶ ποιητικῆς διηγεῖτο, ὅτι ἐν Ἴῳ, καθ' ὃν χρόνον Νηλεὺς ὁ Κόδρου τῆς ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρη τις τῶν ἐπιχωρίων γενομένη ἔγκυος ὑπὸ δαίμονος τῶν ταῖς Μούσαις συγχορευόντων ἐξ αἰδοῦς ἀπῆλθεν εἰς χωρίον τι Αἴγιναν ὀνομαζόμενον. Ἐνταῦθα δὲ λησταὶ καταδραμόντες ἠνδραπόδισαν αὐτήν, καὶ εἰς Σμύρνην ἀγαγόντες τῷ βασιλεῖ τῶν Λυδῶν Μαίονι ἐχαρίσαντο. Οὗτος διὰ τὸ κάλλος ἐνυμφεύθη αὐτήν, ἥτις παρὰ τῷ Μέλητι διατρίβουσα ἔτεκε βρέφος ἐπὶ τῷ ποταμῷ. Καὶ ἡ μὲν τεκοῦσα εὐθὺς ἐτελεύτησεν, ὁ δὲ Μαίων τὸ τεχθὲν ὡς ἴδιον τέκνον ἔτρεφεν. Μετ' οὐ πολὺ δὲ καὶ αὐτὸς ὁ Μαίων ἐτελεύτησεν, οἱ δὲ Λυδοὶ ὑπὸ τῶν Αἰολέων καταπονούμενοι καὶ τὴν Σμύρνην ἀποφασίσαντες καταλιπεῖν, ἐκήρυξαν, ἵνα ὁ βουλόμενος ἕπεσθαι τοῖς ἡγεμόσι τῆς πόλεως ἐξέλθῃ. Ὁ Μελησιγενὴς εἰπών, ὅτι βούλεται ὁμηρεῖν ἀντὶ Μελησιγενοῦς Ὅμηρος μετωνομάσθη. Ἐν τῷ μύθῳ τούτῳ δῆλον γίνεται, ὅτι οἱ Ἰῆται ἐπειράθησαν, ὅπως τῶν Σμυρναίων, ὅ, τι ἠδύ-

---

1) Στράβ. XIII, 582 D. 621 B. 2) Πολυδεύκ. IX, 83. 3) Βιογραφία B', κεφ 3.

ναντο, σφετερισθῶσιν. Ὁ τῶν Σμυρναίων μῦθος περιωρίζετο ἐν τῷ ὀνομάσαι τὴν μητέρα τοῦ ποιητοῦ καὶ τὸν Μέλητα ὡς τόπον τῆς γεννήσεως αὐτοῦ δεῖξαι. Πόθεν ἡ Κριθηὶς κατήγετο, καὶ ποῦ τὸν ποιητὴν συνέλαβε, τοῦτο τοῖς Σμυρναίοις ἦν ἀδιάφορον. Ἐν τοῖς ἀδιαφόροις ὅμως οἵ τε Κυμαῖοι καὶ οἱ Ἰῆται εὗρον ζύμην, ὅπως νέους μύθους πλάσωσιν. Πρὸς δὲ οἱ Ἰῆται εἶχον τὸν μῦθον, ὅτι ὁ Ὅμηρος ἐν τῇ νήσῳ[1] *αὐτῶν ἐτελεύτησεν. Τοῦτο οὐ περιελάμβανεν ὁ τῶν Σμυρναίων μῦθος, καὶ διὰ τοῦτο ἴσως οἱ Ἰῆται ἐπέτυχον. Ἡ Ἴος τοσαῦτα δικαιώματα ἐπὶ τοῦ τάφου τοῦ ποιητοῦ ἔχει, ὅσα ἡ Σμύρνη ἐπὶ τῆς γεννήσεως αὐτοῦ. Διότι πλεῖσται*[2] *μαρτυρίαι τῶν ἀρχαίων ἐπικυροῦσι τὴν ἀξίωσιν αὐτῶν, καὶ ἴσως οὐδεμία ἄλλη πόλις διημφισβήτησε τὸν τάφον τοῦ ποιητοῦ. Ἐπειδὴ δ' οἱ Ἰῆται περὶ τὸν τάφον τοῦ ποιητοῦ κατ' ἔτος ἔθυον αἶγα, ὁ* Lauer[3] *εἰκάζει, ὅτι ἐν Ἴῳ ἡ ἐπικὴ ποίησις ἤκμαζε, καὶ ὅτι ὁ τοῦ Ὁμήρου τάφος τὸ κέντρον τῆς ἐπικῆς σχολῆς ἦν. Καὶ ἄλλα παραδείγματα τὴν εἰκασίαν ταύτην ὑποστηρίζουσιν, ἀλλ' ἡ τοιαύτη ἐξήγησις συμβολικὴ οὖσα ἔχει μικρὰν ἀξίαν. Ὁ* Lauer *πειρᾶται, ἵνα τὴν αὐτοῦ εἰκασίαν καὶ διὰ τοῦ ὀνόματος τῆς μητρὸς τοῦ ποιητοῦ ἐνισχύσῃ. Διότι αὕτη κατὰ τὸν Παυσανίαν παρὰ τοῖς Ἰήταις ἐκαλεῖτο Κλυμένη. Ἀλλ' ὁ* Welcker[4] *τὸ ὄνομα τοῦτο ὡς τιμητικὸν τῆς Κριθηίδος*

---

1) *Βιογραφ. Β'*

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

2) *Σκύλαξ* 59. *Στράβ.* X, 5, 1. *Παυσαν.* X, 24, 3. *Πλίνιος* IV, 12, 23. *Πλούταρχος Σερτ.* 1. „*Δυεῖν ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων Ἴου καὶ Σμύρνης τὸν ποιητὴν Ὅμηρον ἐν ᾗ μὲν γενέσθαι λέγεται, ἐν ᾗ δὲ ἀποθανεῖν.*“ *Δίων λόγ.* 47, 22. *Τὸ ζήτημα τοῦ τάφου τοῦ Ὁμήρου παρὰ προσδοκίαν ἐν τοῖς νεωτέροις χρόνοις ἠγέρθη. Διότι ἐν τῷ παρελθόντι αἰῶνι ἐπὶ τοῦ κατὰ τῆς Τουρκίας ῥωσσικοῦ πολέμου ὁ ῥῶσσος ἀξιωματικὸς τοῦ τὰ ἑλληνικὰ παράλια παραπλέοντος στόλου* Graf Pasch von Crienen *διεκήρυξεν, ὅτι τὸν τάφον τοῦ Ὁμήρου ἀνεκάλυψεν. Τοῦτο ἐγένετο αἰτία πρὸς συγγραφὴν πολλῶν διατριβῶν, δι' ὧν ἀπεδείχθη ἡ ἀπάτη τοῦ ἀρχαιολογήσαντος.* 3) Geschichte der Homer. Poesie *σελ.* 95. 4) Welcker, Der epische Cyklus I, 159. *Παυσαν.* IX, 30.

ἐπίθετον θεωρεῖ. Παυόμενοι δὲ τῆς ἐρεύνης τῶν ἀξιώσεων τῆς Ἴου ἐπιλέγομεν, ὅτι αἱ περὶ τῆς νήσου ταύτης εἰδήσεις ἐνισχύουσαι τὰ δικαιώματα τῆς Σμύρνης καταλείπουσι τῇ νήσῳ μόνον τὸν τοῦ ποιητοῦ τάφον.

Κολοφών. Ἔκ τινων ἁμαρτημάτων ἄλλα γεννῶνται, καί, ὅπερ χεῖρον, τῶν πρώτων γνωσθέντων καὶ διορθωθέντων, πολλάκις τὰ ἐκ τῶν πρώτων γεννηθέντα πλείονα χρόνον διαμένουσιν. Τούτου παραδείγματα ἑκάστη ἐπιστήμη παρέχει, ἡ δὲ φιλολογία οὔτε σμικρὰ οὔτε ὀλίγα. Πρὸ τῆς ἀναπτύξεως τῆς κριτικῆς πολλοὶ ἐπίστευον, ὅτι ὁ Μαργίτης ὑφ' Ὁμήρου ἐποιήθη[1]*. Τὸ ἁμάρτημα δὲ τοῦτο ἐγένετο αἰτία, ὅπως οἱ Κολοφώνιοι τὸν ποιητὴν δημότην θεωρήσωσιν, ὅπερ διετάραξε καὶ διαταράσσει τὰς περὶ τῆς πατρίδος τοῦ ποιητοῦ εἰδήσεις. Οἱ Κολοφώνιοι οὐκ εἶχον ζύμην, ὅπως πλάσωσι μῦθον ἀνάλογον πρὸς τὸν τῶν Κυμαίων καὶ Ἰητῶν. Ἐδείκνυον μόνον τὸν τόπον, ἐν ᾧ ὁ ποιητὴς γράμματα ἐδίδασκε, καὶ τῆς ποιήσεως ἀρξάμενος πρῶτον τὸν Μαργίτην ἐποίησεν. Πρὸς δὲ ἔλεγον, ὅτι ἐν Κολοφῶνι ὁ ποιητὴς τυφλὸς γενόμενος εἰς τὰς ἄλλας πόλεις ἀπεδήμησε, καὶ ὅτι ἐκ τῆς Σμύρνης εἰς τὴν πόλιν αὐτῶν ἦλθεν. Οὐδόλως δ' ἠξίουν, ὅτι ὁ Ὅμηρος ἐν Κολοφῶνι ἐγεννήθη. Αἱ σωζόμεναί γε μαρτυρίαι οὐ ποιοῦνται μνείαν τοιαύτης ἀξιώσεως. Διότι καὶ αὐτὸς ὁ ποιητὴς τοῦ ἐλεγείου, ᾧ τινες μεγίστῳ τεκμηρίῳ ἐχρῶντο, ὅπως τὸν ποιητὴν Κολοφώνιον ἀποδείξωσιν, ὁμολογεῖ, ὅτι ὁ Ὅμηρος παρὰ τῷ Μέλητι ἐγεννήθη*[2]*. Ἐκ δὲ τοῦ ἐπιγράμματος τοῦ Ἀντιπάτρου ἐξάγεται μόνον, ὅτι ὁ ποιητὴς ἐν Κολοφῶνι κατὰ τὴν νεανικὴν αὐτοῦ ἡλικίαν διέτριψεν· διότι οὐ δύναται ἀποδοθῆναι ἄλλη ἑρμηνεία εἰς τὸ ἐπίθετον τιθηνήτειραν*[3]*. Διότι*

1) *Ψευδοπλάτων Ἀλκιβιάδ. Β' σελ. 14 Β. Ἀριστοτέλ. Περὶ ποιητ. κεφ. 4.*

2) *Βιογραφία Β' „Εἰσὶ δ' οἳ καὶ Κολοφώνιον αὐτὸν ἀποδεικνύναι πειρῶνται, μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ. Ἔχει δ' οὕτως*

Υἱὲ Μέλητος, Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον,

3) *Αὐτόθι Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,*
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον,

τὸ αὐτὸ ἐπίθετον ἀποδίδοται καὶ ἄλλαις πόλεσι μὴ ἀξιούσαις, ὅτι ὁ Ὅμηρος ἐν αὐταῖς ἐγεννήθη. Τὴν αὐτὴν σημασίαν ἔχει καὶ τρίτον ἐπίγραμμα [1]), ὅπερ σημειοῦται κάτωθι [2]). Ἡ δὲ ἀξίωσις, ὅτι ὁ Ὅμηρος ἐν Κολοφῶνι κατα τὴν νεανικὴν αὐτοῦ ἡλικίαν διέτριψεν, ἐμορφώθη ἐκ τούτου, ὅτι ὁ Μαργίτης τῷ Ὁμήρῳ ἀπεδίδοτο. Διότι οἱ ἀρχαῖοι τὴν ἐν τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ σπουδαιότητα μὴ εὑρίσκοντες ἐν αὐτῷ ἐνόμισαν, ὅτι ὁ Ὅμηρος τὸ ποίημα ἐν τῇ παιδικῇ ἡλικίᾳ ἐποίησεν. Ἀλλ' ἐπειδὴ ἀφ' ἑτέρου γνωστὸν ἦν, ὡς καὶ νῦν ἀναντίρρητον, ὅτι ὁ Μαργίτης ἐν Κολοφῶνι ἐποιήθη, ἐξῆγον τὸ συμπέρασμα, ὅτι ὁ Ὅμηρος κατὰ τὴν παιδικὴν ἡλικίαν ἐν Κολοφῶνι διέτριψεν [3]). Ὁ Μαργίτης ἀναντιρρήτως προϊὸν τῆς Κολοφῶνός ἐστι, καὶ δικαίως οὐδεμία ἄλλη πόλις τούτου ἀντεποιήθη. Διότι τὸ ποίημα, ὡς ὀρθῶς ὁ σοφὸς Welcker λέγει, ἔφερε τὸν χαρακτῆρα τῶν Κολοφωνίων. Πρὸ τοῦ λυδικοῦ πολέμου πολλῶν πλουσίων εἰς τὴν Κολοφῶνα συρρευσάντων οὕτως ἡ ἐπικὴ ποίησις ἤκμαζεν, ὥστε ὁ Νίκανδρος ὁλόκληρον σύγγραμμα περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν συνέγραψεν [4]). Ἀλλὰ δυστυχῶς ἡ μετὰ τῶν Λυδῶν ἐπιμιξία ἐπήνεγκε τὴν εἰς πάντα ἀκολασίαν, ἧς προϊὸν ὁ ἡμέτερος Μαργίτης ἦν. Διὰ τοῦτο τὸ ποίημα ἀποδοτέον τοῖς χρόνοις, καθ' οὓς ἡ Ἰωνικὴ ποίησις ἐκ τοῦ σπουδαίου καὶ ὑψηλοῦ εἰς εἰρωνικὸν καὶ σκωπτικὸν ἐξέκλινεν [5]). Ἀλλ' ἔστωσαν ταῦτα ἱκανά. Ἐκ τῆς ἐξετάσεως τῶν δικαιωμάτων τῆς Κολοφῶνος συνάγεται, ὅτι ὁ

---

1) Ἀνθολογία Παλ. 9, 213.

Καὶ Κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσσι τέτυκται,
δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους,
πρωτότοκον μὲν Ὅμηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
ἀμφοτέρους Μούσαις οὐρανίῃσι φίλους.

2) Ἰδὲ Welcker, Der epische Cyklus I, 185. 3) Sengebusch, Homer. dissert. posterior σελ. 59. 4) Σχολ. εἰς Θηριακὰ στίχ. 3 „Καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται τοῦ Ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῷ Περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν." 5) Τὸν Μαργίτην βραδύτερον διεσκεύασε Πίγρης ὁ ἀδελφὸς τῆς Ἀρτεμισίας. Τούτου ἕνεκεν οἱ μεταγενέστεροι ἀπέδιδον τῷ ποίημα αὐτῷ. Ὅρα Σουίδαν ἐν λ. Πίγρης.

Μαργίτης ἐγένετο αἰτία τῆς φήμης, ὅτι ὁ Ὅμηρος νέος ὢν ἐν Κολοφῶνι διέτριψεν.

Σαλαμὶς ἡ ἐν Κύπρῳ. Αἱ τῆς πόλεως ταύτης ἀξιώσεις σμικροῦ λόγου ἄξιαι οὖσαι οὐκ ἐτύγχανον μεγάλης πίστεως[1]). Διότι οἱ Σαλαμίνιοι, ὡς δοκεῖ, σπουδαιοτάτην ἀφορμήν, εἰ μὴ τὴν μόνην, ὡς εἰκάζει ὁ Nitzsch[2]), εἶχον τὰ Κύπρια ἔπη. Πρὸ τῆς ἀναπτύξεως τῆς κριτικῆς οἱ μὲν ἔλεγον, ὅτι ὁ Ὅμηρος ποιήσας ταῦτα ἔδω προῖκα τῷ Στασίνῳ, οἱ δὲ αὐτὸν τὸν Στασῖνον ποιητὴν αὐτῶν ὠνόμαζον[3]). Οἱ Σαλαμίνιοι ἐπειράθησαν μέν, ὅπως καὶ μῦθόν τινα πλάσαντες τὸν ποιητὴν σφετερισθῶσιν, ἀλλ', ὡς δοκεῖ, ἀπέτυχον. Διότι οὗτοι οὔτε τὴν ἐπιτηδειότητα, οὔτε τὰς ἀφορμὰς τῶν Κυμαίων καὶ Ἰητῶν εἶχον. Ὁ Καλλικλῆς τὸν ποιητὴν Σαλαμίνιον λέγων ὠνόμαζε πατέρα αὐτοῦ Δμασαγόραν τινὰ[4]) ἢ κατὰ τὸν Welcker Δημαγόραν[5]). Πρὸς δὲ ἔλεγόν τινες, ὅτι ὁ ποιητὴς ὠνομάσθη Ὅμηρος· διότι ὁ πατὴρ αὐτοῦ ὅμηρος ὑπὸ τῶν Κυπρίων τοῖς Πέρσαις ἐδόθη. Ὁ δὲ φιλόπονος Sengebusch συνέλεξε χωρία τινὰ δεικνύοντα, ὅτι οἱ Σαλαμίνιοι ὠνόμαζον μητέρα τοῦ Ὁμήρου ἐπιχωρίαν τινὰ Θεμιστώ[6]).

Χίος. Τὰ δικαιώματα τῆς νήσου ταύτης οὐκ ἠρείδοντο ἐπὶ μύθου τινός, ἀλλὰ μόνον ἐπὶ τῶν Ὁμηριδῶν. Διότι καὶ πολλαὶ τῆς ἀρχαιότητος μαρτυρίαι περισωθεῖσαι μέχρις ἡμῶν οὐ μέμνηνται μύθου, καὶ ὁ Στράβων[7]) παραδίδωσιν. Διὰ τοῦτο δικαίως ὁ μὲν Welcker[8]) ὅλως ἀρνεῖται τὴν γένεσιν τούτου, ὁ δὲ Lauer[9]) μάτην λυπεῖται διὰ τὴν ἀπώλειαν αὐτοῦ. Τοῦτο δὲ κυροῦται καὶ ἐντεῦθεν, ὅτι ἐν Χίῳ οὔτε τόπος γεννήσεως τοῦ ποιητοῦ, ὡς ἐν

---

1) Βιογραφία Ε΄ „Τινὲς δὲ καὶ Σαλαμίνιον αὐτὸν εἶναί φασιν." 2) Homer. Melet. II, 2 σελ. 42. „Dubito igitur merito an Cypriorum s. Salaminiorum opinio nunquam evaluerit. Quos suspicor nullo allio argumento nisos esse, nisi carmine illo epico." 3) Τζέτζης ἐν χιλιάδ. 13, στίχ. 634. 4) Βιογραφία Η΄. 5) Der epische Cyklus I, 183. 6) Homer. dissert. post. σελ. 57. Παυσαν. X, 24, 3. 7) XIX, 645 „Ἀμφισβητοῦσι δὲ καὶ Ὁμήρου Χῖοι μαρτύριον μὲν τοὺς Ὁμηρίδας καλουμένους..." 8) Αὐτόθι I, 160. 9) Geschichte der Homer. Poesie σελ. 101.

Σμύρνῃ, οὔτε τάφος, ὡς ἐν Ἴῳ, ἀλλὰ μόνον ὁμηρεῖον ἢ γυμνάσιον, ὅπερ, ὡς ὁ Böckh[1]) *εἰκάζει, τόπος συναθροίσεως τῶν Ὁμηριδῶν ἦν. Διὰ ταῦτα ἥ τε φράσις τοῦ Σιμωνίδου Χῖος ἀνὴρ*[2]) *καὶ ἡ τοῦ Θεοκρίτου Χῖος ἀοιδὸς*[3]) *σημαίνουσιν οὐχ ὅτι ὁ Ὅμηρος ἐν Χίῳ ἐγεννήθη, ἀλλ' ὅτι ἐκεῖ κατῴκησεν, ἐδίδαξεν ἢ ἐποίησεν. Εἰ καὶ ὁ Θουκυδίδης τὸν εἰς Δήλιον Ἀπόλλωνα ὕμνον τῷ Ὁμήρῳ ἀποδίδωσιν, ὅμως ἡ κριτικὴ ἀπέδειξεν, ὅτι οὗτος μετὰ τῶν ἄλλων ὑπὸ τῶν ῥαψῳδῶν ἐποιήθη. Ἀλλὰ καὶ γνήσιος ἂν θεωρηθῇ, ἐκ τούτου οὐκ ἐξάγεται, ὅτι ὁ Ὅμηρος ἐν ταύτῃ τῇ νήσῳ ἐγεννήθη· διότι ἐν τούτῳ λέγεται μόνον, ὅτι ὁ τυφλὸς ἀοιδὸς οἰκεῖ ἐν τῇ παιπαλοέσσῃ Χίῳ*[4]). *Πρὸς ταῦτα συμφωνεῖ καὶ ἡ παρὰ Ψευδοηροδότῳ εἴδησις, ὅτι ὁ Ὅμηρος εἰς τὴν Χίον ἀποδημήσας, καὶ ἐκεῖ διδασκαλεῖον ἱδρύσας τοὺς παῖδας ἐδίδασκεν*[5]). *Οἱ Χῖοι λοιπὸν ἠξίουν, ὅτι ὁ Ὅμηρος ἐν τῇ νήσῳ αὐτῶν κατῴκησεν, ἐδίδαξεν ἢ ἐποίησεν. Εἰς τὴν Χίον δὲ ἦθεν ἐκ Σμύρνης, εἰς ἣν εὐθὺς μεταβαίνομεν.*

Σμύρνη. Τὰς σπουδαιοτέρας ἀξιώσεις τῶν πόλεων τῶν τοῦ Ὁμήρου ἀντιποιουμένων ἐξετάσαντες εὕρομεν αὐτὰς ἀναγνωριζούσας μέν, ὅτι ὁ Ὅμηρος ἐν Σμύρνῃ ἐγεννήθη, ἀντιποιουμένας δὲ τῆς τῶν γονέων καταγωγῆς ἢ τῆς συλλήψεως αὐτοῦ, ἢ σεμνυνομένας ἐπὶ τῇ διατριβῇ αὐτοῦ. Διὰ τοῦτο δικαίως οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῆς ἀρχαιότητος ἄνδρες ἀποδίδουσι τῇ Σμύρνῃ τὴν μεγάλην τιμήν, ὅτι ὁ Ὅμηρος ἐν ταύτῃ ἐγεννήθη[6]). *Τοῦτο δ' ὑπο-*

---

1) Corpus inscriptionum 2221 *καὶ* 2214. 2) *Ἀπόσπασμα* 85. 3) *Εἰδύλλ.* 7, 47. 4) *Θουκυδ. βιβλίον* III, 104. *Περὶ τῆς πλάνης τοῦ ἱστορικοῦ ἔσται λόγος ἔν τινι τῶν ἑπομένων κεφαλαίων.* 5) *Βιογραφία Α' κεφ* 25. *Ὁ Λέων Ἀλλάτιος διηγεῖται μετ' ἐνθουσιασμοῦ, ὅτι ἔν τινι χωρίῳ παρά τῇ Βολισσῷ οἱ κάτοικοι ἐδείκνυον ἐρείπιά τινα ὡς τάφον τοῦ Ὁμήρου. Ἀλλ' οὐδὲν τὸ παράδοξον. Διότι καὶ ἄλλοι ὑφ' ὁμοίου ἐνθουσιασμοῦ κατελήφθησαν, ὡς ὁ Βρεταννὸς ὁ τὸν οἶκον τοῦ Ὀδυσσέως ἀνακαλύψας.* 6) *Τζέτζης, Ἐξηγητ. εἰ Ἰλιάδ. σελ.* 8 „*Οἱ δοκιμώτατοι καὶ πλείους τῶν ἱστορικῶν κοινῶς ἀποδεδώκασι Μέλητος αὐτὸν τοῦ ποταμοῦ γεγονέναι καὶ Κριθηίδος νύμφης τινός.*“ *Ἱμέριος λόγ.* XI, 2 „*Τὴν Ὁμήρου φύσιν Μέλητι πάντες χαρίζουσιν.*“

στηρίζεται οὐ μόνον ὑπὸ τῆς ὁμολογίας πόλεων τὰ μάλιστα τοῦ Ὁμήρου ἀντιποιουμένων, ἀλλὰ καὶ ὑπὸ ἐπιχωρίου παραδόσεως φερούσης χαρακτῆρα καθαροῦ μύθου. Διότι κατὰ τὸν μῦθον τῶν Σμυρναίων ὁ Ὅμηρός ἐστιν οὐχὶ τοῦ γραμματοδιδασκάλου Φημίου υἱός, ὡς ὁ τῶν Κυμαίων μῦθος παραδίδωσιν, ἀλλὰ τοῦ ποταμοῦ Μέλητος καὶ τῆς νύμφης Κριθηΐδος [1]). Οἱ Σμυρναῖοι παρὰ ταῖς πηγαῖς τοῦ ποταμοῦ ἐδείκνυον σπήλαιον, ἐν ᾧ ὁ Ὅμηρος τὰ ἔπη ἐποίησεν [2]). Ἐν Σμύρνῃ ᾠκοδομήθη Ὁμηρεῖον, ἐν ᾧ ἡ εἰκὼν τοῦ ποιητοῦ ἐτέθη [3]). Πρὸς πᾶσι δὲ τούτοις, ἂν ἡ Σμύρνη ὡς τόπος τῆς γεννήσεως τοῦ ποιητοῦ θεωρηθῇ, καὶ αἱ τῶν ἄλλων πόλεων ἀξιώσεις, ὡς ὀρθῶς παρατηρεῖ ὁ Otfried Müller, εὐχερῶς ἐξηγοῦνται [4]). Ἡ Σμύρνη λοιπὸν δικαίως θεωρεῖται ὡς πασῶν τῶν ἄλλων ὑπερέχουσα ἐν τῇ ἀξιώσει, ὅτι πατρὶς τοῦ Ὁμήρου ἐστίν. Διότι τίνος πόλεως τὰ δικαιώματα ἀντίρροπα πρὸς τὰ τῆς Σμύρνης εἰσίν; Μόνη ἡ Σμύρνη δικαίως σεμνύνεται διὰ τὴν γέννησιν τοῦ ποιητοῦ, πᾶσαι δ' αἱ ἄλλα ἀλλοῖα ἐπ' αὐτοῦ δικαιώματα ἔχουσιν ἢ πειρῶνται ἔχειν, ὡς δὴ πλεῖσται γερμανικαὶ πόλεις ἀντιποιοῦνταί πως τοῦ τε Schiller καὶ Göthe. Καὶ δὴ ἡ μὲν σεμνύνεται, ὅτι ἐνταῦθα ἐγεννήθη ὁ ποιητής, ἡ δέ, ὅτι ἐνταῦθα διέτριψεν, ἡ δέ, ὅτι ἐνταῦθα ἐπαιδεύθη, ἡ δέ, ὅτι ἐνταῦθα ποιημάτιόν τι ἐποίησε καὶ ἄλλη δι' ἄλλην αἰτίαν πειρᾶται μετὰ τοῦ ποιητοῦ συνδεθῆναι. Ὁμολογοῦμεν, ὅτι αἱ τῶν πόλεων τούτων ἀξιώσεις οὐ προβαίνουσι τοσοῦτον, ὅσον αἱ τῶν τοῦ Ὁμήρου ἀντιποιουμένων. Ἀλλ', ἄν τις τὰς μικροφιλοτιμίας ταύτας τῶν γερμανικῶν πόλεων ἐν τοῖς μυθικοῖς τῆς Γερμανίας χρόνοις θῇ, εὐθέως νοεῖ τὰς ἀξιώσεις ταύτας ηὐξημένας καὶ ὑπὸ τῆς ἀκρισίας τῶν ἀνθρώπων πιστευομένας.

Ἀλλ' ἴσως τις ἀπορρίπτων τὴν εἴδησιν, ὅτι ὁ Ὅμηρος ὑπὸ ποταμοῦ Μέλητος καὶ νύμφης Κριθηΐδος ἐγεννήθη, μεταμέλεται, ὅτι μέχρι τῆς Σμύρνης παρήχθη, ἔνθα ἀντὶ

---

1) Βιογραφία Η', 8. 2) Παυσαν. VII, 5, 2. 3) Στράβων XIV, 646. Cicero pro Arch. κεφ. 8. 4) Geschichte der griech. Literatur σελ. 72.

φωτὸς μυθικὸν σκότος εὑρίσκει. Ἀλλ' αὐτὸ δὴ τὸ μυθικὸν σκότος μεγάλη ἐγγύησις τῆς ἀληθείας ἐστίν. Διότι ἐν σκοτεινῷ χώρῳ μόνον σκότος κατὰ φύσιν ὑπάρχει, τὸ δὲ φῶς ἐπείσακτόν ἐστιν Ὁ ἐν μυθικοῖς χρονοις οὐχὶ μύθους, ἀλλ' ἱστορίαν ζητῶν μάτην ζητεῖ, καὶ οὐδέποτε αὐτὴν εὑρήσει· ὁ δὲ τοιαύτην εὑρὼν καὶ μὴ αὐτῆς, ἅτε νόθου καὶ κιβδήλου, καταφρονήσας ἁμαρτάνει οὐχ ἧττον ἢ ὁ πιστεύων εἰς μύθους ἱστορικῶν χρόνων. Ἀλλὰ τίνος ἕνεκεν ἡ καταφρόνησις; Τὰ τοιαῦτα ἐν τῇ ὁμηρικῇ ἐποχῇ οὐκ ἦσαν ἄξια πίστεως; Αὐτὴ δὴ ἡ Ἰλιὰς πλεῖστα ἡμῖν παραδείγματα παρέχει. Ἴσως οὔτε Ἀχιλλεύς, οὔτε Αἰνείας, οὔτε Σαρπηδὼν ὑπῆρξάν πού ποτε· ὅτι ὅμως ὑπῆρξάν τινες ἐν τοῖς ἡρωικοῖς χρόνοις ὡς υἱοὶ θεῶν καὶ νυμφῶν πιστευόμενοι, ἀναντίρρητον. Διότι ὁ τοῦτο ἀρνούμενος ὀφείλει ἀρνηθῆναι ὁλόκληρον τὸν ὁμηρικὸν κόσμον ὡς πλάσμα δῆθεν τοῦ ποιητοῦ. Ἡ τοιαύτη ὅμως ἄρνησις ἄγει εἰς ἄτοπον. Διότι οὗτος ὀφείλει δέξασθαι, ὅτι καὶ τὰ νεώτερα μυθιστορήματα καθ' ὅλον πλάσματα τῆς φαντασίας ὄντα οὐδόλως ἐπὶ τοῦ πραγματικοῦ κόσμου ἐρείδονται, ὅπερ φύσει ἀδύνατον. Ἀλλὰ ταῦτα μὲν δὴ ἱκανὰ ἔστωσαν.

Ἐπραγματεύθημεν δὲ τὰ περὶ τῆς πατρίδος τοῦ Ὁμήρου διὰ δύο σπουδαίας αἰτίας· πρῶτον, ὅτι ταῦτα μέρος τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν ἀποτελοῦσι, καὶ εἶτα, ἀλλὰ κατ' ἐξοχήν, ὅτι ἡ πληθὺς τῶν πατρίδων τοῦ ποιητοῦ ἦν ἡ πρώτη δὴ αἰτία, δι' ἣν ὁ Ἰταλὸς Vico[1]) *τὸν Ὅμηρον διεμέλισεν. Ἐκ τῆς αὐτῆς δ' ἀρχῆς ὁρμώμενος καὶ ὁ* Zoega[2]) *πρὸ τοῦ* Wolf *ἤδη ἠθέτει τὸν ἡμέτερον ποιητήν. Ἀπὸ δὲ τοῦ* Wolf *μέχρις ἡμῶν πάντες σχεδὸν οἱ κριτικοὶ τὴν πληθὺν τῶν πατρίδων τοῦ Ὁμήρου ὡς τὸ προχειρότερον κατ' αὐτοῦ ὅπλον ἐθεώρησαν. Παραδείγματος χάριν ὁ σοφὸς* Bonitz[3]) *τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν*

---

1) Principy di scienza nuova. Neapoli 1744. Libro terzo: della discoverta del vero Omero *σελ.* 379—413. 2) Zoega's Abhandlungen VII, 307. *Τὸ σύγγραμμα ἐξεδόθη βραδύτερον ὑπὸ* Welcker. 3) Ueber den Ursprung der Homer. Gesänge *σελ.* 14.

ἀρνούμενος ἐρείδεται ἐπὶ τούτου, ὅτι, ἐν ᾧ πολλαὶ πόλεις περὶ τὴν πατρίδα τοῦ ποιητοῦ ἐρίζουσιν, οὐδὲν δικαίωμα ἔχομεν, ἵνα τὴν μίαν τῆς ἑτέρας προτιμήσωμεν. Διὰ τοῦτο τὸ περὶ τῆς πατρίδος τοῦ ποιητοῦ ζήτημα ἀπῄτει ἀναγκαίως λύσιν, ὡς οἱονδήποτε ἄλλο μέρος τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν. Διὰ τῆς ἡγουμένης λοιπὸν ἐρεύνης ἐπειράθημεν, ὅπως τὸ δυσχερὲς τοῦτο ζήτημα λύσαντες δείξωμεν, ὅτι ἐκ τῆς πληθύος τῶν πατρίδων οὐδόλως ὁ ποιητὴς κινδυνεύει. Ἐπειδὴ δὲ τὰ περὶ πατρίδος στενῶς συνδέονται μετὰ τοῦ φύλου, ᾧ ἀνῆκεν ὁ Ὅμηρος, ἐνομίσαμεν ἀναγκαῖον, ὅπως τὴν ἡμετέραν ἔρευναν διὰ τοῦ ἑπομένου κεφαλαίου συμπληρώσωμεν.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τοῦ φύλου, ᾧ ἀνῆκεν ὁ Ὅμηρος.

Οὐ μόνον Ἑλληνίδες πόλεις περὶ τοῦ ἡμετέρου ποιητοῦ, ἀλλὰ καὶ ἑλληνικὰ φῦλα ἐρίζουσιν. Ἐπειδὴ δ' ἡ ἐποχὴ τῆς τῶν ὁμηρικῶν ἐπῶν γενέσεως προηγεῖται τῆς ἀκμῆς τοῦ τε δωρικοῦ καὶ ἀττικοῦ, μόνον οἱ Ἴωνες καὶ Αἰολεῖς ἀγωνίζονται. Ἀλλ' ὁ ἀγὼν ἄνισός ἐστι, καί, ὡς νομίζομεν, τὸ ἆθλον τῷ ἰωνικῷ φύλῳ ἀποδοτέον, ὡς ἐν τῇ σειρᾷ τῆς ἑπομένης ἐρεύνης δειχθήσεται.

Ἡ τοῦ ζητήματος λύσις δίδοται ἐκ δύο ὅρων, ὧν ὁ μὲν προϊὸν τῆς παραδόσεως, ὁ δ' ἕτερος τῆς ἐρεύνης τῶν ὁμηρικῶν ἐπῶν ἐστιν. Ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ εἴδομεν πολλὰς ἰωνικὰς πόλεις περὶ τῆς πατρίδος τοῦ ποιητοῦ ἐριζούσας, σχολὰς ἐπικῆς ποιήσεως ἐπιδεικνυούσας, ὡς ἡ Χίος, ἡ Κολοφὼν καὶ ἡ Ἴος, ἢ καὶ διὰ τὴν μετὰ τῆς Σμύρνης συγγένειαν σεμνυνομένας. Τῶν αἰολικῶν ὅμως πόλεων μόνον ἡ Κύμη σπουδαίας ἀξιώσεις πρὸς ἀντιποίησιν τοῦ Ὁμήρου ἔχει. Ἐν δὲ τῇ ἐξετάσει τῶν δικαιωμάτων ταύτης τῆς πόλεως εἴδομεν περὶ τῆς Σμύρνης δύο παραδόσεις, ὧν

ἡ μὲν αἰολική, ἡ δ' ἰωνικὴ ἦν. Ἐπειδὴ δ' ἡ μὲν ἰωνικὴ ἀποικία κατὰ τοὺς Ἀλεξανδρινοὺς 140 μετὰ τὴν ἅλωσιν τῆς Τροίας, ἡ δὲ κτίσις τῆς Κύμης, ἧς οἱ κάτοικοι μετὰ 18 ἔτη τὴν Σμύρνην κατέσχον, ἐν ἔτει 150 ἐγένετο, ὁ Otfried Müller πάνυ πιθανῶς εἰκάζει[1]), ὅτι τὰ δύο ταῦτα φῦλα οὐ βραχὺν χρόνον ἐν Σμύρνῃ ὁμοῦ διῆγον. Τὸ κατ' ἀρχὰς οἱ Ἴωνες κατεῖχον τὴν πόλιν, οἱ δ' Αἰολεῖς ἐπιδραμόντες ταύτης ἐκράτησαν καὶ διὰ τοῦτο κατὰ τὸν Ἡρόδοτον[2]) ἡ Σμύρνη μία τῶν δώδεκα αἰολικῶν πόλεων ἐθεωρεῖτο, ἐν ᾧ ὁ ἰωνικὸς δεσμὸς περιεῖχε δώδεκα πόλεις πλὴν τῆς Σμύρνης. Μετά τινα δὲ χρόνον (οὐ γινώσκομεν ἀκριβῶς αὐτόν) οἱ Ἴωνες ὑπὸ τῶν Αἰολέων ἐκδιωχθέντες μετῴκησαν εἰς Κολοφῶνα ἀεὶ τὴν ἐπιθυμίαν ἔχοντες, ὅπως αὖθις ἐπανέλθωσιν. Καὶ ὄντως μετὰ παρέλευσιν χρόνου τινὸς ἡ μὲν ἐπιθυμία τῶν Ἰώνων ἐξεπληρώθη, οἱ δ' Αἰολεῖς τῆς Σμύρνης ἐξεβλήθησαν, καὶ ἔκτοτε ἡ πόλις αὕτη διέμεινεν ὡς καθαρὰ ἰωνική. Καίπερ μὴ δυνάμενοι ὁρίσαι τὴν ἐποχὴν τοῦ γεγονότος, ὅμως γινώσκομεν, ὅτι πρὸ τῆς 20ῆς Ὀλυμπιάδος ἢ περὶ τὰ 700 Π·Χ ἡ Σμύρνη ἦν ἤδη ἰωνική. Διότι Γύγης ὁ τῶν Λυδῶν βασιλεύς, συγχρόνως ἐπολέμησε τὰς ἰωνικὰς πόλεις Μίλητον, Κολοφῶνα καὶ Σμύρνην, ἣν ὁ Παυσανίας θεωρεῖ ἰωνικήν[3]). Πρὸς δὲ γινώσκομεν Ὀλυμπιονίκην Ἴωνα ἐκ Σμύρνης νικήσαντα ἐν τῇ 23ῃ ὀλυμπιάδι ἤτοι 688 Π·Χ[4]). Μίμνερμος δὲ ὁ ἐλεγειακὸς ποιητὴς τὴν 37 ὀλυμπιάδα ἤτοι 630 Π.Χ ἀκμάζων εἷλκε τὸ γένος ἐκ τῶν Κολοφωνίων τῶν εἰς τὴν Σμύρνην μετοικησάντων[5]). Ἀλλ' ἐν τῷ ἑπομένῳ κεφαλαίῳ δεικνύομεν τὰ αἴτια, δι' ἃ οὐ δυνάμεθα καταβιβάσαι τὸν Ὅμηρον εἰς τὴν ἐποχήν, καθ' ἣν εὑρίσκομεν μαρτυρίας, ὅτι ἡ Σμύρνη ἐγένετο ἰωνική.

Πότε λοιπὸν ἐγεννήθη ὁ Ὅμηρος ἐν Σμύρνῃ; Ἐπὶ τῆς ἰωνικῆς ἢ ἐπὶ τῆς αἰολικῆς Σμύρνης; Ἐν τῇ ψευδοηροδο-

---

1) Geschichte der griech. Literatur σελ. 72. 2) I, 149. 3) Ἡρόδοτ. I, 150. Παυσαν. VII, 51. 4) Παυσαν. V, 8, 3. 5) Στράβων XIV, σελ. 634.

τείῳ βιοτῇ σώζονται στίχοι τινὲς εἰς το στόμα αὐτοῦ τοῦ Ὁμήρου ἐμβεβλημένοι [1]. *Ὅτι μὲν οὗτοι οὐκ ἐποιήθησαν ὑπὸ τοῦ Ὁμήρου, πιθανώτατον, ὅτι ὅμως ἀρχαιότεροι τοῦ πεζοῦ λόγου εἰσίν, ἤδη ἐν τῷ πρώτῳ κεφαλαίῳ ἐδεξάμεθα τὴν τοῦ σοφοῦ* Welcker *γνώμην ἐπιδοκιμάσαντες. Ἔν τινι ὅμως τῶν στίχων τούτων ἡ Σμύρνη ὀνομάζεται αἰολική* [2]. *Ἀλλά πρῶτον ἀμφίβολον, εἰ ὁ ἀοιδός, ὁ τοὺς στίχους ποιήσας, εἶχεν ἀκριβῆ γνῶσιν τῶν πρὸ αὐτοῦ ἐν Σμύρνῃ γενομένων μεταβολῶν. Εἶτα δὲ μὴ λανθάνῃ ἡμᾶς, ὅτι ὁ ποιητὴς πρὸς τοὺς Αἰολεῖς Κυμαίους ἀποτεινόμενος οὐκ ἠδύνατο ὀνομάσαι τὴν Σμύρνην ἰωνικήν. Ὁ δὲ Κυμαῖος ἀοιδὸς Μελάνωπος ὀνομάζεται* [3] *μὲν ὑπὸ τῶν λογογράφων καὶ μυθογράφων πάππος τοῦ Ὁμήρου, ἀλλὰ τοῦτο ἀποδεικνύει μόνον, ὡς ὁ* Otfried Müller *νομίζει* [4], *ὅτι ἐπὶ τῆς συνθέσεως τῶν γενεαλογιῶν ὁ ποιητὴς μετὰ τῆς ἀποικίας τῶν Κυμαίων συνεδέετο. Πρὸς ἀπόδειξιν ὅμως τοῦ ζητουμένου ἀπαιτοῦνται προγενέστεραι τῶν λογογράφων μαρτυρίαι. Πρὸς δὲ ὁ μὲν χρόνος, καθ' ὃν μόνοι οἱ Αἰολεῖς ἐν Σμύρνῃ ᾤκουν, βραχύς ἐστιν, ὁ δὲ τῶν Ἰώνων μήκιστος εἰς τρεῖς περιόδους διαιρούμενος. Α'. Εἰς τὴν καθαρὰν ἰωνικὴν ἀποικίαν. Β'. Εἰς τὴν μικτήν, καὶ Γ'. Εἰς τὴν διαρκῆ διαμονὴν τῶν Ἰώνων μετὰ τὴν τῶν Αἰολέων ἐξέλασιν. Ἐν μιᾷ λοιπὸν τῶν τριῶν τούτων ἐποχῶν ὁ Ὅμηρος ἐν Σμύρνῃ ἐγεννήθη. Ἐν τίνι ὅμως, οὐ δυνάμεθα εἰπεῖν. Ὅτι δ' Ἴων ἐστίν* [5], *δῆλον καὶ ἐκ τῶν ἑξῆς.*

Ἐν τοῖς ἔμπροσθεν εἴρηται, ὅτι ὁ δεύτερος τοῦ ζητήματος ὅρος ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εὕρηται. Οἱ ἀρχαῖοι ἤδη ἐπειράθησαν, ὅπως τὰ ὁμηρικὰ ἔπη ἐξετάσαντες τὸ τοῦ ποιητοῦ φῦλον ἀνιχνεύσωσιν. Καὶ δὴ παρετήρησαν αἰολικά τινα ἔθιμα παρ' Ὁμήρῳ· ἡ βούβρωστις, ἡ ἀκόρε-

---

1) *Βιογραφία Α' κεφ.* 14. 2) *Κεφ.* 14·
Αἰολίδα Σμύρνην ἁλιγείτονα ποντοτίνακτον.
3) *Αὐτόθι κεφ.* 1. 4) Geschichte der griech. Literatur *σελ.* 76. 5) *Ὁ* Sengebusch, „*Ὅστις ὑπὲρ πάντας τὴν παράδοσιν ἐμελέτησε, λεγει*“ et si „Homerus ipse Smyrnaeus fuit, Homerum quoque ipsum non ad Aeolicam, sed Ionicam Smyrnaeae civitatis pertinuisse partem.“ Homer. diss. post. *σελ.* 67.

στος δηλονότι πεῖνα, ἧς μνεία ἐν τῇ τελευταίᾳ τῆς Ἰλιάδος ῥαψῳδίᾳ[1]) *γίνεται, ὑπὸ τῶν Αἰολέων διὰ ναοῦ ἐν Σμύρνῃ ἐτιμήθη*[2]). *Ἡ λατρεία ὅμως ταύτης τῆς θεότητος ὑπὸ τοῦ Εὐσταθίου τοῖς Ἴωσιν ἀποδίδοται*[3]). *Ὁ δὲ τὴν ψευδοηροδότειον βιοτὴν γράψας πειρᾶται, ὅπως τὸν Ὅμηρον Αἰολέα ἔκ τινων ἐθῶν ἀποδείξῃ. Πρῶτον ὁ Ὅμηρος οὐδαμοῦ μέμνηται τῆς ὀσφύος τῶν καιομένων θυμάτων. Κατὰ δὲ τὸν βιογράφον μόνοι τῶν Ἑλλήνων οἱ Αἰολεῖς οὐκ ἔκαιον τὴν ὀσφύν*[4]). *Εἶτα οἱ παρ' Ὁμήρῳ θύοντες ὀπτῶσι τὸ κρέας διὰ πέντε ὀβελῶν, ἤτοι πεμποβόλων, ἐν ᾧ οἱ ἄλλοι Ἕλληνες διὰ τριῶν*[5]). *Ὁ βιογράφος ὅμως, ὡς νομίζομεν, ἐξ ἡμαρτημένης προϋποθέσεως ὁρμᾶται. Διότι λέγει, ὅτι ὁ ποιητὴς ἢ κάλλιστα ἐξευρὼν ποιεῖ ἢ τὰ αὐτοῦ πάτρια. Ὅμως καὶ τὰ δύο μέρη ἡμαρτημένα εἰσίν. Διότι ὁ Ὅμηρος οὔτε ἐξεῦρε τὸν ὑπ' αὐτοῦ περιγραφόμενον κόσμον, οὔτε τὰ πάτρια (ὑπὸ τὴν στενὴν τῆς λέξεως σημασίαν, ὡς ὁ βιογράφος νοεῖ ταύτην) ἐποίησεν. Διότι ἐπί τε τὴν Τροίαν ἐστρατεύσαντο Ἕλληνες ἐκ πασῶν τῶν ἑλληνικῶν χωρῶν, καὶ ἐν τῇ παραλίᾳ τῆς μικρᾶς Ἀσίας, ὅπου οἱ μῦθοι τὴν τελευταίαν μορφὴν ἔσχον, ἄποικοι ἐκ τῶν πλείστων χωρῶν τῆς Ἑλλάδος ἔζων*[6]). *Ὁ δὲ κοινὸν πᾶσι τοῖς Ἕλλησιν ἔπος ποιήσας παρέλαβε τά τε ἔθιμα καὶ τοὺς διαλεκτικοὺς τύπους, εἰ ἦσαν τοιοῦτοι, τῶν ἐπισημοτέρων φύλων. Ἀλλὰ τοιαῦτα ἐφ' Ὁμήρου ἴσως οὐχ ὑπῆρχον. Διότι ἐπὶ τούτου τὰ ἑλληνικὰ φῦλα ἦσαν ἐν νηπιότητι, τὰ δὲ νήπια ἀεὶ φύσει ὅμοια πρὸς ἄλληλά εἰσιν. Διὰ τοῦτο τὰ ὡς αἰολικὰ σημειούμενα ἔθιμα ἦσαν κοινὰ τοῖς τε Αἰολεῦσι καὶ Ἴωσιν. Οἱ Ἴωνες ὅμως τῶν μὲν ἀλλοτρίων ἀεὶ ὀρεγόμενοι, τῶν δὲ πατρίων ὑπερορῶντες κατέλιπον ταῦτα, ἅπερ ὑπὸ τῶν γραμματικῶν ὡς φυλετικὰ χαρακτηριστικὰ τῶν Αἰολέων ἐθεωρήθησαν. Καὶ δὴ οὗτοι ἐπιθυμοῦντες, ἵνα*

---

1) *Στίχ.* 532. 2) *Πλούταρχ. Προβλήμ. συμποσ.* VI, 8, 1. 3) *Εἰς Ἰλιάδ.* Ω 532. 4) *Κεφ.* 37. 5) *Αὐτόθι.* „*Αἰολέες γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν, οἱ δ' ἄλλοι Ἕλληνες ἐπὶ τριῶν. Καὶ γὰρ ὀνομάζουσιν οἱ Αἰολέες τὰ πέντε πέμπε.*" 6) W. Müller, Homerische Vorschule, Leipzig 1824 *σελ.* 4.

πάντα εἰς τὴν ἀναλογίαν ὑποβάλωσι, συχνάκις εὑρίσκουσιν ἐν τοῖς ὁμηρικοῖς ἔπεσι, δωρικούς, βοιωτικούς, ἀρκαδικούς, ἀττικοὺς καὶ ἄλλους διαλεκτικοὺς τύπους[1]. *Τοῦτο ὅμως ἀπορρέει ἐκ τῆς ἡμαρτημένης προϋποθέσεως, ὅτι ἐφ' Ὁμήρου ἦσαν τοιοῦτοι τύποι. Διὰ τοῦτο ἡ αἰολικῶν*[2] *τύπων εὕρεσις οὐκ ἀποδεικνύει, ὅτι ὁ Ὅμηρος ἦν Αἰολεύς, ὡς οὐκ ἔστι Δωριεύς, Βοιωτός, Ἀρκὰς ἢ πᾶν ὅ, τι οἱ διαλεκτικοὶ τύποι δεικνύουσιν. Οἱ δὲ γραμματικοὶ ἔμελλον πλείους διαφορὰς εὑρεῖν, εἰ τὰ ὁμηρικὰ ἔπη μήτε ὑπὸ τῶν ῥαψῳδῶν ἐφθείροντο, μήτε ὑπὸ τῶν ἀρχαιοτέρων κριτικῶν κακῇ μοίρᾳ κατεξέοντο. Διότι τὸ ὑπὸ* Payne Knight[3] *ἀρχαιότατον ὁμηρικὸν κείμενον μόνον παραδοξολογία τίς ἐστιν.*

Διὰ ταῦτα οἱ πλεῖστοι καὶ ἐπισημότεροι τῆς ἀρχαιότητος ἄνδρες μετὰ τῶν μεγάλων αὐτῆς κριτικῶν, τοῦ Ζηνοδότου, λέγομεν, Ἀριστοφάνους καὶ Ἀριστάρχου ἀποφαίνονται, ὅτι ὁ Ὅμηρος ἦν Ἴων. Τὴν πεποίθησιν ταύτην πολεμεῖ μὲν ὁ Welcker[4], *ᾧ ἕπεται καὶ ὁ* Lauer, *ἀλλ' ἀμφότεροι ἀποτυγχάνουσιν*[5]. *Διότι ὁ σπουδαίως τὰ τοῦ Ὁμήρου ἔπη μελετήσας ἕλκεται εἰς τὴν ἰωνικὴν τοῦ ποιητοῦ καταγωγὴν διαγιγνώσκων, ὅτι ἐν τῇ καρδίᾳ αὐτοῦ ἰωνικὸν αἷμα ἔρρεεν. Καὶ δὴ ἐν ταῖς περιγραφαῖς αὐτοῦ δείκνυσι μέγα καὶ ἰδιαίτερον σέβας πρός τε τοὺς ἥρωας καὶ τοὺς θεοὺς τῶν Ἰώνων*[6]. *Ὁ ποιητὴς τὴν μὲν Παλλάδα ἀττικὴν θεότητα θεωρῶν διὰ λαμπρῶν χρωμάτων εἰκονίζει ἐν τῷ ναῷ τῆς Ἀκροπόλεως οἰκοῦσαν, καὶ ἐκ τῆς νήσου τῶν Φαιάκων εἴς τε τὸν Μαραθῶνα καὶ τὰς Ἀθήνας πορευομένην, τὸν*

---

1) *Σχόλ. εἰς Ἰλιάδ. Ζ* 267 *καὶ ο* 651. Gräfenhan, Geschichte der klass. Philol. I, *σελ.* 32. *Δίων Χρυσόστομ. λόγ.* XI, *σελ.* 315. *Μάξιμος Τύρ.* XXII, 4. 2) *Ζώπυρος ὁ Μάγνης καὶ ὁ Δικαίαρχος ἠξίουν τὰ ὁμηρικὰ ἔπη Αἰολίδι διαλέκτῳ ἀναγινώσκεσθαι.* Sengebusch, Neue Jahrbücher von Jahn *ἀριθμ.* 67 *σελ.* 258. 3) Carmina homerica, Ilias et Odyssea, a Rhapsodorum interpolationibus repurgata et in pristinam formam, quatenus recuperanda esset, tam ex veterum monumentorum etc. London 1824. 4) Der epische Cyklus I, 141. 5) Sengebusch, Homeric. dissert. post. *σελ.* 67. 6) *Ὁ αὐτὸς* Neue Jahrbücher *ἀριθμ.* 67 *σελ.* 254.

δὲ Ποσειδῶνα ὡς Ἑλικώνιον θεόν, ὃν οἱ Ἴωνες ἔν τε τῇ Πελοποννήσῳ καὶ τῇ μικρᾷ Ἀσίᾳ ἐτίμων[1]). Ἐν δὲ τῇ πρὸς τὸν θεὸν τοῦτον θυσίᾳ τοῦ Νέστορος ὁ Ὅμηρος, ὡς δοκεῖ, εἶχεν ὑπ' ὄψιν τὰς θυσίας, ἃς οἱ Νηλεῖδαι ἐν τῇ μικρᾷ Ἀσίᾳ ἐτέλουν[2]). Πρὸς δὲ Αἴας ὁ Τελαμώνιος ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οὐχὶ ὡς Αἰακίδης, καθ' ἃ οἱ ἄλλοι αὐτὸν παραδίδουσιν, ἀλλὰ μετὰ τοῦ Ἀθηναίου Μενεσθέως στενῶς συνδεόμενος ὡς Σαλαμίνιος ἥρως εἰκονίζεται. Ὁ ποιητής, ὡς καὶ ὁ ἀττικὸς λογογράφος Φερεκύδης, ἐθεώρει τὸν Αἴαντα ὡς ἀττικοσαλαμίνιον ἥρωα. Ὡσαύτως ὁ ποιητὴς μεγεθύνει καὶ ἐπαινεῖ τοὺς ἀττικοὺς ἥρωας Ἐρεχθέα καὶ Μενεσθέα, ὡς καὶ ὁ τῆς ψευδοηροδοτείου βιοτῆς συγγραφεὺς παρετήρησεν[3]). Ὀρθῶς δ' ὁ Otfried Müller[4]) νομίζει, ὅτι ἡ τοῦ Γλαύκου καὶ Διομήδους μονομαχία κτᾶται μεῖζον ἐπαγωγόν, ἂν ἀναμνησθῶμεν, ὅτι οἱ τοῦ Γλαύκου πρόγονοι ἐκ τῶν ἐπισημοτέρων οἴκων τῆς Πελοποννήσου κατήγοντο.

Τὰ εἰρημένα ἀποδεικνύουσιν, ὡς νομίζομεν, τὴν ἰωνικὴν τοῦ ποιητοῦ καταγωγήν. Διότι αἱ φυλαὶ οὐ κατέλιπον τοὺς ἰδίους θεούς, ἀλλὰ μέχρις ἐσχάτων διετήρησαν· διότι τὸ πρὸς τοὺς θεοὺς σέβας βαθύτερον ῥιζοῦται. Ὁ δὲ ποιητὴς τὸν βίον τοῦ τότε ἑλληνικοῦ κόσμου εἰκονίσας οὔτε τὸ πρὸς τοὺς ἰδίους θεοὺς σέβας, οὔτε τὴν πρὸς τοὺς φυλέτας τιμὴν ἠδυνήθη συγκρύψαι. Ἂν δ' ἀριθμήσωμεν ἔθιμά τινα ἰωνικά, νομίζομεν, ὅτι οὐκ ἀντιφάσκομεν πρὸς τὰ περὶ τῶν Αἰολέων εἰρημένα. Διότι οἱ Ἴωνες τῶν ἀλλοτρίων ὀρεγόμενοι ῥᾳδίως τὰ ἑαυτῶν ἀπέρριπτον. Διὰ τοῦτο, ἂν δεχθῶμεν φυλετικὰς διαφορὰς ἐφ' Ὁμήρου ὑπαρχούσας, μόνον αἱ ἰωνικαὶ δύνανται ἀποδεῖξαι τὸ ζητούμενον. Ὁπωσδήποτε ἀριθμοῦμεν ἰωνικά τινα ἔθιμα, ὅπως γε δείξωμεν, ὅτι τοιαῦτα οὐ λείπουσιν. Ὁ Νέστωρ κατὰ συμβουλὴν τῆς Ἀθηνᾶς θύων τῷ Ποσειδῶνι τέμνει τὰς τῶν θυμάτων

---

1) Otfried Müller, Geschichte der griech. Literatur σελ. 77. 2) Ὀδυσσ. Γ. 332. Τὸν τρόπον τοῦτον τῆς θυσίας ὁ Εὐστάθιος ὀνομάζει ἰωνικὸν σελ. 1470. 3) Κεφ. 28. 4) Geschichte der griech. Literatur σελ. 51, σημ. 1 καὶ σελ. 72 Ἰλιάδ. Ζ 155.

γλώσσας[1]), ὅπερ πάντες οἱ Σχολιασταὶ ὡς ἰωνικὸν θεωροῦσιν. Ἐν τοῖς ὁμηρικοῖς ἔπεσι γίνεται μνεία φρατρῶν[2]), αἵτινες μόνον ἐν ἰωνικαῖς πολιτείαις ὑπῆρχον. Πρὸς δὲ ὁ ποιητὴς μνημονεύει θητῶν[3]) ἐν τῇ αὐτῇ καταστάσει εὑρισκομένων, ἐν οἵᾳ ἐπὶ Σόλωνος ἐν Ἀθήναις. Δικαίως δὲ παρὰ Πλάτωνι[4]) Σπαρτιάτης τις λέγει, ὅτι ὁ Ὅμηρος μᾶλλον ἰωνικὰ ἢ δωρικὰ ἔθιμα εἰκονίζει. Ἰωνικοὶ δὲ τύποι λέξεων εὕρηνται τοσοῦτοι, ὥστε ἡ τούτων ἀπαρίθμησις καὶ δυσχερὴς ἀποβαίνει καὶ τὰ ὅρια τοῦ ἡμετέρου πονήματος ὑπερβαίνει. Ὁ βουλόμενος ὅμως εὑρίσκει πλείστους παρὰ Sengebusch[5]). Πρὸς δὲ εἰς τὴν ἰωνικὴν τοῦ ποιητοῦ καταγωγὴν φθάνομεν, ἂν ἀπίδωμεν καὶ εἰς τὰς γεωγραφικὰς αὐτοῦ γνώσεις τήν τε βόρειον Ἰωνίαν καὶ τὴν γείτονα Μαιονίαν γινώσκοντος, ἔνθα ἥ τε Γυγαίη λίμνη καὶ τα ὄρη Τμῶλος καὶ Σίπυλος[6]).

Ὁ προσδιορισμὸς τῆς πατρίδος τοῦ Ὁμήρου ἐκ τῶν ἐπῶν αὐτοῦ ἤρξατο ἀπὸ τοῦ Wood, ὅστις ἐν ἔτει 1750 εἰς Τροίαν ἀποδημήσας καὶ ἔνθους ἐκ τοῦ κλίματος τῆς χώρας γενόμενος συνέγραψε τὸ περὶ πρωτοτύπου πνεύματος τοῦ Ὁμήρου σύγγραμμα[7]), ὅπερ, καίπερ πλῆρες ἡμαρτημένων σκέψεων, ὅμως ἄξιον ἀναγνώσεως νομίζομεν. Ὁ συγγραφεὺς πρὸς τοῖς ἄλλοις πειρᾶται, ὅπως ἐξ αὐτῶν τῶν ἐπῶν ὁρίσῃ τὸν τόπον, ἐν ᾧ τῇ φαντασίᾳ τοῦ ποιητοῦ ἠνεῴχθη τὸ εὐρὺ πεδίον, ὅθεν τὰ στοιχεῖα τῶν ἀθανάτων αὐτοῦ ἐπῶν συνήθροισεν. Ἐκ τῆς ἀρχῆς λοιπὸν ταύτης ὁρμώμενος φθάνει εἰς τὸ συμπέρασμα, ὅπερ καὶ ἐκ τοῦ μύθου ἐλάβομεν, ὅτι ὁ Ὅμηρος ἐν τῇ παραλίᾳ τῆς μικρᾶς Ἀσίας, ἐν τῇ Σμύρνῃ ἢ ἐν τῇ Χίῳ, ἔζησεν. Ἡ ἀρχὴ ὅμως αὕτη τὸν ἐρευνητὴν εἰς πολλὰς χώρας ἄγει. Διότι οἱ μῦθοι ἐκ τῶν πλείστων χωρῶν τῆς Ἑλλάδος ἐλήφθησαν. Ἀλλ' αἱ

---

1) Ὀδυσσ. Γ 332. 2) Ἰλιάδ. Β 362. 3) Ὀδυσσ. Δ 646. 4) Νόμ. III, σελ. 680. 5) Neue Jahrbücher σελ. 254. Homeric. dissert. post. σελ. 64. Meinecke, Analecta Alexandrina, Berolin. 1843. 6) Ἰλιάδ. Β 855. Υ 392. Ω 615. 7) Essay on the Original Genius of Homer, London 1769. Μετεφράσθη δὲ εἰς τὴν Γερμανικὴν ὑπὸ Michaelis, Frankf. a. M. 1773. ἔνθα περὶ τῆς πατρίδος τοῦ Ὁμήρου σελ. 32—60.

τοιαῦται ὑποθέσεις ἴσως εἰσὶν εὐφυεῖς, ὅμως τὰ πορίσματα τούτων οὐδόλως κατὰ τοὺς νόμους τῆς πιθανότητος ἐξάγονται. Ἐξ ἴσου δὲ τολμηρὰν θεωροῦμεν τὴν γνώμην τοῦ Otfried Müller, *ὅτι ὁ Ὅμηρος ἦν Ἴων ἔκ τινος τῶν οἴκων τῶν ἐκ τῆς Ἐφέσου εἰς τὴν Σμύρνην μετοικησάντων, ὅτι οὗτος ἤκμαζεν ἐν τοῖς χρόνοις, καθ' οὓς οἱ Αἰολεῖς καὶ Ἀχαιοὶ τὸ κύριον τοῦ συνοικισμοῦ στοιχεῖον ἀπετέλουν, καὶ ὅτι τέλος ἡ τῆς ἐπικῆς ποιήσεως ἀπὸ τῆς Σμύρνης εἰς τὴν Χίον μετάβασις πιθανὴ ἀκολουθία τῆς ἐξελάσεως τῶν Ἰώνων ἐκ τῆς πόλεως ἐκείνης ἐστίν*[1]. *Τολμηροτέραν δὲ νομίζομεν τὴν τοῦ* Lauer *εἰκάζοντος, ὅτι Αἰολεῖς ἀοιδοὶ τὴν αὐτῶν ἕδραν ἐν Σμύρνῃ ἔχοντες τοὺς μύθους ἐποίουν καὶ τὴν ᾆσιν αὐτῶν ἐπηγγέλλοντο. Ὀπαδοὶ δὲ τῶν Αἰολέων κατ' αὐτὸν ἦσαν οἱ Ἴωνες τῆς Χίου, οἱ τὸν Ὅμηρον ὡς ἀρχηγὸν τῆς αὐτῶν τέχνης τιμήσαντες, καὶ κατὰ τοῦτον Ὁμηρίδαι ὀνομασθέντες. Κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα ἡ ὑπεροχὴ τῶν ᾀσμάτων τῶν Χίων Ὁμηριδῶν ὑπὲρ τὰ τῶν ἄλλων πόλεων, παρ' αἷς ἡ ἐπικὴ ποίησις ἤκμαζε, διεσκότισε πάντα τὰ ἄλλα καὶ οὕτως ἐθεωρήθησαν ὁμηρικά*[2]. *Ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἔστωσαν. Ἤδη δὲ τοῦ λόγου παυόμενοι ἐπιλέγομεν, ὅτι οἱ ἐν τοῖς ὁμηρικοῖς ἔπεσι μῦθοι τὴν τελευταίαν αὐτῶν μορφὴν ἐν τῇ Ἰωνίᾳ ἔσχον, καὶ ὁ τούτους εἰς ἔπος μεταμορφώσας ἦν Ἴων ἢ ἔζησέ γε παιδιόθεν μετὰ Ἰώνων καὶ κατὰ τὸν βίον τούτων ἐμορφώθη.*

---

1) Geschichte der griech. Literatur *σελ.* 79. 2) Geschichte der Homer. Poesie *σελ.* 110.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἐποχῆς, καθ' ἣν ἤκμασεν ὁ Ὅμηρος.

Ὅσῳ θαυμάζει τις τὴν εὐφυΐαν τῶν ἐν τοῖς σκοτεινοῖς τοῦ ὁμηρικοῦ ζητήματος χώροις προσκρουόντων μέν, μὴ ὁμολογούντων δὲ τὴν ἀσθένειαν τῶν ὀφθαλμῶν τῆς ἐπιστήμης, ἀλλὰ παντὶ σθένει πειρωμένων, ὅπως καὶ τὰ διὰ τὸ παχὺ σκότος ἀόρατα ἴδωσι, τοσούτῳ δειλοὶ φαίνονται τῶν σοφῶν ἀνδρῶν οἱ φοβούμενοι ἀνοῖξαι τοὺς ὀφθαλμούς, ὅπως καὶ ἐν ἐκείνοις τοῖς χώροις ἴδωσιν, ἐν οἷς ἡ ἐπιστήμη καὶ τοῖς μύωψιν ἱκανὸν φῶς ἐπιχέει. Δυστυχῶς πλεῖστοι σοφοὶ ἄνδρες, ὡς τὴν πληθὺν τῶν πατρίδων τοῦ Ὁμήρου ὅπλον κατὰ τῆς ὑπάρξεως αὐτοῦ ἐθεώρησαν, οὕτω καὶ τὰς πολλὰς ἐποχάς, ἐν αἷς οὗτος τίθεται, ὡσεὶ οἱ ὁμηρικοὶ ἄνθρωποι ἠδύναντο ὁρίσαι ἐποχήν τινα, καὶ ὡσεὶ ἡ ἐπιστήμη μὴ ἠδύνατο ἀνακαλύψαι τὰ αἴτια τῆς πολλαπλασιάσεως τῶν ἐποχῶν.

Παραδείγματος χάριν ὁ σοφὸς Bonitz [1]) *ὀλιγωρήσας τῆς κριτικῆς ἐρεύνης τῶν χρονολογικῶν εἰδήσεων, καθ' ἃς ὁ ποιητὴς εἰς διαφόρους ἐποχὰς τίθεται ὑπὸ συγγραφέων παντοίους σκοποὺς θηρευόντων ἢ ὑπὸ ἡμαρτημένων προϋποθέσεων παρασυρομένων, εἰς τὴν πρόχειρον τοῦ Ὁμήρου ἄρνησιν καταφεύγει. Διότι λέγει, ὅτι, εἰ ὁ βίος τοῦ Ὁμήρου ἐταλαντεύετο ἡμίσειαν ἢ μίαν ὁλόκληρον ἑκατονταετηρίδα, τοῦτο ἴσως οὐκ ἦν παράδοξον· ὅμως, εἰ ἄλλαι μὲν εἰδήσεις τὸν τοῦ Ὁμήρου βίον μέχρι τῆς ἐποχῆς τοῦ μετοικισμοῦ τῶν ἑλληνικῶν φυλῶν εἰς τὴν παραλίαν τῆς μικρᾶς Ἀσίας ἀναβιβάζουσιν, ἄλλαι δὲ μέχρι τοῦ τελευταίου τρίτου τῆς ἑβδόμης ἑκατονταετηρίδος καταβιβάζουσι, τοῦτο κατ' αὐτόν ἐστιν ἄλλο τι ἢ ἡμαρτημένη χρονολογικὴ παράδοσις. Κατὰ*

---

1) *Ὀνομάζομεν δὲ τὸν σοφὸν τοῦτον ἄνδρα οὐχ ὅτι ὁ πρῶτος, οὐδὲ ὁ μόνος, οὐδὲ ὁ ἐπισημότερος ταύτης τῆς γνώμης ἀντιπρόσωπός ἐστιν, ἀλλ' ὅτι δι' ὀλίγων λέξεων καὶ σαφῶς τὴν θεωρίαν ὁλοκλήρου σχολῆς ἐκφράζει.*

ταῦτα ὁ τοῦ Ὁμήρου βίος ταλαντεύεται πλέον τῶν τεσσάρων αἰώνων καὶ μάλιστα ἐν χρονικῷ διαστήματι, καθ' ὃ αἱ σπουδαιότεραι μεταβολαὶ ἔν τε τῇ Ἑλλάδι καὶ τῇ μικρᾷ Ἀσίᾳ ἐγένοντο. Ἑκάστη δὲ χρονολογικὴ εἴδησις, ὡς λέγει, ἀνήκει ὡρισμένῳ τόπῳ καὶ αἱ πόλεις αἱ περὶ τῆς πατρίδος τοῦ ποιητοῦ ἐρίζουσαι ἀντιποιαῦνται οὐχὶ τῆς γεννήσεως, ἀλλὰ τῆς διατριβῆς αὐτοῦ. Εἰ τὸ ὄνομα τοῦ Ὁμήρου ὁ φορεὺς τῆς ἐπικῆς ποιήσεώς ἐστιν, εἰ οὗτος ὁ Ὅμηρος ἐν διαστήματι πλέον τῶν τεσσάρων αἰώνων ἐν διαφόροις τοῦ ἑλληνικοῦ κόσμου πόλεσι γεννᾶται, καὶ ἑκάστοτε ἐν τῷ τόπῳ τῆς γεννήσεως ἢ τῆς διατριβῆς ἡ γένεσις ἐπικῆς σχολῆς ἀκολουθεῖ, ἕκαστος κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα ἀναγκάζεται, ἵνα τὸ συμπέρασμα ἐξαγάγῃ, ὅτι αἱ εἰδήσεις περὶ τῆς τοῦ Ὁμήρου γεννήσεως ἐν διαφόροις τόποις καὶ διαφόροις ἐποχαῖς εἰσιν εἰδήσεις τῆς ἐνάρξεως τῆς ἐπικῆς ποιήσεως ἐν τοῖς τόποις ἐκείνοις[1]. *Καὶ ταῦτα μὲν ὁ σοφὸς οὗτος ἀνήρ.*

Ὁ Sengebusch *ὅμως συλλέξας καὶ ἐπιμελῶς τὰ περὶ τῆς πατρίδος καὶ τῆς ἐποχῆς τοῦ ποιητοῦ μελετήσας οὐ τολμᾷ, ἵνα τὴν προσωπικὴν αὐτοῦ ὕπαρξιν ἀρνηθῇ. Ὁ εὐφυὴς οὗτος συγγραφεὺς οὐκ ἐπιμένει μέν, ὅπως τοὺς τοῦτο πράττοντας ἐλέγξῃ, ὅμως ὡς ἰδίαν γνώμην ἐκ πολυμόχθου καὶ βαθείας σπουδῆς τῆς ὁμηρικῆς παραδόσεως μορφωθεῖσαν ἀποφαίνεται, ὅτι ὁ Ὅμηρος ἦν πρόσωπον, ὅτι ἦν πολίτης Ἀθηναῖος ἐξ Ἀθηνῶν εἰς τὴν μικρὰν Ἀσίαν μετοικήσας, καὶ ὅτι καθ' ὁδὸν ἐν Ἴῳ σχολὴν ἐπικῆς ποιήσεως ἵδρυσεν*[2]. *Ἀλλά, καὶ ἄν τις τὸν Ὅμηρον ὡς ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ἀρνηθῇ, πάλιν ὁ* Senge-

---

1) Ueber den Ursprung der Homerischen Gedichte, Wien 1844, *σελ.* 14—15. 2) Homer. dissert. post. *σελ.* 87. „Quae quam ita sint, monne certe videbitur esse, quod Aristarchus statuit, Homerum ipsum fuisse Atheniensem? Quid? nonne fidem habebis Atheniensium narrationibus? Nonne Ionicae migrationis tempore viguisse illum clamabis? Emigrasse inter Iones ex Attica Homerum, scholam eum in ipso itinere apud Ietas constituisse, ipsum vero sedem collocasse Smyrnae? Haec. omnia nonne extra dubitationem posita esse censebis?“

busch ἐν τοῖς πολλοῖς τοῖς τὰ ἔπη ποιήσασι δέχεται ποιητήν τινα Ὅμηρον ὀνομαζόμενον[1]).

Καίπερ μὴ δεχόμενοι τὴν γνώμην τοῦ Sengebusch ἀποφαινομένου τὸν ποιητὴν Ἀθηναῖον, ὅμως τῇ ὁμολογίᾳ αὐτοῦ, ὅτι ὁ Ὅμηρος πρόσωπόν ἐστιν, ἀποδίδομεν μέγα κῦρος. Διότι ἡ ὁμολογία αὐτοῦ προϊὸν πολυμόχθου ἐρεύνης τῆς παραδόσεώς ἐστιν. Ἀλλὰ καὶ οἱ περὶ τὸν Sengebusch καὶ οἱ πρὸς τοῦτον ἀντιδοξοῦντες δύνανται φρονεῖν, ὅ, τι τούτοις δοκεῖ. Διότι τιθέμεθα τὸ ζήτημα, πότερον, αἱ περὶ Ὁμήρου χρονολογικαὶ εἰδήσεις ἐκ τῶν ὁμηρικῶν χρόνων καταρρέουσιν, ἢ εἰσιν εἰκασίαι τῶν μεταγενεστέρων; Διότι, ἂν μὲν τὸ πρῶτον μέρος τοῦ ἐρωτήματος ἀληθεύῃ, ἡ γνώμη τοῦ Sengebusch ἢ παντὸς ἄλλου σπουδαίου τῆς ὁμηρικῆς παραδόσεως ἐρευνητοῦ ἴσως ἔχει κῦρός τι. Ἂν ὅμως τὸ δεύτερον, ἡ τῶν χρονολογικῶν εἰδήσεων πληθὺς δεικνύει μόνον τὴν εὐφυΐαν τῶν διαφόρους βάσεις ἐπινοησάντων καὶ διαφόρους, ὡς εἰκός, ἐποχὰς ὁρισάντων. Ἀλλὰ νομίζομεν τὸ δεύτερον τῆς προτάσεως μέρος ἀληθές. Διότι ἐν τῷ δευτέρῳ κεφαλαίῳ εἴπομεν, ὅτι μόνον ὀλίγαι πόλεις τῶν τοῦ Ὁμήρου ἀντιποιουμένων ἔχουσιν ἴδιον μῦθον. Ἐπειδὴ δ' ἐν τῷ αὐτῷ κεφαλαίῳ κατεδείξαμεν, ὅτι ὁ τῶν Σμυρναίων μῦθος ἀρχαιότερος τῶν μύθων τῶν ἄλλων πόλεών ἐστι, καὶ οὗτος οὐχ ὁρίζει ἐποχήν, ἐξάγεται, ὅτι οὐδεμία χρονολογικὴ εἴδησις ἐκ τῶν ὁμηρικῶν χρόνων καταρρέει. Οἱ δὲ τοὺς μεταγενεστέρους περὶ Ὁμήρου μύθους ποιήσαντες ἐπειράθησαν, ὅπως ἐποχήν τινα εὑρόντες μετὰ τῆς Σμύρνης συνδεθῶσιν, ὡς οἱ Ἰῆται οἱ τὸν τῆς Ιωνικῆς ἀποικίας χρόνον ἐπινοήσαντες. Ὁ μῦθος, εἰ ὄντως ἐστὶ μῦθος, οὐ δέεται διὰ τῶν δεσμῶν τοῦ χρόνου, ἀλλ' οὕτω πτερόεις φέρεται ἀνὰ τοὺς ἀνθρώπους. Τοῦτο μαρτυροῦσιν οὐ μόνον οἱ τῆς ἀρχαίας, ἀλλὰ καὶ οἱ τῆς νεωτέρας Ἑλλάδος μῦθοι. Τίς οὐχ ὁρᾷ τοῦτο ἐν τοῖς μύθοις τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας (Ἐννοοῦμεν τὸ πότε οἱ μῦθοι διεπράχθησαν, οὐχὶ

1) Αὐτόθι σελ. 89.

δὲ τὸν χρόνον τῆς διαρκείας ἢ τὸν τῆς ἀπ' ἀλλήλων διαστάσεως· διότι τοῦτο δὴ ἐν ἑκατέροις τοῖς ἔπεσι λέγεται). Τοῦτο δὴ παρατηροῦμεν καὶ ἐν τῷ τῶν Σμυρναίων μύθῳ, καθ' ὃν ὁ Ὅμηρος ὑπὸ τοῦ Μέλητος καὶ τῆς νύμφης Κριθηίδος ἐγεννήθη. Πότε ὅμως; Τοῦτο οὔτε λέγεται, οὔτε ἠδύνατο λεχθῆναι.

Διότι, εἰ ὁ Ὅμηρος τῶν ἱστορικῶν χρόνων ἀποκλείεται, τί ἀπαιτοῦμεν παρὰ μυθικῆς ἐποχῆς ἀκριβεῖς χρονολογικὰς εἰδήσεις, ἃς οὐδὲ περὶ ἱστορικῶν προσώπων πολλάκις ἔχομεν; Ὁ σοφὸς Bonitz λέγει, ὅτι ἀμφιταλάντευσις μόνον ἡμισείας ἑκατονταετηρίδος νοητή ἐστιν, ἀμφιταλάντευσις ὅμως τεσσάρων δηλοῖ ἄλλο τι. Ἀλλ' οὕτω μικρὰ χρονολογικὴ διαφορὰ ἐδήλου μόνον, ὅτι ἐφ' Ὁμήρου ληξιαρχικὰ βιβλία οὐχ ὑπῆρχον, ὡς ἐν Βιέννῃ, ὅμως οὐκ ἐχαρακτήριζε πρόσωπον μυθικῆς ἐποχῆς. Τίνος ἄλλου μυθικοῦ προσώπου ἢ γεγονότος ἀκριβῶς τὴν ἐποχὴν γινώσκομεν; Ὁ Θηβαϊκὸς καὶ ὁ Τρωικὸς πόλεμος, ἡ τῶν Ἰώνων ἀποικία, ἡ εἰς τὴν Πελοπόννησον εἰσβολὴ τῶν Δωριέων καὶ αὐτὸς ὁ βίος τοῦ Λυκούργου ἐν μεγάλῳ χρονικῷ διαστήματι ἀμφιταλαντεύονται. Ἡ δὲ διαφορὰ ἀπορρέει οὐχὶ ἐκ τῶν μύθων, ἀλλ' ἔστι προϊὸν τῶν λογογράφων, ἱστορικῶν καὶ χρονολόγων τῶν πολλὰς καὶ ποικίλας εἰκασίας περὶ τῶν χρόνων ἐκείνων ποιησάντων. Αἱ δὲ περὶ Ὁμήρου χρονολογικαὶ εἰδήσεις ὤφειλον εἶναι πολυαριθμότεραι· διότι εἰς τὸ ζήτημα τοῦτο καὶ μεγάλα συμφέροντα καὶ πολλαὶ αἰτίαι συνέρρεον, ὡς μετ' ὀλίγον δειχθήσεται.

Πρὸς δὲ ὁ σοφὸς Bonitz λέγει, ὅτι ἐν τῷ διαστήματι τεσσάρων αἰώνων, καθ' οὓς ὁ τοῦ Ὁμήρου βίος ἀμφιταλαντεύεται, πλεῖσται μεταβολαὶ ἔν τε τῇ Ἑλλάδι καὶ τῇ μικρᾷ Ἀσίᾳ ἐγένοντο. Τὸ ὅπλον ὅμως τοῦτο μᾶλλον τοῖς ἀντιπάλοις αὐτοῦ προσήκει καὶ ἴσως ἁμαρτὼν ὁ ἀνὴρ ἐν χερσὶν αὐτὸ ἔλαβεν. Διότι, ἀληθές ἐστιν, ὅτι ἐν τῷ διαστήματι τούτῳ πλεῖσται μεταβολαὶ ἐγένοντο. Ὅμως ἐν τοῖς ὁμηρικοῖς ἔπεσι μεθ' ὅλην τὴν πρόοδον τῆς κριτικῆς οὐδὲν τούτων ἴχνος ὑπεμφαίνεται. Εἰ ταῦτα ἐν διαστήματι τεσσάρων μέχρις ἓξ αἰώνων ἐποιοῦντο καὶ ὑπὸ πόλεων πρὸς

σύμπαντα τὸν ἑλληνικὸν κόσμον σχέσεις ἐχουσῶν καί, ὡς εἰκός, τῶν μεταρρυθμίσεων τούτου μετεχουσῶν, τί οὐχ εὑρίσκομεν ἴχνη τῶν μεταβολῶν, ἃς ὁ σοφὸς Bonitz *νοεῖ; Οὕτω δόλιοι καὶ κρυψίνοες ἦσαν οἱ ποιηταὶ ἐκεῖνοι, ὥστε διενοήθησαν πλανῆσαι ἡμᾶς τοὺς ὀψιγόνους;*

Ἐν γένει εἴδομεν, ὅτι ὁ σοφὸς ἀνὴρ τὰς τῶν διαφόρων πόλεων ἀπαιτήσεις συμβολικῶς ἐξηγῶν λέγει, ὅτι αἱ περὶ Ὁμήρου χρονολογικαὶ ειδήσεις σημαίνουσι τὴν μετάβασιν τῆς ἐπικῆς ποιήσεως εἰς τὰς χώρας, εἰς ἃς ὁ Ὅμηρος ἀπεδήμησεν. Ἀλλά, καὶ τοῦτο ἂν γένηται δεκτόν, πάλιν ἡ τοῦ Ὁμήρου προσωπικὴ ὕπαρξις οὐκ ἀναιρεῖται.

Διότι, εἰ Ὅμηρός ποτε ὑπῆρξεν, ὡς πάντες οἱ ἄλλοι ὅροι τοῦ ζητήματος δεικνύουσιν, οὗτος, ὡς εἴρηται, ἐν μιᾷ πόλει ἐγεννήθη, πᾶσαι δ' αἱ ἄλλαι, παρ' αἷς τὰ ὁμηρικὰ ἔπη ᾔδοντο, ἢ σχολαὶ ἐπικῆς ποιήσεως ἱδρύθησαν, τῆς εὐκαιρίας δραξάμεναι τοῦ ποιητοῦ ἀντεποιοῦντο. Ὡς δ' ἐδείξαμεν, ὅτι μία πόλις πατρὶς τοῦ ποιητοῦ ἐστιν, οὕτω καὶ μία μόνη ἐποχὴ δύναται εὑρεθῆναι. Αἱ δ' ἄλλαι πόλεις ὤφειλον εὑρεῖν ἐποχὰς πρὸς τὰς αὐτῶν ἀξιώσεις μὴ ἀντιφασκούσας. Ἡ Χίος, ἡ Σάμος καὶ αἱ ἄλλαι, παρ' αἷς βραδύτερον ἡ ἐπικὴ ποίησις ἤκμασεν, ὤφειλον τὴν ἐποχὴν τοῦ ποιητοῦ μέχρι τῶν χρόνων τῆς αὐτῶν ἀκμῆς καταβιβάσαι. Ἡ τῶν Ἑλληνίδων λοιπὸν πόλεων μικροφιλοτιμία, ἡ μυθάρια πλάσσουσα πρὸς ἀντιποίησιν τοῦ Ὁμήρου, ἐπενόει καὶ χρονολογικὰς ειδήσεις τὸν Ὅμηρον καταβιβαζούσας μέχρι τῆς ἐποχῆς, καθ' ἣν εἰς ἑαυτὰς ἡ ἐπικὴ ποίησις εἰσήχθη. Νομίζομεν δ', ὅτι, εἴτις ἠρώτα καὶ αὐτὸν τὸν Ἀριστόδημον τὸν Νυσαέα, ὅστις τὸν Ὅμηρον ἔλεγε Ῥωμαῖον, καὶ οὗτος ἔμελλε καταβιβάσαι τὸν ποιητὴν εἰς ἐποχήν, καθ' ἣν ἐφικτὴ ἡ τοῦ ποιητοῦ γένεσις ἠδύνατο φανῆναι. Τοῦ μεγάλου λοιπὸν αὐθαιρέτου τοῦ περὶ τὴν πατρίδα τοῦ ποιητοῦ ἐπικρατήσαντος φυσικὴ ἀκολουθία ἐστὶν ἡ περὶ τὴν χρονολογίαν. Αἱ χρονολογίαι δ' αὗται ἐπολλαπλασιάσθησαν ὑπὸ τῶν λογίων.

Οἱ ἀρχαῖοι λογογράφοι, μυθογράφοι καὶ χρονολόγοι πλείστας χρονολογίας ἔπλασαν. Διότι οὗτοι πειρώμενοι

τοὺς μύθους εἰς χρονολογικήν τινα σειρὰν κατατάξαι μετὰ πολλὰς αὐθαιρέτους εἰκασίας διένειμαν αὐτοὺς κατὰ μεγάλα χρονικὰ διαστήματα. Ἴσως ἦν κατά τι ῥᾴδιον, ὅπως τὸ προγενέστερον τοῦ μεταγενεστέρου διακρίνωσι, δυσχερὲς ὅμως ἦν ὁρίσαι, πόσον χρόνον τὰ συμβάντα ἀπ᾽ ἀλλήλων ἀφίσταντο. Ἐνταῦθα δὴ εὐρύτατον εἰκασιῶν στάδιον ἀνεῴχθη. Ὑπῆρχον μὲν ἐνιαχοῦ τῶν ναῶν γενεαλογικοὶ κατάλογοι, οὓς ἐλάμβανον ὡς βοηθήματα, ἀλλὰ καὶ οὗτοι μόνον ἐν στρογγύλοις ἀριθμοῖς καὶ κατὰ τὸ μῆκος τῆς ἡλικίας τοῦ ἀνθρώπου τὰς ἐποχὰς ἐδείκνυον. Ἀλλ᾽ ἦσαν καὶ οὗτοι ἀκριβεῖς; Ἦσαν σύγχρονοι ταῖς μνημονευομέναις γενεαῖς; Περὶ τούτου δικαίως σπουδαῖαι καὶ μεγάλαι ἀμφιβολίαι ἐγείρονται. Ἐν τοῖς ἔμπροσθεν εἴπομεν, ὅτι οἱ μῦθοι οὐ περιεῖχον χρονολογικὰς εἰδήσεις. Ἀλλά, καὶ εἰ ἤθελον οἱ τῶν μύθων ποιηταὶ τὴν ἀκόρεστον τῶν ὀψιγόνων φιλομάθειαν κορέσαι, οὐκ ἠδύναντο. Διότι καὶ χρονολογικῆς ἀφετηρίας καὶ χρονολογικοῦ συστήματος στερούμενοι ἠρίθμουν μόνον κατὰ γενεὰς μερόπων ἀνθρώπων. Εὐτυχὴς ὁ τρεῖς γενεάς, ὡς ὁ Νέστωρ, ζήσας! Οὗτος τά τε γεγονότα καὶ τὴν ἀπόστασιν αὐτῶν ἀπ᾽ ἀλλήλων ἀπὸ μνήμης κατὰ χρονολογικὴν σειρὰν γινώσκων σοφὸς ἐλογίζετο. Τούτου ὅμως θανόντος τὸ μὲν ληξιαρχικὸν βιβλίον ἀπώλετο, τὰ δὲ γεγονότα τὴν χρονολογικὴν αὐτῶν σειρὰν ἀπολέσαντα καὶ ἐν τῷ ῥεύματι τοῦ χρόνου θολωθέντα ὡς μῦθοι πτερόεντες ἐφέροντο.

Βραδύτερον ὅμως ἤρξατο χρονολογικόν τι σύστημα. Διότι παρετήρησαν, ὅτι τὸ σεληνιακὸν ἔτος τοῦ ἡλιακοῦ διαφέρει, καὶ ὅτι ἀμφότερα μετὰ χρονικόν τι διάστημα συμπίπτουσιν. Τὸ διάστημα δὲ τοῦτο ὠνόμασαν κύκλον. Ἐπειδὴ δὲ εἷς κύκλος κατὰ τὰς μαρτυρίας τῶν ἀρχαίων ἐξ 63 σεληνιακῶν ἢ 60 ἡλιακῶν ἐτῶν συνίστατο, δύναταί τις τρέψαι τοὺς σεληνιακοὺς κύκλους εἰς ἔτη τὸν ἀριθμὸν τῶν κύκλων ἐπὶ τὸν ἀριθμὸν 63 πολλαπλασιάζων. Παραδείγματος χάριν τέσσαρες σεληνιακοὶ κύκλοι ἰσοῦνται πρὸς 252 ἔτη. Τοῦ χρονολογικοῦ δὲ τούτου συστήματος ἐν χρήσει παρὰ τοῖς ἀρχαιοτέροις ὄντος κατὰ τοῦτο καὶ ἡ τοῦ Ὁμή-

ρου ἐποχὴ ὡρίσθη. Ὡς ἀφετηρίαν δ' ἐλάμβανον μὲν καὶ ἄλλα γεγονότα, μάλιστα δὲ τὸν Τρωϊκὸν πόλεμον, ὅστις κατὰ τοὺς χρονολόγους ἐννέα κύκλους πρὸ τῆς πρώτης Ὀλυμπιάδος ἐγένετο. Ἡ δὲ πρώτη Ὀλυμπιὰς τίθεται 776 Π·Χ. Ἀλλ' ὁ Τρωικὸς πόλεμός ἐστι σημεῖον κινητόν, δηλαδὴ ἄλλοι εἰς ἄλλην ἐποχὴν αὐτὸν τιθέασιν. Ἄρα πρὸς τὰ ἄνω ἢ πρὸς τὰ κάτω τούτου κινουμένου συγκινεῖται καὶ ἡ τοῦ Ὁμήρου ἐποχή. Ἄρα αἱ πλεῖσται χρονολογικαὶ διαφοραί εἰσι *φαινόμεναι μόνον καὶ οὐχὶ πραγματικαί*.

Πρὸς κύρωσιν δὲ τῶν εἰρημένων κατὰ χρονολογικὴν σειρὰν τὰς περὶ Ὁμήρου χρονολογικὰς εἰδήσεις παρατιθέμενοι [1]) πειρώμεθα, ὅπως καὶ τὰς ἀφορμὰς τούτων ἀνακαλύψωμεν.

1) Διονύσιος ὁ κυκλογράφος ἔλεγε τὸν Ὅμηρον σύγχρονον τοῦ Θηβαϊκοῦ καὶ Τρωικοῦ πολέμου [2]). Ἀλλ' εὔκολόν ἐστι καὶ νῦν ἔτι τὴν ἀφορμὴν τοῦ Διονυσίου ἀνακαλύψαι. Διότι οὗτος νομίζει, ὡς δοκεῖ, ὅτι μόνον σύγχρονος ποιητὴς δύναται ἀκριβῶς μαθεῖν καὶ ἐναργῶς εἰκονίσαι τὰ γεγονότα, ὅπερ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, ἡμαρτημένον· διότι ἡ ἐνάργεια μᾶλλον τοῖς μύθοις ἢ τῷ εἰς ἔπος αὐτοὺς μεταμορφώσαντι ὀφείλεται. Ὁ δὲ Lauer [3]) καὶ συμφέρον ἐν τῇ εἰκασίᾳ τοῦ Διονυσίου ἀνευρίσκων λέγει, ὅτι διὰ τῆς ἀναβιβάσεως τοῦ Ὁμήρου εἰς τοὺς χρόνους τοῦ Θηβαϊκοῦ καὶ Τρωικοῦ πολέμου συνανεβιβάζετο ὑπὸ τοῦ Σαμίου κυκλογράφου καὶ ἡ ἐποχὴ τοῦ δημότου αὐτοῦ Κρεωφύλου, μεθ' οὗ ὁ Ὅμηρος συνδέεται. Ἀλλὰ τί; Ὁ Σάμιος Κρεώφυλος ἐπὶ τοῦ Θηβαικοῦ πολέμου; Τότε ἡ νῆσος οὐ κατῳκεῖτο ὑφ' Ἑλλήνων.

---

1) Πηγαὶ τῶν χρονολογικῶν εἰδήσεών εἰσι μὲν καὶ ἄλλοι πολλοί, μάλιστα δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς Στρωμ. I, κεφ. 21, σελ. 388 καὶ 389, καὶ ὁ Τατιανὸς πρὸς Ἕλλην. κεφ. 31. Ἐν δὲ τοῖς νεωτέροις ἠρεύνησαν ταύτας ὁ W. Watkiss, Class. Mus. τόμ. VI, ἀριθμ. 22, σελ. 387—431. Ὁ B. Thiersch, Ueber das Zeitalter und Vaterland des Homer, Halberstadt 1832. Ὁ Lauer, Geschichte der Homer. Poesie σελ. 115 καὶ ὁ Sengebusch ἐν τοῖς ἤδη εἰρημένοις συγγράμμασιν. 2) Πρόκλ. Γένος Ἡσιόδ. 3) Αὐτόθι σελ. 243.

2) Ὁ δὲ Φιλόστρατος[1]) μετά τινων ἄλλων τίθησι τον Ὅμηρον 24 ἔτη μετὰ τὸν Τρωικὸν πόλεμον. Ἡ εἴδησις αὕτη, ὡς δοκεῖ, ἐπήγασεν ἐκ τῆς εἰκασίας, ὅτι ἀπῃτεῖτο χρονικὸν διάστημα, ὅπως μακρὸν ἔπος ποιηθῇ. Τοῦτο δ' ὑποστηρίζει καὶ ὁ ἀριθμὸς τῶν ῥαψῳδιῶν ἑκατέρου ἔπους τῷ ἀριθμῷ τῶν ἐτῶν ἰσούμενος.

3) Κατὰ δὲ τὸν Κράτητα[2]) ὁ Ὅμηρος ἔζησεν 60 ἔτη μετὰ τὸν Τρωικὸν πόλεμον. Τοῦτο ὁ κριτικός, ὡς δοκεῖ, εἴκαζεν ἐκ τῶν ὁμηρικῶν ἐπῶν, ἐν οἷς οὐδὲν ἴχνος εὕρηται τῆς εἰς τὴν Πελοπόννησον εἰσβολῆς τῶν Δωριέων 80 ἔτη μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου γενομένης. Ὁ Κράτης ἀφ' ἑνὸς μὲν εἶχεν αἰτίαν, ὅπως μὴ τὸν ποιητὴν σύγχρονον τῶν Τρωικῶν εἴπῃ, ἀφ' ἑτέρου δ' οὐκ ἠδύνατο καταβιβάσαι αὐτὸν εἰς τὴν ἐποχὴν τῆς εἰσβολῆς τῶν Δωριέων.

4) Κατὰ τὸν ὑπὸ τοῦ Ἀριστοτέλους παραδεδομένον μῦθον[3]) ὁ Ὅμηρος ἐπὶ τῆς ἰωνικῆς ἀποικίας ἐγένετο. Ὁ μῦθος δ' οὗτος ἐπλάσθη, ὡς πολλαχοῦ ἐρρέθη, ὑπὸ τῶν Ἰητῶν, ὅπως οὗτοι τῆς δόξης τοῦ ποιητοῦ μετάσχωσιν. Οἱ Ἰῆται, ἅτε Ἴωνες, τὸν ἴδιον μῦθον μετὰ τοῦ σπουδαιοτέρου αὐτῶν γεγονότος, τῆς ἰωνικῆς ἀποικίας, συνέδεσαν. Πολλὰ δ' αἴτια συνεβάλλοντο, ὅπως καὶ τοῖς σπουδαιοτέροις τῆς ἀρχαιότητος ἀνδράσιν ἡ χρονολογία αὕτη πιθανὴ φαίνηται. Ἐπειδὴ ἡ Ἰλιὰς πραγματεύεται μύθους ὑπὸ τῶν ἡγεμόνων τῆς εὐρωπαϊκῆς Ἑλλάδος διαπραχθέντας, καὶ ἐπειδὴ τὸ ἔπος ἐν τῇ παραλίᾳ τῆς μικρᾶς Ἀσίας, ὅπου Ἴωνες μετῴκησαν, ἐποιήθη, ἡ προχειροτέρα εἰκασία ἦν, ὅτι ὁ Ὅμηρος ἐν τῇ μικρᾷ Ἀσίᾳ ὑπὸ τῶν ἐκεῖσε μετοικησάντων Ἰώνων ἐγεννήθη. Τὸν μῦθον δὲ τοῦτον ἐνίσχυσεν ὁ μέγιστος τῆς ἀρχαιότητος κριτικός, ὁ Ἀρίσταρχος[4]). Ὁ δὲ Sengebusch, ὡς εἴρηται, τῇ μαρτυρίᾳ τοῦ Ἀριστάρχου δίδωσι μέγα κῦρος πειρώμενος ἀποδεῖξαι τὸν Ὅμηρον Ἀθηναῖον

---

1) Ἡρωικ. σελ. 194. „Γέγονε ποιητὴς Ὅμηρος καὶ ᾖδεν, ὥς μὲν φασιν ἔνιοι, μετὰ τέτταρα καὶ εἴκοσιν ἔτη τῶν Τρωικῶν." 2) Εὐσέβ. Εὐαγγ. προπαρ. Χ, 11. 3) Βιογραφία Β' κεφ. 3. 4) Κλήμης Ἀλεξανδρεύς, Στρωμ. Ι, 21, 117 „Ἀρίσταρχος δὲ ἐν τοῖς Ἀρχιλοχείοις ὑπομνήμασι κατὰ τὴν Ἰωνικὴν ἀποικίαν φησὶ φέρεσθαι αὐτόν."

εἰς τὴν μικρὰν Ἀσίαν μετοικήσαντα ἐν ἔτει 1043 Π·Χ[1]), ὅτε οἱ Ἴωνες ἐκεῖσε ἀπῴκησαν. Τί; Ἐν ἔτει 1043; Ὅμηρον οἱ Ἴωνες μεθ' ἑαυτῶν ἤγαγον; Ὅμηρος ἐξ Ἀθηνῶν ἐν οὕτω πρωίμῳ ἐποχῇ ἀπῴκησεν; Ἡ τοῦ ποιητοῦ μετανάστευσις προϋποτίθησιν, ὅτι ἐν Ἀθήναις πολλοὶ πολλῷ αὐτοῦ κρείττονες ὑπῆρχον. Διότι κατὰ φύσιν ἀποικοῦσιν οἱ μὴ δυνάμενοι ζῆν ἐν τῇ μητροπόλει. Εἰ λοιπὸν οὕτως ἔχει, ἔδει γενέσθαι μνείαν ἢ κρειττόνων ἀττικῶν ἐπῶν παρά τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειν ἢ ἴσων γε τούτοις τοῖς ἔπεσιν. Ἀλλὰ τοὐναντίον οὐδὲ ἄσκησις τῆς ἐπικῆς ποιήσεως μέχρι Σόλωνος μνημονεύεται, εἰμὴ μόνον, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐν τοῖς Παναθηναίοις καὶ Βραυρῶνι ἐρραψῳδοῦντο[2]). Καὶ ὅμως ἀπὸ τῆς ἀποικίας τῶν Ἰώνων μέχρι τοῦ Ἀθηναίου νομοθέτου ἡ ἐπικὴ ποίησις ἐν ταῖς ἀκταῖς τῆς μικρᾶς Ἀσίας ἤκμαζεν. Πρὸς πᾶσι δὲ τούτοις Ἀθηναῖος ποιητὴς οὐκ ἔμελλε τὴν ἰδίαν πατρίδα ὑμνῆσαι καὶ ὑπὲρ τὰς ἄλλας πόλεις ἐπαινέσαι, ἀλλ' ἔμελλε μόνον οὕτως ὀλίγας φράσεις παρεισαγαγεῖν, ὥστε δι' αὐτὸ τοῦτο ἡ γνησιότης αὐτῶν ἀμφισβητεῖται; Ἡ τῶν Ἀθηναίων παράδοσις οὐκ ὤφειλε μᾶλλον μεγάλην τὴν φωνὴν ἀφιέναι, ἢ κρύπτεσθαι ἐν σκότει, ἐν ᾧ οὐδεμία ἀκτὶς φωτὸς ὑπολάμπει πλὴν τῆς ἐπεισάκτου τῶν εἰκασιῶν τοῦ εὐφυοῦς Sengebusch; Ἀλλὰ παυσώμεθα· διότι καὶ ἀλλαχοῦ ἤδη τὴν θεωρίαν τοῦ ἀνδρὸς ἀνῃρέσαμεν. Ἐνταῦθα ἱκανόν ἐστιν, ὅτι ἡ χρονολογία τῆς ἰωνικῆς ἀποικίας ἐστὶν εἰκασία, ἧς τὰς ἀφορμὰς κατεδείξαμεν. Ἴσως ἡ χρονολογία αὕτη συνεβάλλετο καὶ πρὸς αὔξησιν τῶν ἑπομένων.

5) Κατὰ δὲ τὴν Β' βιογραφίαν[3]) ὁ Ὅμηρος τίθεται 150 ἔτη μετὰ τὸν Τρωικὸν πόλεμον. Ἐνταῦθα δείκνυται προδήλως, ὅτι ὁ χρονολόγος χωρίζει τὸν Τρωικὸν πόλεμον ἀπὸ τοῦ Ὁμήρου διὰ πέντε γενεῶν $5 \times 30 = 150$, ἢ διὰ δύο κύκλων πλέον τῶν ἄνω εἰρημένων 24 ἐτῶν.

6) Κατά τινα παρὰ Κυρίλλῳ[4]) εἴδησιν ὁ Ὅμηρος τίθε-

1) Homer. dissert. post. σελ. 85. 2) Αὐτόθι σελ. 113. 3) Κεφ. 5. 4) Κατὰ Ἰουλιαν. σελ. 11.

ται 165 *ἔτη μετὰ τὸν Τρωικὸν πόλεμον· κατὰ δὲ τὸν Κάσσιον*[1]) 160 *ἔτη μετ' αὐτόν. Ἡ χρονολογία αὕτη ἐγεννήθη, ὡς δοκεῖ, ἐκ τοῦ χωρισμοῦ τοῦ Τρωικοῦ πολέμου ἀπὸ τοῦ Ὁμήρου διὰ πέντε γενεῶν πλέον τῶν δέκα ἐτῶν τῆς πολιορκίας* 5 × 30 + 10 = 160.

7) *Κατὰ δὲ τὴν μαρτυρίαν τῆς ψευδοηροδοτείου βιοτῆς*[2]) *ὁ Ὅμηρος ἐγένετο* 168 *ἔτη μετὰ τὴν τοῦ Ἀγαμέμνονος καὶ Μενελάου στρατείαν. Ὁ βιογράφος ἐπιθυμῶν τὸν Ὅμηρον Αἰολέα ἀποδεῖξαι ὁρίζει ἐποχήν, ἐν ᾗ κατ' αὐτὸν ἡ Σμύρνη ὑπὸ Αἰολέων κατείχετο.*

8) *Κατὰ δὲ τὸν Φιλόχορον*[3]) *ὁ Ὅμηρος ἤκμασε τρεῖς κύκλους μετὰ τὰ Τρωικά, δηλαδὴ* 180 *ἔτη, ἤτοι ἐπὶ τῆς ἰωνικῆς ἀποικίας.*

9) *Ὡσαύτως τρεῖς (ἡλιακοὺς) κύκλους μετὰ τὰ Τρωικὰ τιθέασι τὸν Ὅμηρον ὅτε Εὐθυμένης καὶ Ἀρχέμαχος*[4]) *λέγοντες, ὅτι οὗτος ἐγένετο διακόσια ἔτη μετὰ τὴν ἅλωσιν τῆς Τροίας.*

10) *Οἱ δὲ δύο μεγάλοι τῆς ἀρχαιότητος χρονολόγοι, ὁ Ἐρατοσθένης καὶ ὁ Ἀπολλόδωρος*[5]) *ἔθεντο τὸν Ὅμηρον* 240 *ἔτη μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου ἢ* 4 *κύκλους.*

11) *Κατὰ δὲ τὸν Ρωμαῖον Βελλήιον*[6]) *ὁ Ὅμηρος ἤκμασεν* 950 *ἔτη πρὸ αὐτοῦ. Ἐπειδὴ δ' οὗτος* 30 *ἔτη Μ·Χ ἔγραφε, τίθησιν αὐτὸν* 920 *Π·Χ. Ἐπεδὴ ὅμως κατὰ τὸν αὐτὸν ἡ Ἴλιος* 1190 *Π·Χ ἑάλω, ὑπολείπονται* 270 *ἔτη* (1190 — 920 = 270) *ἤτοι ἐννέα γενεαί.*

12) *Οὐχὶ πολὺ διάφορον ταύτης τῆς ἐποχῆς δίδωσιν ἡμῖν Κορνήλιος ὁ Νέπως. Διότι κατὰ τὸν Γέλλιον*[7]) *ὁ ἱστορικὸς τὸν Ὅμηρον* 160 *ἔτη πρὸ τῆς κτίσεως τῆς Ρώ-*

---

1) *Γέλλιος ἐν νυξὶν ἀττικαῖς* XVII, 21. „Vixisse (Homerum) annis post bellum Troianum, ut Cassius in primo Annalium de Homero et Hesiodo scriptum reliquit plus centum atque sexaginta annis.“ 2) *Κεφ.* 38. 3) Philochor. fragment. 52, 53 *καὶ* 54. 4) *Κλήμ. Ἀλεξανδρ. Στρωμ.* I, 327 A. „*Εὐθυμένης δὲ ἐν τοῖς χρονικοῖς συνακμάσαντα Ἡσιόδῳ ἐπὶ Ἀκάστου ἐν Χίῳ γενέσθαι περὶ τὸ διακοσιοστὸν ἔτος ὕστερον τῆς Ἰλίου ἁλώσεως· ταύτης δέ ἐστι τῆς δόξης καὶ Ἀρχέμαχος ἐν Εὐβοϊκῶν τρίτῳ.*“ 5) Apollodor. fragment. 74. 6) I, 5. 7) *Ἐν νυξὶν ἀττικαῖς* XVII, 21.

μης ἐτίθει. Ἡ δὲ Ῥώμη κατὰ τὸν Νέπωτα ἐκτίσθη ἐν ἔτει 750 Π·Χ. Ἂν λοιπὸν τὸ 160 εἰς τὸ 750 προσθῶμεν, εὑρίσκομεν 910, ὅπερ οὐ πολὺ τοῦ ἡγουμένου ἀριθμοῦ ἀπέχει.

13) Ὁ δὲ Πορφύριος ὅλως πρὸς τὸν Νέπωτα συμφωνεῖ [1]).

14) Κατὰ δὲ τὸ Πάριον χρονικὸν ὁ Ὅμηρος ἔζη σχεδὸν πέντε κύκλους μετὰ τὰ Τρωικά [2]).

15) Σωσίβιος δ' ὁ Λάκων κατὰ Κλήμεντα τὸν Ἀλεξανδρέα [3]) ἐτίθει τὸν ποιητὴν ἐννενήκοντα ἔτη πρὸ τῶν Ὀλυμπιάδων. Ἀλλ' ἡ χρονολογία αὕτη συμπίπτει τῇ τοῦ Ἡροδότου, εἰς ὃν μεταβαίνομεν.

16) Ὁ Ἁλικαρνασσεὺς λέγει [4]), ὅτι ὁ Ὅμηρος ἔζησε 400 ἔτη πρὸ αὐτοῦ. Ἐπειδὴ δ' ὁ ἱστορικὸς νοεῖ τὸν χρόνον, καθ' ὃν συνέγραφε, τίθησι τὸν ποιητὴν 839 Π·Χ ἢ ἕνα κύκλον πρὸ τῶν Ὀλυμπιάδων 63 + 776 = 839 ἢ ἑπτὰ κύκλους μετὰ τὰ Τρωικὰ 7 × 63 + 839 = 1280.

17) Τελευταῖον κατὰ τὸν Θεόπομπον [5]) παρεμπίπτουσι 500 ἔτη μεταξὺ τῶν Τρωικῶν καὶ τοῦ Ὁμήρου. Τὸ αὐτὸ δέχεται καὶ ὁ Εὐφορίων λέγων, ὅτι ὁ Ὅμηρος ἔζη ἐπὶ Γύγου τοῦ τῶν Λυδῶν βασιλέως, ὃς ἐν τῇ 19ῃ Ὀλυμπιάδι ἦρχεν [6]). Ὁ ἀριθμὸς οὗτος ἰσοῦται πρὸς 8 κύκλους 8 × 63 = 504. Διότι ἡ μικρὰ διαφορὰ ἀποδοτέα τῇ ἐπιθυμίᾳ τοῦ συγγραφέως, ὅπως διὰ στρογγύλου ἀριθμοῦ ἐκφρασθῇ.

Ἕκαστος παρατηρεῖ, ὅτι τὰς διαφόρους τοῦ Ὁμήρου ἐποχὰς δίδουσιν ἡμῖν οἱ ἐξοχώτεροι τῆς ἀρχαιότητος ἄνδρες. Ἀλλὰ τί τὸ ὄφελος; Ὁ κριτικώτερος ἀνὴρ πιθανῶς τὴν κριτικωτέραν εἰκασίαν ἐποίει, ὅμως διὰ τοῦτο οὐδὲν ἄλλο ἦν ἢ ψιλὴ εἰκασία. Καὶ δὴ ἄλλοι μὲν τιθέασι τὸν Ομηρον ἐν τοῖς Τρωικοῖς, ἄλλοι πολύ, ἄλλοι ὀλίγον μετ' αὐτά,

---

1) Lauer, Geschichte der Homer. Poesie σελ. 122. Παράβαλ. Βιογραφία Ζ'. 2) Lauer, Αὐτόθι. 3) Στρωμ. 237. 4) II, 53. 5) Κλήμ. Ἀλεξανδρ. Στρωμ. I, σελ. 327 B. „Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ τρίτῃ τῶν Φιλιππικῶν μετὰ ἔτη πεντακόσια τῶν ἐπὶ Ἰλίῳ στρατευσάντων γεγονέναι τὸν Ὅμηρον ἱστορεῖ.“ 6) Εὐσέβ. Εὐαγγ. προπαρ. X, 11. Κλήμ. Ἀλεξανδ. αὐτόθι. Τατιαν. αὐτόθι κεφ. 31.

ἄλλοι ἐπὶ τοῖς ἰωνικῆς ἀποικίας, ἄλλοι βραδύτερον καὶ ἄλλοι εἰς πολὺ μεταγενεστέρους χρόνους. Ὁ δὲ Παυσανίας ἠρεύνησε μὲν τὴν ἡλικίαν τοῦ ποιητοῦ, ὡς λέγει, ἀκριβέστατα[1]), ὅμως τὰς μομφὰς τῶν συγχρόνων φοβούμενος οὐ λέγει ταύτην. Ἀλλὰ καὶ ἡ τοῦ ἀνδρὸς τούτου ἔρευνα οὐδὲν ἄλλο ἦν, ἢ εἰκασία. Ἐν γένει οἱ ἀρχαῖοι ἐγίνωσκον τὴν ἡλικίαν τοῦ Ὁμήρου μόνον ἐξ εἰκασιῶν καὶ πρὸς τοῦτο ἔχομεν ῥητὰς μαρτυρίας.

Ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εὕρηται ἐνιαχοῦ ἡ φράσις οἷοι νῦν βροτοί εἰσιν[2]), ἐν ᾗ ὁ ποιητὴς τοὺς ὁμηρικοὺς ἀνθρώπους πρὸς τοὺς σογχρόνους παραβάλλων τοὺς πρώτους ὡς ῥωμαλεωτέρους ὑμνεῖ. Ἡ παραβολὴ αὕτη, ὡς εἰκός, ἐγένετο ἀφορμή, ὅπως ὁ Ὅμηρος μεταγενέστερος τῶν Τρωικῶν θεωρηθῇ[3]). Πρὸς δέ, ἐπειδὴ ὁ ποιητὴς λέγει, ὅτι ὁ Ὕπνος ἀνέβη ἐπὶ ἐλάτης, ἥτις τότε ἦν μηκίστη[4]), οἱ ἀρχαῖοι, ὡς βλέπομεν παρὰ τοῖς Σχολιασταῖς, εἴκασαν, ὅτι ὁ Ὅμηρος μετὰ τὰ Τρωικὰ ἔζη. Ὁ δ' Ἄκκιος ἔλεγε τὸν Ἡσίοδον προγενέστερον τοῦ Ὁμήρου[5])· διότι, ἐν ᾧ ὁ ποιητὴς ἐν ἀρχῇ τῆς Ἰλιάδος τὸν Ἀχιλλέα υἱὸν τοῦ Πηλέως ὀνομάζει, οὐ προστίθησι, τίς ἦν οὗτος ὁ Πηλεύς. Κατ' αὐτὸν ὁ Ὅμηρος ὤφειλε εἰπεῖν τοῦτο, εἰ μὴ γνωστὸν ἦν ἐκ τοῦ Ἡσιόδου. Κατὰ τὸν αὐτὸν ὁ Ὅμηρος ὤφειλε εἰπεῖν τι καὶ περὶ τοῦ Κύκλωπος, εἰ μὴ τὸ τέρας ἐκ τοῦ Ἀσκραίου ἀοιδοῦ ἐγινώσκετο. Τελευταῖον, ἐπειδὴ ὁ Ὅμηρος λέγει, ὅτι τὸ ὑπὸ τῶν Ἀχαίων κτισθὲν τεῖχος μετὰ βραχὺν χρό-

---

1) IX, 30, 2 „Περὶ δὲ Ἡσιόδου τε ἡλικίας καὶ Ὁμήρου πολυπραγμονήσαντι ἐς τὸ ἀκριβέστατον οὔ μοι γράφειν ἡδὺ ἦν, ἐπισταμένῳ τὸ φιλαίτιον ἄλλων τε καὶ οὐχ ἥκιστα ὅσοι κατ' ἐμὲ ἐπὶ ποιήσει τῶν ἐπῶν καθειστήκεσαν.“ 2) Ἰλιάδ. Ε 304. Μ 383 καὶ 449. Υ 287. 3) Πλίνιος, Φυσικ. ἱστορ. VII, 16. 4) Ἰλιάδ Ξ 288. Ὅρα Εὐστάθιον σελ. 987 καὶ τοὺς Σχολιαστάς. 5) Γέλλιος ἐν νυξὶν ἀττ. III, 11 „Accius autem in primo didascalico levibus admodum argumentis utitur, per quae ostendit Hesiodum natu priorem.“ „Quod Homerus, inquit, cum in principio carminis Achillem esse filium Pelei diceret, quis esset Peleus, non addidit; quam rem procul dubio, inquit, dixisset, nisi ab Hesiodo jam dictum videretur.“ „De Cyclope itidem, inquit, vel maxime quod unoculus fuit, rem tam insignem non praeterisset, nisi aeque prioris Hesiodi carminibus vulgatum esset.“

νον ὑπὸ τοῦ Ποσειδῶνος κατεστράφη, τινὲς τῶν ἀρχαίων εἰκάζουσιν[1]), ὅτι ὁ Ὅμηρος οὐ πολὺν μετὰ τὰ Τρωικὰ χρόνον ἐγένετο. Διότι, εἰ οὗτος ἔζη πολὺ βραδύτερον, ὤφειλε κατὰ τούτους εἰπεῖν, ὅτι τὸ τεῖχος διὰ τοῦ χρόνου καὶ οὐχὶ ὑπὸ τοῦ θεοῦ κατεστράφη. Ταῦτα μὲν δὴ ἱκανά. Εἰ δ' αὐτὰ τα συγγράμματα τῶν τὰς χρονολογίας ἐφευρόντων μέχρις ἡμῶν ἐσώζοντο, ἐμέλλομεν εἰσελθεῖν καὶ εἰς αὐτὸ τὸ ἐργοστάσιον, ἐν ᾧ οἱ ἀρχαῖοι τὰς αὐτῶν εἰκασίας ἐσφυρηλάτουν. Δυστυχῶς ὅμως γινώσκομεν ταύτας ἐξ ἐμμέσων πηγῶν. Ἀλλ', εἰ εἰκασίαι τὰς χρονολογίας ἐκείνας παρήγαγον, εἰς εἰκασίας δύναται τραπῆναι, καὶ ἐτράπη ἡ ἔρευνα τῶν ἡμετέρων χρόνων.

Πρὸ ὀλίγου εἴδομεν, ὅτι ἐν τῇ Ἰλιάδι εὕρηται ἡ φράσις οἷοι νῦν βροτοί εἰσιν. Παρά πᾶσι τοῖς λαοῖς καὶ ἐν πᾶσι τοῖς αἰῶσι φέρεται ἡ πεποίθησις, ὅτι οἱ προγενέστεροι ἦσαν ῥωμαλεώτεροι, ὅπερ καὶ ἐν τῇ φράσει ταύτῃ λέγεται[2]). Ἐνταῦθα ὅμως ἀναφύεται τὸ ζήτημα, πότερον, τῆς φράσεως ταύτης ἐκ τοῦ στόματος τοῦ ποιητοῦ ἐκρευσάσης ὁ Ὅμηρος ἀναγκαίως μετὰ τὰ Τρωικὰ ἔζη, ἢ βραδύτερον ὑπὸ τῶν ῥαψῳδῶν παρεμβληθείσης ἦν σύγχρονος τούτοις, ἂν μὴ ἄλλο τι κωλύῃ; Ὁ B. Thiersch διὰ μακρῶν ἀποφαίνεται, ὅτι αὕτη πανταχοῦ ὑπὸ τῶν ῥαψῳδῶν παρενεβλήθη. Διότι κατ' αὐτὸν βραδύτερον γελοῖον τοῖς ἀκροαταῖς ἐφαίνετο, ὅτι ἥρως τις τὸν ἀντίπαλον διὰ λίθου βάλλει[3]). Οἱ δὲ ῥαψῳδοὶ κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα, ὅπως μετριάσωσι τὸ γελοῖον, προσετίθεσαν τὴν φράσιν, ὅτι ὁ βαλλόμενος λίθος ἦν οὕτω μέγας, ὥστε δύο σύγχρονοι οὐκ ἠδύναντο αὐτὸν φέρειν. Διότι τῷ λίθῳ τούτῳ ἀποδίδοται τὸ ἐπίθετον χερμάδιος[4]), ὅπερ οἱ

1) Ἰλιαδ. Μ 4 καὶ Εὐστάθ. σελ. 888, 59. 2) Rich. Payne Knight, Prolegom. ad. Homer. σελ. 24. 3) Ueber das Zeitalter und Vaterland des Homer σελ. 144 „Um nun das Lächerliche zu mildern, setzten die Rhapsoden hinzu, es sei aber jener Stein von solcher Grösse gewesen, dass ihn zwei der gewöhnlichen Menschen nicht würden heben können." 4) Ἡσύχ. ἐν λ. „Χερμάδιος, χειροπλήθης λίθος· χερμαδίῳ, χειροπλήθει λίθῳ· χερμάδιος, λίθος πληρῶν χεῖρα,' Χερμάς, λίθος χειροπλήθης, ὃν τῇ χειρὶ βαστάσαι καὶ ἀνελέσθαι δύναταί τις. Ὅρα καὶ Εὐστάθ. σελ. 715, 39.

μὲν Σχολιασταὶ ἑρμηνεύουσι λίθον, ὃν τῇ χειρὶ βαστάσαι καὶ ἀνελέσθαι δύναταί τις, ὁ δὲ Εὐστάθιος παράγει ἐκ τοῦ χείρ καὶ μάσασθαι. Λοιπὸν ἡ τοῦ ἐπιθέτου προσθήκη δείκνυσιν, ὅτι ὁ λίθος ἦν συνήθης, λίθος δηλονότι ἐν ἀνθρωπίνῃ χειρὶ χωρῶν. Τοῦτο δ' ἐπιβεβαιοῦται καὶ ἐκ τῆς περιγραφῆς, καθ' ἣν ὁ Τυδείδης τὸν Αἰνείαν περὶ τὸ ἰσχίον βαλὼν οὐ θραύει τοῦτο[1]. *Εἰ δ' ὁ λίθος ἦν μείζων τοῦ συνήθους, τῇ ἀληθείᾳ ὁ κίνδυνος ἔμελλεν εἶναι σπουδαιότερος. Ἐπειδὴ δ' ὁ λίθος κοινοῦ μεγέθους ἦν, ὑπολείπεται μόνη ἡ ὑπόθεσις, ὅτι οἱ ἥρωες γιγαντώδη ὄντα ἦσαν. Τοῦτο ὅμως, ὡς λέγει ὁ σοφὸς ἀνήρ, οὐχ εὕρηται ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν. Ὁ ποιητὴς περιγράφει μὲν τοιαῦτα ὄντα, ὡς τοὺς Λαιστρυγόνας, ἀλλ' οὗτοι βάλλουσι χερμαδίοισι ἀνδραχθέσι*[2]*, ὅπου οἱ Σχολιασταὶ σημειοῦσιν, ὅπερ αὐτοῖς μὲν ἦν χερμάδια, ἄλλοις δὲ ἀχθοφορήματα. Καὶ ταῦτα μὲν λέγει ὁ σοφὸς* Thiersch.

Ἀλλ' οὐ δυνάμεθα δέξασθαι, ὅτι οἱ ῥαψῳδοὶ τὴν φράσιν παρενέβαλον. Διότι τὸν ἀποροῦντα, ὅτι οἱ ἥρωες, καίπερ ἀνθρωποφυεῖς, βάλλουσι λίθον, ὃν μόλις δύο σύγχρονοι τοῦ Ὁμήρου δύνανται φέρειν, ἐρωτῶμεν, τί οὐκ ἀπορεῖ, ὅτι μόνος ὁ Ἀχιλλεὺς τρέπει εἰς φυγὴν πάντας τοὺς Τρῶας; Τί οὐκ ἀπορεῖ, ὅτι ὁ Διομήδης τιτρώσκει τους ἀτρώτους θεούς; Τί οὐκ ἀπορεῖ, ὅτι ὁ Ὀδυσσεὺς μετ' ὀλίγων φονεύει πολυαρίθμους μνηστῆρας; Ταῦτα δὲ διαπράττονται, ἐν ᾧ οὔτε ὁ Ἀχελλεύς, οὔτε ὁ Διομήδης, οὔτε ὁ Ὀδυσσεὺς ὑπεράνθρωπα ὄντα εἰσίν, ὡς οἱ Λαιστρυγόνες καὶ Κύκλωπες. Τὰ τοιαῦτα ὀνομάζονται ὑπὸ τοῦ Ἀριστοτέλους ἄλογα καὶ τῇ ἐποποιίᾳ ἐπιτρέπονται, ὡς ἐν τῷ ἑπομένῳ βιβλίῳ ἔσται λόγος. Οἱ ῥαψῳδοὶ λοιπόν, εἰ ἦσαν ἀκόλουθοι, ἢ μᾶλλον εἰπεῖν, εἰ ὁ σοφὸς Thiersch *ἀποδίδωσιν αὐτοῖς ἔργα ἀκολούθου φρενός, ὤφειλον πανταχοῦ τῶν ἐπῶν παρεισάγειν φράσεις, ὅπως μετριάσωσι τὸ γελοῖον. Ὅπως μετριάσωσι τὸ γελοῖον! Τότε δὴ οἱ τῶν ῥαψῳδῶν*

---

1) Ἰλιάδ. Ε 305. 2) Ὀδυσσ. Κ 121, ὅπου ἰδὲ τοὺς Σχολιαστάς.

ἀκροαταὶ ὤφειλον καθ' ἅπασαν τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν καταγελᾶν τοῦ ποιητοῦ ἔργα ὑπερανθρώπου φύσεως ἀκούοντες. Ἀλλ' οὐχί· οὔτε τὰ ὁμηρικὰ ἔπη ἄξια γέλωτός εἰσιν, οὔτε οἱ ῥαψῳδοὶ εἶχον τὴν ἄνοιαν, ὅπως μεταβάλωσι χωρία, ὅπερ ἀντὶ γέλωτος θαυμασμὸν ἐμπνέουσιν. Τὰ ὁμηρικὰ ἔπη μετεμορφώθησαν ὑπὸ τοῦ ποιητοῦ ἐκ μύθων. Μῦθος δὲ σημαίνει συμβὰν ὑπὸ τῆς φαντασίας ηὐξημένον καὶ οὐχὶ ὑπὸ τῆς κρίσεως ἐν μεγεθύνσει ἢ ἐν μειώσει ἀπεικονισμένον. Ἡ δὲ φαντασία κατὰ τὴν αὐτῆς φύσιν μεγεθύνει μὲν ἢ καὶ μειοῖ τὴν φύσιν τῶν ὄντων, ὅμως οὐ δύναται οὕτως εἰκονίσαι, ὅπως ταῦτα ἀνάλογα πρὸς ἑαυτὰ φαίνωνται. Οἱ τοὺς μύθους λοιπὸν ποιήσαντες ἢ αὐτὸς ποιητὴς ἐποίησε μὲν τοὺς ἥρωας ἀνθρώπους κοινοῦ μεγέθους, ὅμως ἔργα ὑπεράνθρωπα διαπράττοντας. Οἱ δὲ ῥαψῳδοὶ ἴσως πολλοὺς στίχους εἰς τὰ ὁμηρικὰ ἔπη παρενέβαλον, οὐδόλως ὅμως τὴν εἰρημένην φράσιν, εἰ οὗτοι ἀκόλουθοι πρὸς ἑαυτοὺς ἦσαν.

Ἐκ τῶν εἰρημένων λοιπὸν εἰκάζομεν, ὅτι ὁ Ὅμηρος τίθησιν ἑαυτὸν μετὰ τὰ Τρωικά. Ἄλλοι ὅμως ποιηταὶ ἢ μᾶλλον ἀοιδοὶ ἧττον ἐπιφανεῖς, εἰ μὴ ἐν αὐτῷ τῷ Τρωικῷ πολέμῳ, ὅμως εὐθὺς μετ' αὐτὸν ἤρξαντο ᾄδειν τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως, τὴν φρόνησιν τοῦ Νέστορος, τὴν πανουργίαν τοῦ Ὀδυσσέως καὶ τὰ τοιαῦτα. Τοῦτο καὶ φυσικὸν φαίνεται καὶ οἱ ἀρχαῖοι ὁμολογοῦσιν[1]). Ἀλλ' οὔτε τῶν ἡμετέρων εἰκασιῶν, οὔτε τῆς μαρτυρίας τῶν ἀρχαίων δεόμεθα. Διότι αὐτὸς ὁ ποιητὴς ἀψευδέστατος τούτου μάρτυς ἐγείρεται. Ὁ ἥρως τῆς Ὀδυσσείας ἐν τῇ νήσῳ τῶν Φαιάκων ἀκούει τὰς ἐν τῇ Τροίᾳ πράξεις τῶν Ἀχαιῶν[2]). Μόλις δέκα ἔτη μετὰ τὴν ἅλωσιν τῆς πόλεως τοῦ Πριάμου παρῆλθον, καὶ ὁ Φήμιος ἐν τοῖς ἀνακτόροις τοῦ Ὀδυσσέως τὸν οἰκτρὸν τῶν πορθητῶν νόστον ᾄδει[3]). Διότι πᾶν σπουδαῖον συμβὰν παρεῖχεν ὕλην τῇ ἐπικῇ ποιήσει, ὡς ἡ ἀρετὴ

1) Κικέρ. Βροῦτ. κεφ. 18. Σέξτ. ἐμπειρ. πρὸς μαθηματ. κεφ. 41. Εὐστάθ. προλεγ. εἰς Ἰλιάδ. 4. Πλίν. Φυσικ. ἱστορ. VII, 56. Ἰώσηπ. κατ. Ἀπ. I, 2. 2) Ὀδυσσ. Θ 70 καὶ 500. 3) Ὀδυσσ. Α 326.

τῆς Πηνελόπης, ἡ ἄτιμος τῆς Κλυταιμνήστρας διαγωγὴ καὶ ἡ τιμωρία τοῦ Ὀρέστου[1]). Οἱ δὲ ὁμηρικοὶ ἄνθρωποι ἡδέως ἀκούουσι πᾶν νέον ᾆσμα[2]). Ταῦτα μὲν διαρρήδην λέγει ὁ ποιητής, ὑπαινίσσεται ὅμως πλείονα τούτων. Διότι ὁμιλεῖ περὶ πολλῶν ἀνδρῶν, γυναικῶν, θεῶν καὶ εὐγενῶν οἴκων ὡς ἄλλοθεν γνωστῶν καὶ πολυθρυλήτων. Ἐπὶ δὲ τῶν ὁμηρικῶν χρόνων ἡ ἐπικὴ ποίησις, ὡς ἐν τοῖς νεωτέροις χρόνοις ἡ τυπογραφία, διεσκέδαζε τὴν δόξαν ἢ ἀδοξίαν ἀνά τε τοὺς συγχρόνους καὶ μεταγενεστέρους. Πρὸ Ὁμήρου λοιπὸν οὐ μόνον ὑπῆρχον ἀοιδοί, ἀλλὰ καὶ ἡ ἐπικὴ ποίησις οὕτως ἀνεπτυγμένη ἦν, ὥστε ὁ ἀοιδὸς μετήρχετο τὸ ἴδιον ἐπιτήδευμα, ὡς ὁ μάντις, ἰατρὸς καὶ τέκτων[3]). Οἱ προομηρικοὶ δ' ἀοιδοὶ παρεσκεύασαν τὴν γένεσιν τοῦ θεσπεσίου Ὁμήρου.

Ἀλλ' ἴσως τὰ εἰρημένα πολλοῖς φαίνονται ἀντιφάσκοντα πρὸς τὸν ἐπικρατοῦντα κανόνα τῆς ἐποποιίας, ἥτις μόνον πεπαλαιωμένα γεγονότα πραγματεύεται. Καί, εἰ μὴ οἱ διὰ γραμματικῶν σοφισμάτων τὸν Ὅμηρον σολοικίζοντα ἀποδεικνύοντες τύχῃ ἀγαθῇ ἐξέλιπον, ἴσως ἔτι καὶ νῦν συχνάκις ἠκούομεν, ὅτι ὁ ποιητὴς τὸν στοιχειωδέστατον καὶ σπουδαιότατον κανόνα τῆς ἐποποιίας παραβαίνει. Διότι ἐπιτρέπει τῷ Ὀδυσσεῖ, ἵνα ἀκούῃ ἐν ταῖς ἀκταῖς, καθ' ἃς ἐπλανᾶτο, τὴν σύγχρονον ἱστορίαν ᾀδομένην. Ὁ κανὼν οὗτος ἔχει μὲν κῦρος ἐν τῇ ἐποποιίᾳ τῶν νεωτέρων χρόνων, ὁ Δημόδοκος ὅμως καὶ ὁ Φήμιος ἠγνόουν τοῦτον, ὡς καὶ πάντα τὰ καθ' ἡμᾶς. Εἰ ἡ νεωτέρα ἐποποιία οὐ πραγματεύεται σύγχρονον ἢ ὀλίγον προγενεστέραν ἱστορίαν, ἡ αἰτία ἔγκειται οὐχὶ ἐν τῇ μικρᾷ ἀποστάσει τοῦ ποιητοῦ ἀπὸ τῆς ὕλης, ἀλλ' ἐν τῇ ὕλῃ αὐτῇ μηδόλως ποιητικῇ οὔσῃ. Διότι ἐν τοῖς νεωτέροις χρόνοις αἱ μάχαι οὔτε ἐξ αὐθυπάρκτων ὄντων, οὔτε ἐξ ἀνδρῶν ἴδιον χαρακτῆρα ἐχόντων συγκροτοῦνται, ἀλλ' ἐξ ἀμόρφων μονάδων. Ὅσῳ δύναταί τις ποιῆσαι ποίημα δι' ἀριθμητικῶν μονάδων, τοσούτῳ δύναται

---

1) Αὐτόθι Γ 204. Ἰδὲ καὶ Otfried Müller, Geschichte der griech. Literatur σελ. 67, 2) Ὀδυσσ. Α 325 καὶ 352. 3) Ὀδυσσ. Ρ 383.

καὶ νεώτερος ἐπικὸς ποιητὴς ποιῆσαι ἔπος ἐκ στρατιωτῶν τῶν νεωτέρων χρόνων. Οὕτως ἀληθές ἐστιν, ὅτι ἡ στρατιωτικὴ ἐπιστήμη τὴν ἐπικὴν ποίησιν ἐμάρανεν! Διὰ τοῦτο πᾶν συμβὰν τῶν νεωτέρων χρόνων ἐπικὴ ὕλη ἀποβαίνει, ἂν πρῶτον ἐν τῇ ὁμίχλῃ καὶ τοῖς νέφεσι μακροῦ παρελθόντος καλυφθῇ, μέχρις οὗ ἡ φαντασία θάρρος λαβοῦσα τοῦτο κοσμήσει καὶ διὰ νέων χρωμάτων εἰκονίσει. Ὁ περὶ τὰ Τρωικὰ ὅμως ζήσας ἀοιδὸς τὴν ἐπικὴν ὕλην εἶχε πρόχειρον. Ἡ μὲν καλλίστη τῶν γυναικῶν ἦν ἡ αἰτία τοῦ πολέμου, ἡ δ' ἐντελὴς καταστροφὴ τῆς πόλεως τοῦ Πριάμου τό τέλος. Ἥρως μάχεται πρὸς ἥρωα, τὴν δὲ τιμωρίαν τοῦ πεσόντος ἀναδέχεται ὁ ἑταῖρος μετ' αὐτοῦ συνδεόμενος οὐχὶ διὰ τοῦ κοινοῦ ἐνδύματος ἢ διὰ τῆς κοινῆς σημαίας, ἀλλὰ δι' ἐγκαρδίων σχέσεων ἐξ ἀμοιβαίας ἀγάπης ἀπορρεουσῶν. Ἐν δὲ τῷ πεδίῳ τῆς μάχης οὐχ ὁ στρατηγός, ἀλλὰ τὰ ἀνθρώπινα πάθη κυβερνῶσιν. Ὁ ὁμηρικὸς ἥρως οὐκ ἐπέρχεται κατὰ τοῦ ἀντιπάλου ἄφωνος καταστρεπτικὴ μηχανή, ὡς δὴ ὁ στρατιώτης τῶν νεωτέρων χρόνων, ἀλλὰ δημηγορεῖ πρὸ τοῦ ἐχθροῦ, ἐλέγχει αὐτὸν ὡς δειλὸν καὶ τῆς χρήσεως τῶν ὅπλων ἄπειρον, ἐρωτᾷ τὴν καταγωγὴν καὶ ἐν γένει πράττει καὶ λέγει πᾶν, ὅ, τι τὸ ἴδιον πάθος ὑπαγορεύει, δι', ὧν ὁ χαρακτὴρ ἑκάστου ἥρωος διαγραφόμενος γνωστὸς τοῖς τε φίλοις καὶ τοῖς ἐχθροῖς γίνεται. Ἐν ταῖς μάχαις ὅμως τῶν νεωτέρων[1] *ἡ τοῦ κελεύσματος ἀκριβὴς*

---

1) *Ὁμιλοῦντες περὶ νεωτέρων τόν τε πόλεμον καὶ τοὺς ἄνδρας τῆς μεγάλης ἡμῶν ἐπαναστάσεως ἐξαιροῦμεν. Διότι οὗτος καὶ πολλὰ τὰ κοινὰ πρὸς τὸν Τρωικὸν πόλεμὸν ἔχει, καὶ οἱ ἐν τούτῳ ἐπιφανεῖς γενόμενοι ἄνδρες παρεμφερέστατοι πρὸς τοὺς ὁμηρικοὺς ἥρωάς εἰσιν. Καὶ ἐν τούτῳ οὐδεμία στρατιωτικὴ τάξις ὑπάρχει, ἀλλ' ἡ τοῦ στρατηγοῦ εὐφυΐα καὶ συχνάκις ἡ ἀτομικὴ τοῦ στρατιώτου ἀνδρία τὰ ἐχθρικὰ σμήνη εἰς φυγὴν ἔτρεψαν. Διὰ τὴν τοιαύτην δὲ τοῦ πολέμου φύσιν χαρακτῆρες ἀνάλογοι πρὸς τοὺς τῶν ἡρώων διετυπώθησαν. Τίς τὴν ἱστορίαν τῶν ἡμετέρων πατέρων ἀναγνοὺς ου παρέβαλε τὸν πανοῦργον τῆς Πελοποννήσου στρατάρχην πρὸς τὸν ἥρωα τῆς Ἰθάκης; Τίς τὴν ὠκύτητα τῶν ποδῶν τοῦ Ἀχιλλέως γινώσκων οὐκ αἴρεται εἰς τοὺς μυθικοὺς χρόνους, ὅταν ἀναγινώσκῃ τὴν μυθικὴν ταχύτητα τοῦ Τουρκοφάγου; Πόσον ὅμοιός ἐστι πρὸς τὸν Τελαμώνιον Αἴαντα ὁ ἀπὸ τοῦ Παρθενῶνος εἰς τὸν ἄλλον βίον μεταστάς; Τί δέ; Ὁ Λάκων ἡγεμὼν*

καὶ δουλικὴ ἐφαρμογὴ ἢ ἐπιτυχία νέας στρατιωτικῆς ἐφευρέσεως ἢ στρατηγηματικοῦ σχεδίου διακρίνεται, ἐπαινεῖται καὶ θαυμάζεται. Ἀλλ' ἐπιτυχὴς κίνησις μηχανῆς δύναται εἶναι ποιητικὴ ὕλη; Πρὸς δέ, καὶ εἰ ἡ ὕλη ἐν τοῖς ἡρωικοῖς χρόνοις μὴ ἦν ποιητική, πάλιν ἡ τῶν μέσων τῆς διαδόσεως τῶν ἰδεῶν ἔλλειψις ἀνεδείκνυεν αὐτὴν τοιαύτην. Διότι ἡ στοματικὴ διάδοσις καθ' ὁδὸν τὰ γεγονότα αὐξάνουσα, ὡς ἡ σφαῖρα χιόνος ἡ ἀπὸ ὑψηλῆς κορυφῆς ὄρους καταπίπτουσα ἐν τῇ καταπτώσει μεγεθύνεται, οὕτω μεγάλα μέχρι τοῦ ἀοιδοῦ αὐτὰ ἔφερεν, ὥστε οὗτος οὐ περιέμενε τὴν ἐν τῷ ῥεύματι τοῦ χρόνου αὔξησιν αὐτῶν, ἀλλ' εὐθὺς ἤρχετο τῆς ποιήσεως.

Πληθὺς λοιπὸν ἀοιδῶν ἤδη ἐπὶ τῶν Τρωικῶν ᾄσματα ἐκ τῆς συγχρόνου ἱστορίας ἐποίει, ὁ δ' Ὅμηρος ἀνεφάνη βραδύτερον. Κατὰ δὲ τὰ ἀλλαχόθι εἰρημένα ὁ ποιητὴς ἦν Ἴων, οἱ δ' Ἴωνες εἰς τὴν μικρὰν Ἀσίαν ἕνα μετὰ τὰ Τρωικὰ αἰῶνα ἀπῴκησαν. Οὗτοι ἤνεγκον μὲν μεθ' ἑαυτῶν τοὺς μύθους καὶ σπέρματα τῆς ἐπικῆς ποιήσεως ἐκ τῆς εὐρωπαικῆς εἰς τὴν ἀσιατικὴν Ἑλλάδα, ὅμως ἡ ἐποποιία κατὰ πάσας τὰς εἰκασίας καὶ κατὰ τὰς τῶν ἀρχαίων μαρτυρίας ὑπὸ τὸν λαμπρὸν τῆς μικρᾶς Ἀσίας οὐρανὸν ἤκμασεν. Ὅπως δὲ μὴ ἡ τοῦ Ὁμήρου γένεσις παρὰ φύσιν φαίνηται, ἀπαιτοῦνται δύο γε αἰῶνες ἀπὸ τῆς τῶν Ἰώνων ἀποικίας. Οὕτω μετὰ τρεῖς αἰῶνας ἀπὸ τῶν Τρωικῶν ἡ γένεσις τοῦ Ὁμήρου φυσικὴ φαίνεται. Δικαίως δ' ὁ W. Müller λέγει[1]), ὅτι ὁ Ὅμηρος οὐ δύναται τεθῆναι πολὺ βραδύτερον ταύτης τῆς ἐποχῆς. Διότι οὐ μόνον ὁ τοῦ

ὁ τοὺς υἱοὺς αὐτοῦ θῦμα τῇ πατρίδι προσενεγκὼν οὐχ ὁμοιάζει πρὸς τὸν γέροντα Πρίαμον; Ἀρά γε λείπει ὁ Νέστωρ τῆς ἡμετέρας ἐπαναστάσεως; Τῇ ἀληθείᾳ οὐχί. Διότι καὶ ἀπὸ τῆς γλώσσης τοῦ Νέστορος τῆς Ἀχαΐας ἔρρεεν ἀφειδῶς μέλι. Ὁ δὲ ἐπὶ τῆς ψάθης τούτων θάνατος ὅμοιός ἐστι πρὸς τοὺς οἰκτροὺς νόστους ἐκείνων. Διὰ ταῦτα μεμφόμεθά τισι τῶν ἡμετέρων λογίων, οἵτινες οὐκ ἐπιτρέπουσι τοῖς νέοις, ἵνα θέμα ποιήσεως τὴν πρόσφατον ἐπανάστασιν τῶν ἡμετέρων πατέρων λαμβάνωσιν. Διότι οὗτοι παρασύρονται ἐκ τοῦ ἄνω εἰρημένου κανόνος τῆς ἐποποιίας ἐν τῇ ἑσπερίᾳ Εὐρώπῃ ἰσχύοντος.

1) Homerische Vorschule σελ. 60.

Τρωικοῦ πολέμου μῦθος ἐν τῷ στόματι τῶν Ἰώνων σκοτίζεται καὶ μαραίνεται, ἀλλὰ καὶ εἰς τὰ ἔθιμα αὐτῶν ἀσιατικὴ ἁβρότης καὶ πολυτέλεια εἰσδύουσιν, ὧν ἴχνη ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οὐχ εὑρίσκομεν. Τὴν εἰκασίαν δὲ ταύτην ὑποστηρίζουσι καὶ αἱ εἰδήσεις, ὅτι κατὰ ταύτην τὴν ἐποχὴν ἡ ἐπικὴ ποίησις ἐν ταῖς ἀκταῖς τῆς μικρᾶς Ἀσίας ἤκμαζεν. Τὴν αὐτὴν περίπου ἐποχὴν ἀποδίδωσι τῷ Ὁμήρῳ καὶ ὁ Otfr. Müller[1]) τὴν τοῦ Ἡροδότου χρονολογικὴν εἴδησιν ἐπιδοκιμάζων. Οὐχὶ δὲ πολὺ διάφορον ταύτης τῆς ἐποχῆς δέχεται καὶ ὁ μέγας ἱστορικὸς Grote[2]) δηλαδὴ 850—776 Π·Χ. Κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα ὁ Ὅμηρος οὐ δύναται τεθῆναι κατωτέρω τῶν Ὀλυμπιάδων. Διότι ὀλίγον μετὰ τὴν πρώτην ἤκμασεν ὁ τῆς Αἰθιοπίδος ποιητὴς Ἀρκτῖνος, ὅστις καὶ τὸν τελευταῖον τῆς Ἰλιάδος στίχον γινώσκει[3]).

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τῆς ἐτυμολογίας τοῦ ὀνόματος τοῦ Ὁμήρου.

Ἡ ἐτυμολογία τοῦ ὀνόματος τοῦ Ὁμήρου φαίνεται ἡμῖν τὸ ἀτοπωτάτον μέρος τῆς ἐρεύνης τοῦ ὁμηρικοῦ ζητήματος. Ὅσῳ δ' αὕτη ἐν μικρᾷ ἐπιφανείᾳ ἀσχολεῖται, ἐν ᾗ, ὡς ἠδύνατό τις εἰκάσαι, μόνον ὀλίγαι τινές εἰκασίαι ἠδύναντο γενέσθαι καὶ ὀλίγαι πλάναι ὑπάρξαι, τοσούτῳ τὸ ἀντίστροφον συνέβη.

Διότι ἐκ τῶν ἀρχαιοτάτων ἤδη χρόνων οἱ ἐτυμολογοῦντες ἐπειράθησαν, ὅπως κατὰ τὰ ἴδια συμφέροντα τὸ τοῦ

---

1) Geschichte der griech. Literatur σελ. 80. 2) Τῆς ἱστορίας τοῦ Grote ἔχομεν ὑπ᾽ ὄψιν τὴν ὑπὸ Theodor-Fischer γερμανικὴν μετάφρασιν, εἰς ἣν καὶ παραπέμπομεν τόμ. II, σελ. 128. 3) Διότι αὕτη ἄρχεται οὕτως,

Ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος, ἦλθε δ' Ἀμαζών,
Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο,

Παράβαλ. Welcker, Der epische Cyklus I, 213.

4*

Ὁμήρου ὄνομα ἑρμηνεύσωσιν. Ἐν τοῖς ἔμπροσθεν ἤδη εἴδομεν, ὅτι οἱ Κυμαῖοι τὸν Ὅμηρον σφετεριζόμενοι τὰς αὐτῶν ἀξιώσεις διὰ τῆς ἐτυμολογίας τοῦ ὁμηρικοῦ ὀνόματος ἐνίσχυον. Καὶ δὴ Ἔφορος ὁ Κυμαῖος λέγει, ὅτι ὁ ποιητὴς τὰς ὄψεις πηρωθεὶς μετωνομάσθη Ὅμηρος κατὰ τὴν γλῶσσαν τῶν Κυμαίων τοὺς τυφλοὺς ὁμήρους ὀνομαζόντων[1]). *Οἱ δ' Ἰῆται ἄλλο σόφισμα ἐπινοήσαντες διὰ τοῦ ὀνόματος τοῦ ποιητοῦ τὰς αὐτῶν ἀξιώσεις ἐκύρουν. Διότι ἔλεγον, ὅτι ὁ Μελησιγενὴς βουληθεὶς ὁμηρεῖν τοῖς ἡγεμόσιν Ὅμηρος μετωνομάσθη*[2]). *Κατ' ἄλλους ὠνομάσθη Ὅμηρος, ἅτε τοῖς Χίοις εἰς ὁμηρείαν δοθεὶς*[3]) *καὶ κατ' ἄλλους ἄλλοις*[4]). *Ἐν γένει τὸ κατ' ἀρχὰς αἱ τῶν Ἑλληνίδων πόλεων ἀξιώσεις τὰς ἐτυμολογίας παρῆγον.*

Εἶτα δ' ἐπελθόντες οἱ λόγιοι ἠτυμολόγουν ἐκ τοῦ μὴ καὶ ὅ ρ ο ς (ἐκ τοῦ ὁρᾶν) μὴ-ὅ ρ ο ς καὶ κατὰ μετάθεσιν Ὅμηρος, δηλαδὴ ἐτύφλωσαν τὸν ποιητὴν χάριν τοῦ ὀνόματος. Ἀφ' οὗ δ' ἐπίστευσάν τινες, ὅτι ὁ Ὅμηρος ἦν τυφλός, ἠγέρθη τὸ ζήτημα, εἰ οὗτος ἐκ γενετῆς τυφλὸς ἦν, ἢ βραδύτερον ἐγένετο. Οἱ μὲν ἐδέχοντο τὸ πρῶτον, οἱ δὲ τὸ δεύτερον. Ἀλλ' οἱ πρῶτοι μὴ δυνάμενοι, ὡς εἰκός, ἐξηγῆσαι, πῶς ἐκ γενετῆς τυφλὸς ποιητὴς ἠδύνατο εἰκονίσαι ἐναργέστατα[5]) *τὸν κόσμον, οὗ ἡ ἀπεικόνισις οὐ μόνον ἀνοικτοὺς ὀφθαλμούς, ἀλλὰ καὶ οὐ τὴν τυχοῦσαν ὀξυδέρκειαν ἀπαιτεῖ, καὶ τὸ ἄτοπον κατιδόντες κατέφυγον εἰς ἀλληγορικὴν ἑρμηνείαν, δι' ἧς συνήθως καὶ αἱ μέγισται ἀλογίαι ὑπὸ τῶν σοφιστῶν ἐξηγοῦνται. Παρὰ δὲ Σουίδα εὕρηται ἡ σοφιστικωτάτη καὶ γελοιωδεστάτη ἐξήγησις*[6]). *Ὁ* B. Thiersch *νομίζει*[7]), *ὅτι αἰτία τῆς τυφλότητος τοῦ ποιητοῦ ἐγένετο ἡ ὁμηρικὴ διήγησις, καθ' ἣν ἡ Μοῦσα (κατὰ τὸν* Thiersch *ἡ μοῖρα) τὸν Δημόδοκον φιλήσασα ἐτύφλωσε*

---

1) *Βιογρ. Β'* 2. 2) *Αὐτόθι* 3. 3) *Πρόκλ. Χρηστομ.* 4) *Σουίδ. ἐν λ. Ὅρα καὶ Εὐστάθ. σελ.* 4, 30 *καὶ σελ.* 395, 10. 5) *Κικέρ.* Tusc. Quaest. V, 39. 6) *Ἐν λ. „Τὸ δὲ ἀληθές, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἄρχεται. Καὶ διὰ τοῦτο ἱστορήθη τυφλός."* 7) Ueber das Zeitalter und Vaterland des Homer *σελ.* 81.

μέν, ὅμως ἤδεῖαν φωνὴν αὐτῷ ἔδω[1]. *Καὶ ταῦτα μὲν οἱ ἀρχαῖοι.*

Αἱ ἀτυχεῖς δὲ τῶν ἀρχαίων ἐτυμολογίαι ἴσως ὤφειλον ἀποτρέψαι τοὺς νεωτέρους τοιαύτης ἐρεύνης. Ἀλλ' οὐχ οὕτως. Διότι οἱ νεώτεροι μετὰ μείζονος σπουδῆς τοῦ ἔργου ἐπελήφθησαν καὶ δὴ ὁ μὲν J. B. Vico *τὸ ὄνομα τοῦ Ὁμήρου ἐκ τοῦ ὁμοῦ καὶ εἴρω παρῆγεν, ὁ δὲ* R. Knight[2]) *ἐκ τοῦ ὁμαείρω, ὁ δὲ* Ilgen[3]) *ἐκ τοῦ ὁμοῦ καὶ αἴρειν κατὰ τὴν ἡσιόδειον τῆς λέξεως σημασίαν*[4]), *ὁμηρεύειν, συναρμόζειν δηλαδὴ τὰ ᾄσματα τοῖς νεύροις τοῦ μουσικοῦ ὀργάνου. Ὁ δὲ* Herder[5]) *ὀνομάζει τὸν Ὅμηρον συναρμογέα τοῦ ἀρχαίου ἑλληνικοῦ ἔπους. Τελευταῖον ὁ* Welcker[6]) *ἀνυψώθη εἰς τὴν θεωρίαν, ὅτι τὸ ὄνομα τοῦ Ὁμήρου ἐκ τοῦ ὁμοῦ καὶ ἄρειν σύνθετον τὸν συναρμογέα μικρῶν ᾀσμάτων σημαίνει. Ὁ τοῦ ἐπικοῦ κύκλου συγγραφεὺς πειρᾶται ἀποδεῖξαι, ὅτι ὁ Ὅμηρος ὄνομα τεχνίτου δηλωτικόν ἐστιν. Κατὰ τὴν θεωρίαν τοῦ εὐφυοῦς τούτου ἀνδρὸς πρῶτον μὲν παρὰ πᾶσι τοῖς λαοῖς ἀναφαίνονται μικρὰ ᾄσματα, ἐν οἷς ἡ ποίησις ἐκπρεπῶς καὶ πλουσίως ἀναπτύσσεται, βραδύτερον δὲ ταῦτα συντάσσονται καὶ συναρμόζονται εἰς μείζονα ὅλα, ἐν οἷς πρόοδος ἀναφαίνεται ἐν τῇ τέχνῃ τοῦ σχεδίου, τῇ ἑνότητι καὶ ταῖς σχέσεσι τῶν μερῶν πρὸς ἄλληλα, καὶ τελευταῖον ἐπέρχεται ἡ τρίτη περίοδος, καθ' ἣν τὰ τῆς δευτέρας εἰς μέγα ἐπικὸν ὅλον μεταμορφοῦνται*[7]). *Ἡ ἀλλοιώσες δ' αὕτη κατὰ τὸν σοφὸν ἄνδρα*

---

1) *Ὀδυσσ. Θ* 63. *Τῶν Σχολιαστῶν τις οὕτω προσφωνεῖ τὸν ποιητὴν „Οὐκουν, ὦ Ὅμηρε, θαυμασίως αὐτὸν ἡ μοῖρα ἐφίλησεν, εἰ τῶν ὀφθαλμῶν μὲν ἐστέρησεν, ἀοιδὴν δὲ ἀντὶ τούτου ἐχαρίσατο, ὥσπερ δῆτα καὶ σὲ ὕστερον."* 2) Prolegomena ad Homer. *σελ.* 10. 3) Hymn. Homerici 1796 *σελ.* 10 „Accinere i. q. *ὑπαείδειν*, poeta cantor, qui citharam pulsans *ὑπὸ καλὸν ἀείδει*, per quem concordant carmina nervis." 4) *Θεογον.* 38. 5) Homer und das Epos *ἐν τῷ* Zur schönen Literatur und Kunst X 290 *καὶ* 293. *Ἰδὲ καὶ* Heyne *εἰς Ἰλιάδα* VIII *σελ.* 795 *καὶ* Lindermann, Notationum Homeric. 1834 *σελ.* 8 „Est *Ὅμηρος* conjugus, coaptor (coaptator), quia vetera populi carmina coaptabat et in unum epos cogebat; 6) Der epische Cyklus I, 123. *Ἰδὲ καὶ* Hennings, Ueber die Telemachie, Leipzig 1858 *σελ.* 137. 7) *Ὁ* Wilson *ἐν τῷ* System of Hindu Mythology *σελ.* 62 *λέγει, ὅτι καὶ ὁ* Vyasa *τῶν*

ὁμοιάζει πρὸς τὰς πολιτικὰς ἀλλοιώσεις, καθ' ἃς πρῶτον μὲν οἶκοι καὶ κῶμαι, εἶτα δὲ μικραὶ πολιτεῖαι καὶ τελευταῖον μεγάλα ἔθνη σχηματίζονται. Ὅμηρος δέ ἐστιν ὄνομα τεχνίτου, οὗ ἡ τέχνη τὴν συναρμογὴν μικροτέρων ᾀσμάτων εἰς μέγα ἔπος σκοπεῖ. Ἀλλ' ὁ Georgius Curtius[1]), ὁ βαθύτατα τὴν ἑλληνικὴν γλῶσσαν σπουδάσας, ἀποφαίνεται, ὅτι ἡ ῥίζα ἄρ, ἐξ οὗ τὸ ἄρειν, ἔχει ἀμετάβατον σημασίαν, καὶ μεταξὺ τοῦ ὁμοῦ καὶ σὺν ὑπάρχει διαφορά. Ὥστε, εἰ τὸ ὄνομα Ὅμηρος ἐκ τοῦ ὁμοῦ καὶ ἄρειν παρήγετο, ὤφειλεν ἔχειν διάφορον σημασίαν τῆς ὑπὸ τοῦ Welcker ἀποδιδομένης. Ὁ δὲ Sengebusch διὰ πολλῶν παραδειγμάτων ἀποδεικνύει, ὅτι, εἰ τὸ ὄνομα Ὅμηρος ἐκ τῶν εἰρημένων μερῶν σύνθετον ἦν, ὤφειλεν εἶναι Ὅμᾱρος καὶ οὐχὶ Ὅμηρος[2]).

Ἀλλά, καὶ ἂν ὑποτεθῇ, ὅτι ἡ παραγωγὴ αὕτη ὀρθή ἐστι, πόθεν δῆλον, ὅτι τὸ ὄνομα ἐκ τοῦ ἐπιτηδεύματος τοῦ ποιητοῦ ἐλήφθη; Καὶ τούτου ὑποτεθέντος, νομίζει ὁ Welcker, ὅτι λύει τό ζήτημα; Τί ὁ Ὅμηρος οὗτος συνήρμοσεν; Καὶ ὁ ποιητὴς ὁ ὅλως τὸ αὑτοῦ ποίημα δημιουργῶν συναρμόζει τὰς διαφόρους ἰδέας καὶ τὰ μέρη, ὅπως ὀργανικόν τι ὅλον ἀπαρτίζωσι, καὶ κατὰ τὴν γλῶσσαν τοῦ Welcker Ὅμηρος δύναται ὀνομασθῆναι. Καὶ ὁ ποιητὴς ὁ μύθους εἰς ἔπος μεταμορφῶν συναρμογεύς τίς ἐστιν. Καὶ ὁ ποιητὴς ὁ ἐν τῷ ποιήματι αὑτοῦ δημοτικὰ ᾄσματα ἐνυφαίνων καὶ συναρμόζων συναρμογεὺς καλεῖται. Καὶ ὁ ἄνθρωπος (οὗτος βεβαίως ποιητὴς οὐ δύναται ὀνομασθῆναι) ὁ ἐξωτερικῶς μόνον συρράπτων καὶ συναρμόζων δημοτικὰ

Ἰνδῶν οὐκ ἔστι συγγραφεὺς τῆς Vedas καὶ Puránas, ἀλλὰ μόνον συναρμογεὺς αὐτῶν. Ἀλλ' αἱ τοιαῦται παραβολαὶ μᾶλλον συγχέουσι τὰ ζητήματα, ἢ βοηθοῦσι πρὸς λύσιν αὐτῶν. Διότι παραβάλλονται λαοὶ καὶ χαρακτῆρα διάφορον ἔχοντες, καί, ὡς εἰκός, διάφορα προϊόντα παραγαγόντες. Ἄλλως καὶ περὶ τοῦ ὀνόματος τοῦ Vyasa ὑπάρχουσι τοσαῦται ἀμφιβολίαι, ὅσαι καὶ περὶ Ὁμήρου.

1) De nomine Homeri, Kiel 1856. 2) Homerica dissert. post. σελ. 92 „Itaque si vera ea nominis Homeri derivatio esset, dicendum fuisset Dorice Aeoliceque Ὅμᾱρος."

ᾄσματα συναρμογεύς τίς ἐστιν. Τίνι λοιπὸν τῶν πολλῶν τούτων συναρμογέων τήν τε Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ὀφείλομεν; Ὁ εὐφυὴς Welcker νοεῖ τὸν τελευταῖον· διότι πρὸς τοῖ ἄλλοις λέγει [1]), ὅτι τοσοῦτον ὀφείλομεν τῷ ποιητῇ, ὅσον τῷ κηπουρῷ τῷ κατὰ τὴν ἰδίαν γνώμην τὴν φυσικὴν τῶν φυτῶν αὔξησιν κανονίζοντι.

Ὁμολογοῦμεν, ὅτι οὐδόλως τὴν θεωρίαν τοῦ σοφοῦ ἀνδρὸς ἐννοοῦμεν. Διότι θαυμάζομεν, ὅτι συναρμογεὺς μικρῶν ᾀσμάτων (ἴσως ἀγαθὸς φιλολόγος, ἀλλ' οὐδόλως ποιητὴς) ἠδύνατο εἶναι ὁ ἐξοχώτατος τῶν ἀνθρώπων, ὡς αὐτὸν ὁ Welcker νοεῖ [2]). Ἀλλὰ τί οὐ θαυμάζομεν μᾶλλον, ὅτι ἐν τοῖς ὁμηρικοῖς χρόνοις τοιοῦτος ἄνθρωπος ἠδύνατο ὑπάρξαι; Ἐν τῷ ἡμετέρῳ αἰῶνι τὸ ἐπιτήδευμα τοῦτο νοητόν ἐστιν, ἐν τῷ ὁμηρικῷ ὅμως ἀνόητον. Διότι νῦν δυνατή ἐστιν ὕπαρξις ἀνθρώπου (καὶ δὴ τὰ σερβικὰ δημοτικὰ ᾄσματα ἐκτήσαντο τοιοῦτον), ὅστις τὰ φερόμενα ᾄσματα λαοῦ τινος συλλέξας καί πως ἐξωτερικῶς αὐτὰ συνδέσας δύναται φιλολογικῷ τῷ τρόπῳ ἐκδοῦναι βιβλίον, ὅπως ἀναγινώσκηται ὑπὸ τῶν ἀγαπώντων τοιαῦτα περίεργα τῇ ἀληθείᾳ φιλολογικὰ ἀναγνώσματα.

Ἐν τῷ ὁμηρικῷ ὅμως αἰῶνι οἱ ἄνθρωποι τοιαύτης φιλολογικῆς ἐπιτηδειότητος ἐστεροῦντο. Ἀλλά, καὶ εἰ τοιοῦτοι ὑπῆρχον, ποῦ ὁ πρὸς τούτους θαυμασμός; Ὁ πρὸς φιλολογικὰ ἔργα θαυμασμὸς ἀπαιτεῖ φιλολόγους ἀναγνώστας, οἵτινες κατὰ τὴν ὁμολογίαν πάντων ἐν ἐκείνῳ τῷ αἰῶνι οὐχ ὑπῆρχον. Οἱ ὁμηρικοὶ ἄνθρωποι οἱ κατ' αὐτὸν τὸν Ὅμηρον τὰ νέα ᾄσματα ἀγαπῶντες [3]) οὐκ ἠδύναντο τιμῆσαι τὸν πεπαλαιωμένοις ᾄσμασι δόντα νέαν σειράν [4]).

---

1) Der epische Cyklus II, 11 „In den natürlichen Organismus der Sage hat der einzelne Dichter ungefähr so viel eingegriffen, wie ein sinniger Gärtner den natürlichen Wachsthum der Pflanze nach seinen Gedanken regelt und gestaltet.“ 2) Αὐτόθι I, 127 „Der Dichter der Ilias ist eine Person, unter allen Geschlechtern der Menschen eine der hervorragendsten, eine andere unbekannte Person, eine höchst sinnvolle und kunstgeübte, ist der Dichter der Odyssee.“ 3) Ὀδυσσ. Α. 352. 4) Der epische Cyklus I, 124.

Διότι ὁ αἰὼν ἐκεῖνος οὐκ ἦν φιλολογικός, ἀλλὰ ποιητικός. Ἂν δ' ὑποτεθῇ, ὅτι ἐφ' Ὁμήρου, ὡς οἱ περὶ τὸν Wolf *ἀποφαίνονται, ἡ γραφὴ ἦν ἄγνωστος, ἆρά γε ἄνθρωπος, οὗ ἡ συναρμογὴ ὀλίγον χρόνον ἔμελλε διατηρηθῆναι, ἠδύνατο τὴν αὐτοῦ δόξαν διαιωνίσαι; Εἰ τὰ ὁμηρικὰ ἔπη διεσπάθησαν, καὶ διεσπασμένα μέχρι Πεισιστράτου ἐφέροντο, ὁ Ὅμηρος τοῦ* Welcker *ἀπώλετο· ἄρα οἱ περὶ τὸν Πεισίστρατον ἔμελλον τὴν ὁμηρικὴν δόξαν κτήσασθαι. Ὅμως οἱ ἄνδρες ἐκεῖνοι οὕτως ἀφανεῖς ἐγένοντο, ὥστε νῦν μόλις ἔκ τινων μυθαρίων γινώσκονται. Ἀλλὰ τί ἀναβαίνομεν τοσούτους αἰῶνας; Εἰ νῦν φιλολόγος τις τὰ δημοτικὰ λαοῦ τινος ᾄσματα συλλέξας συναρμόσει αὐτὰ εἰς συνεχὲς ἔπος, νομίζει ὁ σοφὸς* Welcker, *ὅτι οὗτος ἕξει δόξαν Ὁμήρου; Νομίζει, ὅτι οὗτος, εἰ καὶ ἡ συναρμογὴ αὐτοῦ διαιωνισθήσεται, δύναται δόξαν* Schiller *καὶ* Göthe *κτήσασθαι; Γερμανός τις συνήρμοσε μὲν εἰς ἔπος τὰ ἡρωικὰ τῶν Σέρβων ᾄσματα*[1]), *ὅμως οὔτε ἐπιφανής, οὔτε γνωστὸς ἐν Σερβίᾳ ἐγένετο. Τελευταῖον θαυμάζομεν, ὅτι ὁ σοφὸς* Welcker *οὐχὶ ἐκ τῆς ἀναλύσεως τῶν ὁμηρικῶν ἐπῶν, ἀλλ' ἐκ τῆς παραγωγῆς τοῦ ὀνόματος τοῦ Ὁμήρου εἰς τὴν περὶ συναρμογῆς θεωρίαν ἔφθασεν. Ἀεὶ δ' αἱ μόνον ἐξ ἐτυμολογιῶν μορφούμεναι θεωρίαι τολμηραὶ ἢ ἡμαρτημέναι εἰσίν.*

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τῶν ἐπῶν, ἐφ' ὧν παρὰ τοῖς ἀρχαίοις τὸ ὄνομα τοῦ Ὁμήρου ἐξετείνετο.

Ἡ τῶν Ἑλληνίδων πόλεων μικροφιλοτιμία, ἥτις τα περὶ τὴν πατρίδα καὶ τὴν ἐποχὴν τοῦ ποιητοῦ διεσκότισεν,

1) Miklosich, *ἐν τῷ ἐναρκτηρίῳ λόγῳ τῶν ἐν Βιέννῃ φιλολογικῶν συνεδριάσεων*, Verhandlungen der achtzehnten Versammlung deutscher Philologen *σελ.* 3.

ἡ αὐτὴ ἔπη τινὰ τῷ Ὁμήρῳ ὑπέβαλεν. Καὶ οἱ μὲν Κολοφώνιοι, παρ' οἷς ὁ Μαργίτης ἐποιήθη, τῷ Μελησιγενεῖ τὸ ἔπος ἀπέδιδον, ὅπως πιθανωτέρας τὰς αὐτῶν ἀξιώσεις ἀναδείξωσιν, οἱ δὲ Κύπριοι τοῦ Στασίνου τὰ Κύπρια [1], *ὅπως αὐτὸν τὸν Ὅμηρον σφετερισθῶσιν. Τοῦθ', ὅπερ ἐποίησαν οἵ τε Κολοφώνιοι καὶ οἱ Κύπριοι, ἔπραττον* [2] *καὶ ἄλλαι ἑλληνικαὶ πόλεις, ὅσαι ἴδια ἔπη ἔχουσαι τοῦ ποιητοῦ ἀντεποιοῦντο. Οὕτως ἐγίνετο, οἱ δ' ἀδαέστεροι τῶν Ἑλλήνων ἡδέως τὰς τοιαύτας φήμας ἐδέχοντο (ὡς δὴ οἱ ἐνθουσιαστικώτεροι τῶν Χριστιανῶν πρὸς βλάβην αὐτῆς τῆς θρησκείας πιστεύουσιν εἰς πλεῖστα τοῖς ἁγίοις ὑποβαλλόμενα θαύματα) νομίζοντες, ὅτι οὕτως ἡ δόξα τοῦ ποιητοῦ, ὃν τὴν πηγὴν πάσης σοφίας ἐθεώρουν, μεγεθύνεται. Οὐδεμία δὲ κριτικὴ τὰ τῷ Ὁμήρῳ ὑπαβαλλόμενα ἔπη ἐβασάνιζεν, οὐδεὶς ἔλεγχος ἐγίνετο.*

Τίς ὅμως ἠδύνατο προϊδεῖν, ὅτι τὰ ὑπ' ἀγαθῆς προθέσεως προσφερόμενα δῶρα αἰτία τοῦ αἰωνίου θανάτου τοῦ ποιητοῦ ἐγένοντο; Δυστυχῶς ὁ Μελησιγενὴς ἔπαθεν, ὅ, τι οἱ δεξάμενοι τὰ τῶν Δαναῶν δῶρα. Ὡς ἡ τῶν πατρίδων καὶ τῶν ἐποχῶν τοῦ ποιητοῦ πληθὺς πλείστους φιλολόγους ὤθησεν, ὅπως τὴν προσωπικὴν τοῦ Ὁμήρου ὑπαρ-

---

1) *Ἀθην.* XV, 30. *Τζέτζ. χιλιάδ.* 13, 634. 2) *Ἀξία σημειώσεώς ἐστιν ἡ τῶν ἀρχαίων τάσις, ὅπως μετὰ τοῦ Ὁμήρου διά τινος δεσμοῦ συνδεθῶσιν. Ἐπειδὴ ὑπῆρχον ἔπη τινὰ τοῦ ἐπικοῦ κύκλου, ἅπερ διὰ σπουδαίους, ὡς δοκεῖ, λόγους, οὐκ ἠδύναντο τῷ Ὁμήρῳ ἀποδοῦναι, ὡμολόγουν μὲν τὸν ἀληθῆ αὐτοῦ ποιητήν, ὅμως τοῦτον ὠνόμαζον ξένον, διδάσκαλον, γαμβρὸν τοῦ Ὁμήρου ἢ οἱανδήποτε ἄλλην σχέσιν μετ' αὐτοῦ ἔχοντα, ὡς πρὸς πολλοῖς ἄλλοις τὸ ἑξῆς τοῦ Στράβωνος χωρίον δείκνυσιν* XIV, 1 „*Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὃν φασι δεξάμενον ξενίᾳ ποτὲ Ὅμηρον λαβεῖν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγράμματός τινος, ὡς ἐκείνου μὲν ποιήσαντος, λεγομένου δ' Ὁμήρου διὰ τὴν λεγομένην ξενίαν·*

Τοῦ Σαμίου πόνος εἰμὶ δόμῳ ποτὲ θεῖον Ὅμηρον
δεξαμένου· κλαίω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν.“ *Ἰδὲ καὶ Σουίδαν ἐν λ. Κρεώφυλος.*

ξιν ἀρνηθῶσιν, οὕτως ἡ πληθὺς τῶν ὑποβληθέντων ἐπῶν ἐνέβαλεν αὐτοῖς τὸ θάρρος, ὅπως ὑπὸ τὸ μέγα τοῦ ἐπικοῦ κύκλου βάρος τὸν ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας μέχρι θανάτου καταπιέσωσιν. Παραδείγματος χάριν ὁ σοφὸς Bonitz λέγει, ὅτι Ὅμηρός ἐστιν οὐ μόνον ὁ ποιητὴς τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἀλλὰ καὶ τῶν ἐπῶν τοῦ Τρωικοῦ μυθικοῦ κύκλου καθ' ὅλου, ἢ τῶν πλείστων, ἢ πάντων, ἢ πάντων καὶ πρός τούτοις ἀριθμοῦ τινος ἐπικῶν ὕμνων εἰς τοὺς θεούς. Ταύτην δὲ τὴν περιεκτικὴν σημασίαν, ἐξακολουθεῖ ὁ ἀνὴρ λέγων, ἀποδίδουσι τῷ ὀνόματι τοῦ Ὁμήρου οὐχὶ οἱ ἄμοιροι τοῦ πνευματικοῦ βίου τοῦ ἑλληνικοῦ κόσμου καὶ τῆς φιλολογίας αὐτοῦ, ἀλλ' οἱ ἐν τῇ κλασικῇ ἐποχῇ τῆς ἑλληνικῆς ἀναπτύξεως κορυφαῖοι τῆς φιλολογίας ἄνδρες, ὧν ὁ λόγος ὤφειλεν ἔχειν ἡμῖν βέβαιον κῦρος. Ἐν τῇ κλασικῇ ἐποχῇ τὸν περιορισμὸν τοῦ ὀνόματος τοῦ Ὁμήρου ἐν μόνῃ τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ οὐ πάντες ὁμολογοῦσιν. Τοῦτο γίνεται ἐν τῇ περιόδῳ, καθ' ἣν ἀπὸ τοῦ τρίτου αἰῶνος Π·Χ ἡ Ἀλεξάνδρεια τὸ κέντρον τοῦ ἑλληνικοῦ πολιτισμοῦ καὶ τῆς ἑλληνικῆς πολυμαθείας ἐγένετο. Οὗτος λοιπὸν ὁ περιορισμός ἐστι προϊὸν ἐπικαταλογισμοῦ, ὅστις ἡμίσειαν χιλιετηρίδα μετὰ τὸν χρόνον, ἀφ' οὗ ἡ Ἰλιάς γε ἤδη ὑπῆρχεν, ἑδραιώθη· τοὐναντίον ἡ ἐγγυτάτη ἱστορικὴ παράδοσις ἀποδίδωσι τῷ ὀνόματι τοῦ Ὁμήρου ποιητικὰ προϊόντα τοσαύτης περιοχῆς καὶ τοσαύτης διαφορᾶς χαρακτῆρος, ὥστε καὶ αὐτὴ ἡ τολμηροτάτη φαντασία αἰδεῖται τῷ αὐτῷ ἀνθρώπῳ ἀποδοῦναι [1]). Ὡσαύτως ὁ Welcker πειρώμενος ἀποδοῦναι τῷ Ὁμήρῳ ὁλόκληρον τὸν ἐπικὸν κύκλον λέγει, ὅτι ὁ Ὅμηρος μέχρι τῶν χρόνων τοῦ Ἀριστοτέλους εἶχε εὐρυτέραν σημασίαν [2]). Οὐχὶ διάφορα τούτοις λέγει ὁ Sengebusch [3]) καὶ τὰ αὐτὰ ἀσπάζεται ὁ Hennings [4]). Αἱ κρίσεις ὅμως αὗται ἐν τοῖς πλείστοις φαίνονται ἡμῖν ἡμαρτημέναι, ὡς ἐν τῇ ἑπομένῃ κριτικῇ ἐρεύνῃ δῆλον ἔσται.

---

1) Ueber den Ursprung der Homerischen Gedichte σελ. 13—14. 2) Der epische Cyklus σελ. 131. 3) Dissert. post. σελ. 15. 4) Ueber die Telemachie 1858, ἐν ἀρχῇ.

Καὶ πρῶτον ὁ Ἡρόδοτος περιορίζει τὸ ὄνομα τοῦ Ὁμήρου ἐν μόνῃ τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ. Ὁ εἰς Σικελίαν πεμφθεὶς πρέσβυς τῶν Σπαρτιατῶν λέγει πρὸς τὸν τύραννον Γέλωνα „Ἦ κε μέγ᾽ οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων πυθόμενος Σπαρτιήταις τὴν ἡγεμονίην ἀπαραιρεῖσθαι ὑπὸ Γέλωνός τε καὶ Συρηκοσίων.“ Ὁ Σπαρτιάτης ἔχει ὑπ᾽ ὄψιν τὴν Ἰλιάδα, ὡς σαφέστερον δείκνυται ἐν τῷ λόγῳ τοῦ Ἀθηναίου· „Μάτην γὰρ ἂν ὧδε πάραλον Ἑλλήνων στρατὸν πλεῖστον εἴημεν ἐκτημένοι, εἰ Συρηκοσίοισι ἐόντες Ἀθηναῖοι συγχωρήσομεν τῆς ἡγεμονίης, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων· τῶν καὶ Ὅμηρος ὁ ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπικέσθαι τάξαι τε καὶ διακοσμῆσαι στρατόν“ 1). *Τὰ δύο ταῦτα παραδείγματα δεικνύουσιν, ὅτι οὐ μόνον συγγραφεῖς, ἀλλὰ καὶ ἄλλοι Ἕλληνες τὴν Ἰλιάδα ὡς ὁμηρικὸν ἔπος ὑπ᾽ ὄψιν εἶχον. Εἶτα ὁ Ἁλικαρνασσεὺς ἐλέγχει τὸν Ὅμηρον ὀνομάζοντα ἔν τε τῇ Ἰλιάδι* 2) *καὶ Ὀδυσσείᾳ* 3) *ποταμὸν Ὠκεανόν, ὃν ὁ ἱστορικὸς οὐκ οἶδε* 4), *καὶ ἀλλαχοῦ ὀνομάζει αὐτὸν ἐκ τῆς Ὀδυσσείας* 5). *Λέγων δ᾽, ὅτι ὁ Ὅμηρος καὶ ὁ Ἡσίοδος τὴν θεογονίαν τοῖς Ἕλλησιν ἐποίησαν* 6), *ἐνόει τὸν Ὅμηρον ὡς ποιητὴν ὡρισμένων ἐπῶν καὶ οὐχὶ ὡς ἐπικὸν κύκλον. Ἄλλως οὐδαμοῦ ὀνομάζει αὐτὸν ποιητὴν ἔπους τινὸς τοῦ ἐπικοῦ κύκλου. Ὁσάκις δ᾽ εἰς ἄλλα ἔπη ἤγαγεν αὐτὸν ἡ διήγησις, ἀπεφήνατο, ὅτι ταῦτα οὐκ ἐποιήθησαν ὑφ᾽ Ὁμήρου. Καὶ περὶ μὲν τῶν Ἐπιγόνων ὁ ἱστορικὸς ἀμφιβάλλει* 7), *τὰ δὲ Κύπρια ἔπη ὡς ἀντιφάσκοντα πρὸς τὸν Ἰλιάδα διαρρήδην ἄλλῳ ποιητῇ ἀποδίδωσιν* 8). *Ὁ αὐ-*

---

1) VII, 161. 2) *Ξ* 265. 3) *Λ* 369. 4) II, 23. 5) VI, 29. 6) II, 53. *Παράβαλ. καὶ* G. W. Nitzsch, Die Sagenpoesie der Griechen, Braunschweig 1852 *σελ.* 302. 7) VI, 32 *„Ἀλλ᾽ Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.“* 8) II, 117 *„Κατὰ ταῦτα δὲ τὰ ἔπεα [καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα, ἀλλὰ μάλιστα] δηλοῖ, ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι, ἀλλ᾽ ἄλλου τινός· ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται, ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων τὴν Ἑλένην, εὐαέει τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει, ὡς ἐπλάζετο ἄγων αὐτήν.“*

τὸς ὁμολογεῖ, ὅτι πολλοὶ ἐποποιοὶ ἐπραγματεύθησαν τὸν Τρωικὸν μῦθον[1]). *Ἐκ τῶν εἰρημένων δῆλον γίνεται, ὅτι ὁ Ἁλικαρνασσεὺς ἐνόμιζεν ὡς γνήσια τοῦ Ὁμήρου ἔπη μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. Ἄξιον δὲ σημειώσεώς ἐστιν, ὅτι ὁ ἱστορικὸς τὴν νοθείαν τῶν Κυπρίων ἐκ τῆς πρὸς τὴν Ἰλιάδα ἀντιφάσεως ἀποδεικνύει. Κριτικὴ ὡς ἐπιστήμη ἐφ' Ἡροδότου οὐχ ὑπῆρχε, μόνος δ' ὁ κοινὸς νοῦς ἦν ἱκανός, ὅπως ἀποδείξῃ τὴν νοθείαν τῶν ἐπῶν, ὅσα αἱ τοῦ Ὁμήρου ἀντιποιούμεναι πόλεις ὑπέβαλλον αὐτῷ. Διὰ τὰς κριτικὰς δὲ ταύτας παρατηρήσεις ὁ* Fr. Schlegel[2]) *ὀνομάζει τὸν Ἡρόδοτον ἀρχαιότατον Χωρίζοντα. Οὐχὶ δικαίως, ὡς νομίζομεν. Διότι οὗτος οὔτε ὁ πρῶτος, οὔτε ὁ μόνος ταῦτα τὰ ἔπη ἐχώριζεν*[3]).

Τελευταῖον ὑπολείπεται ἡροδότειόν τι χωρίον, ἐν ᾧ πλέον ὀφείλομεν ἐνδιατρίψαι. Ἐν τῷ πέμπτῳ βιβλίῳ ὁ ἱστορικὸς λέγει, ὅτι ὁ Κλεισθένης τοῖς Ἀργείοις πολεμήσας ἔπαυσε τοὺς ῥαψῳδοὺς ἐν Σικυῶνι ἀγωνίζεσθαι „τῶν ὁμηρείων ἐπέων ἕνεκεν, ὅτι Ἀργεῖοί τε καὶ Ἄργος τὰ πολλὰ πάντα ὑμνέαται“[4]). *Ἐνταῦθα ἀναφύεται τὸ ζήτημα, πότερον νοεῖ ὁ ἱστορικός, τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, ἢ ὁλόκληρον τὸν ἐπικὸν κύκλον; Νομίζομεν τὸ πρῶτον. Ἐπειδὴ ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια δύο ἔπη εἰσί, καὶ ταῦτα εἰς πολλὰ μέρη διῃροῦντο, ὡς τὴν Μῆνιν, τὴν Τειχοσκοπίαν, τὴν Διομήδους ἀριστείαν κτλ. ὁ ἱστορικὸς ἠδύνατο χρήσασθαι τῷ πληθυντικῷ ἀριθμῷ. Πρὸς δὲ οἱ ἀρχαῖοι ὠνόμαζον ἔπος καὶ ἕνα μόνον στίχον, ὡς πλεῖστα παραδείγματα ἐναργῶς δεικνύουσιν*[5]). *Ὁ δὲ Κλεισθένης ἐξεδίωξε τῆς Σικυῶνος τοὺς ῥαψῳδούς, ὅτι τοὺς Ἀργείους καὶ*

---

1) II, 120 *„Αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἢ καὶ ἔτι πλεῦνες τῶν παίδων μάχης γινομένης ἀπέθνησκον, εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν.“* 2) Geschichte der epischen Poesie III, 227. 3) *Παράβαλ.* Gräfenhan, Geschichte d. class. Phil. I, 284. 4) V, 67. 5) *Παραδείγματος χάριν Ἀριστοτέλ. Ῥητορ.* III, 16 *„Παράδειγμα ὁ Ἀλκινόου ἀπόλογος, ὅτι πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσιν.“ Περὶ ποιητ.* XXVI, 5 *„Εἴτις τὸν Οἰδίπουν θείη τὸν Σοφοκλέους ἐν ἔπεσιν ὅσοις ἡ Ἰλιάς.“ Παυσαν* IV, 3, 2.

τὸ Ἄργος ὕμνουν. Ἀλλὰ ποῦ ἄλλοθι οἱ Ἀργεῖοι καὶ τὸ Ἄργος μᾶλλον ὑμνοῦνται, ἢ ἐν τῇ Ἰλιάδι; Ἴσως οὐδαμοῦ ἄλλοθι, ἢ ἐν τῷ ἔπει ἐκείνῳ, καθ' ὃ σύμπαντες οἱ Ἕλληνες ὑπὸ τὸν ἡγεμόνα τοῦ Ἄργους τὸν ἐπιφανέστατον πόλεμον ἐστρατεύσαντο. Ἐν τούτῳ τῷ ἔπει δικαίως ἀπειράκις οἵ τε Ἀργεῖοι καὶ τὸ Ἄργος μνημονεύονται. Ἀλλ' ἴσως ὁ Κλεισθένης ἐξεδίωξε τοὺς ῥαψῳδοὺς διὰ τῆς Θηβαΐδος ἀγωνιζομένους. Διὰ τῆς Θηβαΐδος; Τῶν συμφορῶν τῶν Ἀργείων[1]); Τῇ ἀληθείᾳ ὁ Σικυώνιος τύραννος, ὁ τῶν Ἀργείων ἐχθρός, ῥαψῳδοὺς τὰς τῶν ἐχθρῶν συμφορὰς ᾄδοντας τῆς αὐτοῦ πατρίδος οὐκ ἐξεδίωκεν. Μόλις δὲ δύναταί τις νοῆσαι τοὺς Ἐπιγόνους. Διότι τὸ ἔπος τοῦτο οὐκ ἠδύνατο περιέχειν δόξαν τοῖς Ἀργείοις ἰσοστάσιον πρὸς τὴν ἐν τῇ Ἰλιάδι. Πρὸς δὲ ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια συνήθως ἐν τοῖς ἀγῶσιν ἐρραψῳδοῦντο. Τοῦτο νοεῖ Διονύσιος ὁ Ἀργεῖος διὰ τῆς φράσεως[2]) ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης, ὡς σαφέστερον ὁ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ λέγει, ὅτι ἡ Ὁμήρου ποίησις ἔλαβε μείζω δόξαν· διότι οὗτος καλῶς ἐνεκωμίασε τοὺς Ἕλληνας πολεμήσαντας τοῖς βαρβάροις καὶ διὰ τοῦτο οἱ πρόγονοι ἔντιμον ἐποίησαν τὴν τέχνην αὐτοῦ ἐν τοῖς μουσικοῖς ἄθλοις[3]) ἢ κατὰ τὸν ῥήτορα Λυκοῦργον[4]) ἐν τοῖς Παναθηναίοις. Οὐδὲν δ' ἄλλο ἔπος ὑμνεῖ μᾶλλον τῆς Ἰλιάδος τὸν πρὸς τοὺς βαρβάρους πόλεμον τῶν Ἑλλήνων.

Ἀλλ' ὁ Welcker μνημονεύει Ξενοφωντείου χωρίου, ἐν ᾧ ὁ Σωκράτης ἐρωτᾷ τὸν Εὐθύδημον, εἰ οὗτος πάντα τὰ τοῦ Ὁμήρου ἔπη κτησάμενος διανοεῖται γενέσθαι ῥαψῳδός[5]). Ἐκ τοῦ χωρίου τούτου ὁ σοφὸς ἀνὴρ τεκμαίρεται, ὅτι ἐπὶ Σωκράτους ὑπὸ τὸ ὄνομα τοῦ Ὁμήρου ἐνοοῦντο πλείονα ἔπη· διότι, ὡς λέγει, τότε τὸ κτήσασθαι τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν οὐκ ἦν σπάνιον[6]). Ἴσως ἐπὶ Σωκράτους ἡ τῶν δύο ἐπῶν κτῆσις οὐκ ἦν σπάνιον, καὶ ἴσως

1) Παυσαν. IX, 9, 1 „Τὸ σύμπαν στράτευμα πλὴν Ἀδράστου φθαρῆναι.“ 2) Σχόλ. Πινδ. Νέμ. I, 1. 3) Κεφ. 42. 4) Κατὰ Λεωκράτ. κεφ. 26. 5) Ἀπομνημον. IV, 2 „Ἀλλὰ μὴ ῥαψῳδός; ἔφη. Καὶ γὰρ τὰ Ὁμήρου σέ φασιν ἔπη πάντα κεκτῆσθαι.“ 6) Der epische Cyklus I, 132.

συχνάκις οἱ τῶν παίδων διδάσκαλοι, οἱ ῥαψῳδοὶ καὶ οἱ ἀκριβέστερον τὸν Ὅμηρον σπουδάζοντες ἐκτῶντο μέρη τινὰ ἢ καὶ ὁλόκληρον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. Ὅμως καὶ διδάσκαλοι παίδων ἐνίοτε ἐστεροῦντο τούτων. Αὐτὸς δ' ὁ Wolf *λέγει*[1]*, ὅτι ἐπὶ Ἀλκιβιάδου ἴσως ἐν σχολῇ καλῶς κατηρτισμένῃ ὑπῆρχον ἀντίγραφα τοῦ Ὁμήρου, εἰ μὴ πάσης τῆς ποιήσεως (ἐννοεῖ μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν), μερῶν γε αὐτῆς. Εἰ λοιπὸν σχολαὶ καλῶς κατηρτισμέναι μόνον μέρη τῆς Ἰλιάδος καὶ Ὀδυσσείας εἶχον, πῶς οὐκ ὤφειλε θαυμάσαι ὁ Σωκράτης, ὅτι νεανίας, καίπερ μηδενὸς βιβλίου καρπούμενος, πάντα τὰ μέρη τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας ἐκτήσατο;*

Ἀλλ' οὔτε μακρῶν ἀποδείξεων, οὔτε εἰκασιῶν δεόμεθα. Διότι αὐτὸς ὁ Ξενοφῶν ἑρμηνεύει ἑαυτόν. Ἐν τῷ Συμποσίῳ[2] *ὁ Νικήρατος, καίπερ μέγα φρονῶν, ὅτι τὸν Ὅμηρον γινώσκει, ὅμως ἐκ μόνης τῆς Ἰλιάδος καὶ Ὀδυσσείας λαμβάνει ἰδέας. Ὁ δὲ πατὴρ τοῦ Νικηράτου βουλόμενος ποιῆσαι τὸν υἱὸν ἄνδρα ἀγαθὸν ἠνάγκασε αὐτὸν πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· „Ὁ πατὴρ ὁ ἐπιμελούμενος, ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν"*[3]*. Τὸ χωρίον τοῦτο τοῦ Ξενοφῶντος σαφῶς ἀποδείκνυσιν, ὅτι τό πάντα σημαίνει μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. Ἴων δ' ὁ ῥαψῳδός, καίπερ σεμνυνόμενος ἐν τῷ ὁμωνύμῳ διαλόγῳ δεινὸς εἶναι λέγειν περὶ Ὁμήρου ὑπὲρ Μητρόδωρον τὸν Λαμψακηνόν, Στησίμβροτον τὸν Θάσιον, τὸν Γλαύκωνα καὶ πάντα ἄλλον*[4]*, ὅμως ἐξ οὐδενός ἄλλου ἔπους ἀποσπᾷ μίαν ἰδέαν ἢ μίαν λέξιν, ἢ μνείαν γε ποιεῖται ἑνὸς τῶν ἄλλων ἐπῶν. Καὶ αὐτὸς δ' ὁ Σωκράτης, πρὸς ὃν ὁ Ἴων διαλέγεται, μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἔχει ὑπ' ὄψιν. Καὶ ταῦτα μὲν ὅ τε Ἡρόδοτος καὶ ὁ Ξενοφῶν, ὃν πρὸς βοήθειαν ἐκαλέσαμεν.*

---

1) Proleg. ad Homer. *σελ.* 169 „Ergo postulari tum poterat, ut in schola bene instituta exemplar Homeri esset, si minus universae poesis, at aliquarum certe partium." 2) IV, 6. 3) *Αὐτόθι* III, 5. 4) II, D.

Ὁ δὲ Θουκυδίδης πολλαχοῦ τῆς ἱστορίας μνημονεύει τοῦ Ὁμήρου ὡς ποιητοῦ τῆς Ἰλιάδος[1]· μόνον ἐν τῷ τρίτῳ βιβλίῳ ἀποδίδωσιν αὐτῷ τὸν εἰς Δήλιον Ἀπόλλωνα ὕμνον[2]. Ἴσως ὁ ἱστορικὸς γινώσκει μέν, ὅτι ὁ ὕμνος οὐκ ἐποιήθη ὑφ' Ὁμήρου, ἀλλ' ὀνομάζει αὐτὸν κατὰ τὴν τῷ λαῷ γνωστὴν ἐπιγραφήν[3]. Οἱ ὕμνοι δ' οὗτοι, ἐν οἷς καὶ ὁ ἡμέτερος, προοίμιά εἰσιν, ἅπερ μαρτυροῦντος τοῦ Πλουτάρχου[4]) καὶ ἐπικυροῦντος τοῦ Wolf[5]) οἱ ῥαψῳδοὶ πρὸ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ᾖδον. Ἐπειδὴ δὲ πρὸ τούτων ᾔδοντο, συνέβη, ὡς δοκεῖ, ἵνα, καίπερ ποιητικὰ προϊόντα τῶν ῥαψῳδῶν, ὡς ὁμηρικὰ ὑπὸ τοῦ λαοῦ νομίζωνται. Εἰ δ' ὄντως ὁ Θουκυδίδης τῷ Ὁμήρῳ τὸν ὕμνον ἀποδίδωσιν, ἁμαρτάνει ἁμάρτημα, οὗ αὐτὸς λέγει τὴν αἰτίαν[6]). Εἴ τις νομίζει, ὅτι τὸν υἱὸν τοῦ Ὀλόρου διαβάλλομεν, οὗτος δύναται μαθεῖν, ὅτι ὁ ἱστορικὸς καὶ ἀλλαχοῦ περὶ τὸν Ὅμηρον ἥμαρτεν. Καὶ δὴ ἐκεῖ, ἔνθα πρῶτον τοῦ ποιητοῦ μνημονεύει, ἁμαρτάνει λέγων, ὅτι ὁ Ὅμηρος οὐδαμοῦ ὀνομάζει Ἕλληνας πλὴν τῶν μετὰ τοῦ Ἀχιλλέως στρατευσαμένων[7]). Διότι οὗτος χρῆται τῷ ὀνόματι τῆς Ἑλλάδος[8]) ἐν εὐρυτέρᾳ σημασίᾳ (καθ' ἃ ἐν τῷ τρίτῳ βιβλίῳ ἀποδεικνύομεν) καὶ τοὺς κατοίκους αὐτῆς ὀνομάζει Πανέλληνας[9]). Μόλις δέ δύναταί τις εἰπεῖν, ὅτι οἱ στίχοι οὗτοι ἐπὶ Θουκυδίδου ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οὐχ ὑπῆρχον. Διότι ὁ Ἀρίσταρχος ἤδη εὗρε μὲν αὐτοὺς ἐν τοῖς ἀρχαίοις χειρογράφοις, ὅμως ὡς ἀντιφάσκοντας πρὸς τὴν τοῦ Θουκυδίδου κρίσιν ἐσημείωσεν[10]). Ὡσαύτως οὐ δύναταί τις εἰπεῖν, ὅτι ὁ ἱστορι-

---

1) Βιβλ. I, 3, 9, 10. II, 41. 2) III, 114. 3) Παράβαλ. Gräfenhan, Geschichte der class. Phil. I, 526. 4) Περὶ Μουσικ. 1133 „Τὰ πρὸς τοὺς θεούς, ὡς βούλονται ἀφοσιωσάμενοι, ἐξέβαινον εὐθὺς ἐπί τε τὴν Ὁμήρου καὶ τῶν ἄλλων ποίησιν· δῆλον δὲ τοῦτ' ἐστὶ διὰ τῶν Τερπάνδρου προοιμίων." 5) Proleg. ad Homer. σελ. 106. 6) I, 20 „Οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται." 7) Βιβλ. I, κεφ. 3. 8) Ὀδυσσ. Α 344. Δ 726, 816. Ο 80. 9) Ἰλιάδ. Β 530. 10) Lehr's De Aristarchi stud. Homer. Lipsiae 1865 σελ. 228. Στράβων XIV, 662. Sengebusch, Homeric. dissert. prior σελ. 141. „Ex his verbis consequitur, Thucydidem ne nosse quidem istos versus Odys-

κὸς τοὺς στίχους ὡς μικρὰ ἴχνη θεωρεῖ. Διότι τοῦτο κωλύει ἡ λέξις οὐδαμοῦ. Ἐν τῷ αὐτῷ χωρίῳ αὖθις ἁμαρτάνει ὁ Θουκυδίδης νομίζων, ὅτι ὁ Ὅμηρος οὐκ εἴρηκε βαρβάρους. Διότι ἐν τῷ καταλόγῳ τῶν νηῶν ὁ ποιητὴς λέγει Καρῶν βαρβαροφώνων κατὰ τὴν ὑπὸ πλείστων φιλολόγων ἐπιδοκιμαζομένην παρατήρησιν τοῦ Στράβωνος [1]. Καὶ ταῦτα μὲν οἱ ἱστορικοί.

Ἤδη δὲ μεταβαίνομεν εἰς τὸν λυρικὸν Σιμωνίδην. Κατὰ ἀπόσπασμά τι παρ' Ἀθηναίῳ ἀποδίδοται ὑπὸ τοῦ λυρικοῦ τῷ Μελεάγρῳ νίκη τις μήτε ἐν τῇ Ἰλιάδι, μήτε ἐν τῇ Ὀδυσσείᾳ μνημονευομένη, ἐν ᾧ λέγει, ὅτι ὅτε Ὅμηρος καὶ ὁ Στησίχορος τὸν μῦθον τοῦτον ἐπραγματεύθησαν [2]. Ἐντεῦθεν δ' ὁρμώμενος ὁ σοφὸς Welcker ἀποφαίνεται [3]), ὅτι ὁ Σιμωνίδης ὀνομάζει τὸν Ὅμηρον ἐκ τῆς Θηβαΐδος. Ἴσως ὁ λυρικὸς τὰ τοῦ Ὁμήρου ἔπη ἐκ τῆς ἀκροάσεως τῶν ῥαψῳδῶν γινώσκων οὐδὲν ἄλλο βοήθημα εἶχεν, ἢ τὴν αὑτοῦ μνήμην. Ἀλλὰ καὶ ἡ πιστοτάτη μνήμη συχνάκις οὐ διατηρεῖ τὰ παραδοθέντα αὐτῇ, ἀλλὰ συγχέει καὶ ἄλλα μέν, μάλιστα δὲ τὰς πηγάς, ἀφ' ὧν ἤντλησεν. Ὁ Σιμωνίδης λοιπὸν διετήρει μὲν ἐν τῇ μνήμῃ, ὅτι ὅ τε Ὅμηρος καὶ ὁ Στησίχορος ᾖσαν τὸν Μελέαγρον, ἥμαρτεν ὅμως νομίσας, ὅτι καὶ ὁ πρῶτος τὸν μῦθον τῆς νίκης τοῦ ἥρωος ἐπρα-

---

seae α 344, δ 726 ..... quibus Ἑλλάς dicitur Graecia, Iliadis istum quo Graeci dicuntur Πανέλληνες Β 530."

1) XIV, σελ. 564 ἔκδ. Müller, „Οὔτ' οὖν Θουκυδίδης ὀρθῶς· οὐδὲ γὰρ λέγεσθαί φησι βαρβάρους διὰ τὸ μηδὲ Ἕλληνάς πω ἀντίπαλον εἰς ὄνομα ἀποκεκρίσθαι· τό τε γὰρ μηδὲ Ἕλληνάς πως ψεῦδος αὐτὸς ὁ ποιητὴς ἀπελέγχει·

ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος

καὶ πάλιν,

εἴτ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,

μὴ λεγομένων τε βαρβάρων, πῶς ἔμελλεν εὖ λεγθήσεσθαι τό βαρβαροφώνων;" 2) Ἀθην. Δ, 172 „Μάρτυς Σιμωνίδης ὁ ποιητής, ὅς περὶ Μελεάγρου τὸν λόγον ποιούμενός φησιν

ὃς δουρὶ πάντας νίκασε νέους,
δινάεντα βαλὼν Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ.
Οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

3) Der epische Cyklus I, 199.

γματεύετο. Τὰ εἰρημένα δύνανται στηριχθῆναι ἐπὶ πλείστων παραδειγμάτων. Διότι βραδύτερον, ὅτε τὰ πάντα τῇ γραφῇ παρεδίδοντο, ὁ φιλόσοφος Πλάτων, καίπερ ἀπὸ τῶν βιβλίων καὶ μετὰ προσοχῆς ὀφείλων φιλοσοφεῖν, ὅμως συγχέει ἐν τῇ αὐτοῦ Πολιτείᾳ τὸν Εὐριπίδην καὶ Σοφοκλέα ὀνομάζων ἐκεῖνον ἀντὶ τούτου [1]). Ὁ αὐτὸς φιλόσοφος ἐν τῷ αὐτῷ συγγράμματι πολὺ διάφορον παραδίδωσι τὸ τῆς Ὀδυσσείας χωρίον, ἐν ᾧ περὶ τοῦ δικαίου βασιλέως λόγος γίνεται [2]). Ὁ δὲ Ἀριστοτέλης συγχέει τὴν Κίρκην καὶ Καλυψώ [3]). Τὸ ἐναντίον πάσχει ὁ Πλίνιος [4]). Ὁ αὐτὸς δὲ Σταγειρίτης συγχέει τὴν ἀπειλὴν τοῦ Ἀγαμέμνονος καὶ τὴν τοῦ Ἕκτορος [5]). Ὁ δὲ Περιζώνιος ἐν τῇ τῶν ζώων ἱστορίᾳ παρέχει ἡμῖν μέγα πλῆθος τοιούτων παραδειγμάτων [6]). Ὁ δὲ φιλόμηρος Nitzsch [7]) διὰ μακρῶν τὰ τοιαῦτα ἀπίστου μνήμης προϊόντα ἀποφαίνεται. Ἐπειδὴ οἱ Ἕλληνες ἐκ παίδων τὰ ὁμηρικὰ ἔπη ἀπὸ μνήμης ἐμάνθανον (ὡς δὴ ὁ Ξενοφῶν λέγει περὶ Νικηράτου), ὁμηρικὰ χωρία οὐχὶ ἐκ βίβλων, ὧν ἡ ἐξέλιξις ἦν δυσχερής, ἀλλ' ἐκ τῆς αὐτῶν μνήμης ἀποσπῶντες συχνάκις εἰς ἁμαρτήματα ὑπέπιπτον. Πρὸς δέ, ὡς ἐν τοῖς ἔπεσι τοῦ Ὁμήρου πλεῖστοι στίχοι τῶν ῥαψῳδῶν εἰσέρρευσαν, οὕτω καὶ πολλοὶ γνήσιοι ἐξέπεσαν. Διὰ τοῦτο ὁ περὶ τῆς νίκης τοῦ Μελεάγρου μῦθος ἴσως ᾔδετο μὲν ὑπὸ τῶν ῥαψῳδῶν, ὅμως κακῇ τύχῃ οὐ παρελήφθη ἐν τῇ τοῦ Ἀριστάρχου ἐκδόσει. Ἐν δὲ τῷ ἄλλῳ ἀποσπάσματι [8]), ἐν ᾧ φέρεται ὁμηρικὸς στίχος, προδήλως ὁ Σιμωνίδης εἶχεν ὑπ' ὄψιν τὴν Ἰλιάδα [9]).

1) 568 B. Παράβαλ. Γέλλιον ἐν νυξὶν ἀττικαῖς XIII. Ἀποσπάσμ. Σοφοκλ. II, 198. Böckh, De graec. trag. princip. σελ. 247. 2) II, σελ. 363 C. Ὀδυσσ. T 109—114. 3) Ἠθικ. Νικομ II, 9, 3. 4) XII, 16, 30. 5) Πολιτ. III, 9, 100. Ἐν παραβολῇ πρὸς Ἰλιάδ. B 391—393 καὶ O 348—351. 6) IX, 368. 7) Die Sagenpoesie der Griechen 369 καὶ ἑξῆς. Καὶ ἐν τῷ Ἀριστοτέλει ἀναγινώσομεν ὁμηρικοὺς στίχους μηκέτι νῦν εὑρισκομένους. Σοφ. Ἔλεγχ. I, 425. 8) Στοβ. Ἀνθολ. 98, 99

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
„οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν."

9) Ἰλιάδ. Z 146.

Ὁ δὲ Πίνδαρος κατὰ τὸν Sengebusch τῷ Ὁμήρῳ τὰ Κύπρια ἔπη ἀπέδιδεν. Διότι ὁ Αἰλιανὸς λέγει[1], ὅτι ὁ Ὅμηρος ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα ἔδω αὐτῇ προῖκα τὰ Κύπρια. Ἐνταῦθα προστίθεται ἡ φράσις Καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος. Ὁ δὲ Sengebusch ἐνισχύει τὸν μῦθον τοῦ Αἰλιανοῦ καὶ διὰ Πινδαρείων στίχων[2]. Οὗτοι ὅμως προδήλως ἀναφέρονται εἰς τὴν Ἰλιάδα[3], ὡς ὁ τοῦ Πινδάρου Σχολιαστὴς διαρρήδην λέγει. Ἄλλως ὁ Πίνδαρος πολλαχοῦ τοῦ Ὁμήρου μνημονεύων ἀεὶ ὀνομάζει αὐτὸν ἐκ τῶν γνησίων ἐπῶν. Παραδείγματος χάριν λέγει, ὅτι ὁ Ὅμηρος τετίμηκε τὸν Ὀδυσσέα διὰ ῥαψῳδιῶν[4]. Ὁσάκις δὲ μύθους ἐκ τῶν ἄλλων ἐπῶν λαμβάνει, οὐ μέμνηται τοῦ Ὁμήρου[5]. Εἰ δ' ὁ Πίνδαρος τῷ Ὁμήρῳ ὁλόκληρον τὸν ἐπικὸν κύκλον ἀπέδιδεν, ἠδύνατο μνήσασθαι τούτου ἐκεῖ γε, ἔνθα ἐκ τῶν ἐπῶν αὐτοῦ μύθους δανείζεται. Εἰ δ' ὁ λυρικὸς ὄντως διά τινος φράσεως τῷ Ὁμήρῳ τὰ Κύπρια ἔπη ἀπέδιδε, πάλιν ἀμφίβολον, εἰ οὗτος ἰδίαν πεποίθησιν ἐξέφρασεν, ἢ κατὰ τὸ ἔθος αὐτοῦ νικητήν τινα ἐκολάκευσεν. Ἴσως Κύπριόν τινα, ἢ τὸ γένος ἐκεῖθεν ἕλκοντα, ἢ μετὰ τῆς Κύπρου συνδεόμενόν πως. Διότι οἱ Κύπριοι, ὡς εἴρηται, ὑπέβαλλον τῷ Ὁμήρῳ τὰ Κύπρια, ὅπως τὸν ποιητὴν σφετερισθῶσι καὶ δὴ ἐκολακεύοντο, ὁσάκις ἤκουον τὰς φήμας αὐτῶν κυρουμένας. Μετὰ τοὺς λυρικοὺς μεταβαίνομεν εἰς τοὺς δραματικοὺς ποιητάς.

Ἐπειδὴ ὁ Αἰσχύλος παρ' Ἀθηναίῳ τὰς αὐτοῦ τραγῳδίας τεμάχη τῶν Ὁμήρου μεγάλων δείπνων[6] ὀνομάζει, ὁ εὐφυὴς Welcker[7]) ἀποφαίνεται, ὅτι ὁ τραγι-

---

1) IX, 15 „Λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια. Καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος." 2) Homer. dissert. prior σελ. 167·

Τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος
ῥῆμα πόρσυν· ἄγγελον ἐσλὸν ἔφα
τιμὰν μεγίσταν πράματι παντὶ φέρειν.

3) Ἰλιάδ. Ο 207. Σχολ. Πινδ. Νεμ. IV, 493. 4) Νέμ. VII, 29. 5) Ἴσθμ. IV, 63. 6) VII, 39. 7) Trilogie des Aeschylos σελ. 484. Der epische Cyklus I, 132.

κὸς τὸν Ὅμηρον ἐν εὐρυτέρᾳ σημασίᾳ νοεῖ. Τὸν ἄνδρα διὰ μακρῶν ἐλέγχει ὁ ὁμηρικὸς Nitzsch[1]). Ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια· οὕτω μεγάλα ἔπη εἰσίν, ὥστε οὐ δέονται ἄλλων, ὅπως μεγάλα δεῖπνα ὀνομασθῶσιν. Οἱ πλεῖστοι τῶν ἀρχαίων ἐπίστευον, ὅτι ὑπὸ τὰ δύο ταῦτα ἔπη πάντα, θεῖά τε καὶ ἀνθρώπινα, καλύπτονται[2]). Ἐπὶ τούτων οἱ μὲν φιλόσοφοι τὰ αὐτῶν φιλοσοφήματα ἐστήριζον, οἱ δὲ τραγικοὶ συνήθως τὰς ὑποθέσεις τῶν δραμάτων ἤντλουν. Πάνυ δ' εὐφυῶς ὁ Γαλάτων εἰκόνισε τὸν μὲν Ὅμηρον ἐμοῦντα, τοὺς δ' ἄλλους ποιητὰς ἀρυομένους τὰ ἐμημεσμένα[3]).

Ὁ δὲ Σοφοκλῆς παρ' Εὐσταθίῳ ὀνομάζεται φιλόμηρος[4]) καὶ ζηλωτὴς Ὁμήρου[5]). Ὁ μὲν Πολέμων παρὰ Διογένει τῷ Λαερτίῳ[6]) λέγει τὸν μὲν Ὅμηρον ἐπικὸν Σοφοκλέα, τὸν δὲ Σοφοκλῆ τραγικὸν Ὅμηρον, ὁ δὲ Διονύσιος ὁ Ἁλικαρνασσεὺς[7]) μόνον τὸν Σοφοκλῆ ἐν τοῖς τραγικοῖς ὀνομάζει μιμητὴν τοῦ Ὁμήρου. Διὰ ταῦτα νομίζουσί τινες, ὅτι ὁ τραγικὸς τὰς ὑποθέσεις τῶν αὐτοῦ δραμάτων ἐξ ἄλλων ἐπῶν παρὰ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν λαβὼν ἐθεώρει αὐτὰ ὡς ὁμηρικά. Τοῦτο τῇ ἀληθείᾳ οὐ ῥᾳδίως δυνάμεθα πιστεῦσαι. Τὰ ἐπίθετα φιλόμηρος καὶ ζηλωτὴς Ὁμήρου οὐκ ἀναγκάζουσιν ἡμᾶς δέξασθαι, ὅ τι Σοφοκλῆς ἐμιμήθη ὑποθέσεις ἐξ ἐπῶν, ἅπερ δῆθεν ὁμηρικὰ ἐνόμιζεν. Διότι ἡ τοῦ Σοφοκλέους μίμησις καὶ ὁ πρὸς τὸν Ὅμηρον αὐτοῦ ζῆλος μᾶλλον εἰς ἄλλα, ἢ εἰς τὰς ὑποθέσεις ἀναφέρονται. Καὶ δὴ ὁ Ἀριστοτέλης ὀνομάζει τὸν Σοφοκλῆ μιμητὴν τοῦ Ὁμήρου, ὅτι ἀμφότεροι σπουδαίους μιμοῦνται[8]). Ἡ δὲ τοῦ Πολέμωνος φράσις, ὅτι ὁ μὲν Σοφοκλῆς ἐστιν Ὅμηρος τραγικός, ὁ δὲ Ὅμηρος ἐπικὸς Σοφοκλῆς, δείκνυσιν, ὅτι ὁ τραγικὸς ἄλλο τι ἐμιμήθη, ἢ τὰς ὑποθέσεις. Οὐ λείπει δὲ καὶ μαρτυρία τῶν ἀρχαίων τὴν ἡμετέραν εἰκασίαν ἐπικυροῦσα. Διότι ἐν τῷ βίῳ τοῦ Σο-

1) Sagenpoesie der Griechen σελ. 395 καὶ 396. 2) Ξενοφ. Συμπ. IV, 6, 7. Μάξιμ. Τύρ. XXXII, 1. Στράβ. III, 157. Πλάτων. Ἴων 53 D. 3) Αἰλιαν. Ποικίλ. ἱστορ. XIII, 21. 4) Εἰς Ἰλιάδ. Μ 230 καὶ Σ 105. 5) Εἰς Ἰλιάδ. Ε 6. 6) IV, 3, 20. 7) Ὅρα παρὰ Sengebusch, Homer. dissert. prior σελ. 171. 8) Περὶ Ποιητ. III, 2.

φοκλέους λέγεται[1]), ὅτι οὗτος φέρει τοὺς μύθους κατ' ἴχνος τοῦ ποιητοῦ, καὶ ὅτι ἐκμάττεται ὁμηρικὴν χάριν ἠθοποιῶν καὶ ποικίλλων καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρώμενος. Πρὸς πᾶσι δὲ τούτοις ὁ φιλόμηρος καὶ ζηλωτὴς Ὁμήρου Σοφοκλῆς οὐκ ὤφειλεν, ἵνα μόνον ἐκ τῶν γνησίων ὁμηρικῶν ἐπῶν ὑποθέσεις λαμβάνῃ, ἀλλ' ἠδύνατο καὶ ἔλαβεν ἐξ ὅλου τοῦ ἐπικοῦ κύκλου, ὡς ῥητὴ τῶν ἀρχαίων μαρτυρία δείκνυσιν[2]).

Πρὸς δὲ παρ' Ἀθηναίῳ[3]) εὕρηται τοῦ Σοφοκλέους πρὸς τὴν Ἀφροδίτην ἱκεσία τις, ἣν ὁ Ψευδοηρόδοτος αὐτῷ τῷ Ὁμήρῳ ἀποδίδωσιν. Ὁ δὲ Sengebusch[4]) νομίζει, ὅτι, εἰ μὴ ὁ Σοφοκλῆς τοὺς στίχους τούτους ὁμηρικοὺς ἐθεώρει, οὐκ ἐχρῆτο αὐτοῖς. Πόσον τολμηραὶ εἰκασίαι συνέρρευσαν, ὅπως ἀποδείξωσιν, ὅ, τι ὄντως οὐκ ἀποδείκνυται! Τοῖς στίχοις τούτοις παρὰ τῷ λαῷ φερομένοις καὶ ὁ φιλόμηρος καὶ ὁ ὁμηρομάστιξ ἐχρῆτο μήτε ἀναλογιζόμενος, μήτε φιλολογῶν, ὑπό τίνος οὗτοι ἐποιήθησαν. Ἐν ὀνόματι λοιπὸν τῆς ἐπιστήμης τὸν εὐφυέστατον καὶ ἀγχινούστατον Σοφοκλέα μὴ καταβιβάσωμεν εἰς ψιλὸν τοῦ Ὁμήρου ἀντιγραφέα. Ἄλλως οἱ τέσσαρες οὗτοι στίχοι οὐκ ἔστιν ὁ μέγας ἐπικὸς κύκλος, ὑφ' ὃν οἱ περὶ τὸν Welcker μέχρι θανάτου τὸν Ὅμηρον πιέζουσιν, ἀλλὰ μικρότατον φορτίον, ὅπερ οἱ τοῦ ποιητοῦ

---

1) Westermann, Βιογράφοι σελ. 131 „Τὸ πᾶν μὲν οὖν ὁμηρικῶς ὀνόμαζε· τούς τε γὰρ μύθους φέρει κατ' ἴχνος τοῦ ποιητοῦ καὶ τὴν Ὀδύσσειαν δ' ἐν πολλοῖς δράμασιν ἀπογράφεται .... ἠθοποιεῖ δὲ καὶ ποικίλλει καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, ὁμηρικὴν ἐκματτόμενος χάριν. Ὅθεν εἰπεῖν Ἰωνικόν τινα μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου μαθητήν." 2) Ἀθην. VII, 277 „Ἔχαιρε δ' ὁ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιίᾳ." 3) XIII, 592 „Σοφοκλῆς δ' ὁ τραγῳδοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας. Ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί

Κλῦθί μευ εὐχομένου, Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἥδ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν ἀπήμβλυνται θυμὸς δὲ μενοινᾷ.

4) Homer. dissert. prior σελ. 172 „Sophocles autem nisi Homeri eos credidisset, vix futurum fuisse duco, ut iis uteretur."

ὦμοι οἱ Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν φέροντες ἀμοχθως δύνανται φέρειν.

Ὁ δὲ κωμικὸς Ἀριστοφάνης πολλαχοῦ τῶν αὐτοῦ κωμῳδιῶν παρῴδησεν ὁμηρικὰ χωρία καὶ πρόσωπα, ὡς τὸν ἐν τῇ Ἰλιάδι πολυθρύλητον στίχον τοῦ Νέστορος[1]*, καὶ τὸν Οὖτιν*[2] *καὶ Κίρκην*[3] *τῆς Ὀδυσσείας. Ἀλλ' ὁσάκις τοῦ Ὁμήρου μνημονεύει, ἀεί ποτε ὡς ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας αὐτὸν ὀνομάζει*[4]*. Μόνον οἱ Ἱππεῖς*[5] *περιέχουσιν ἕνα στίχον τῇ μικρᾷ Ἰλιάδι ἀνήκοντα. Ἀλλ' ἀμφίβολόν ἐστιν, εἰ ὁ Ἀριστοφάνης τοῦτον ἐν τῇ μικρᾷ Ἰλιάδι ἀνέγνω, ἢ παρὰ τῷ λαῷ αὐτὸν ἤκουσεν· διότι παροιμία ἐστίν. Πρὸς δὲ στίχος τις τῶν Ἐπιγόνων προφέρεται ἐν τῇ Εἰρήνῃ*[6] *ὑπὸ τοῦ υἱοῦ τοῦ Λαμάχου. Ἐκ τούτου ὁρμώμενοί τινες ἀποφαίνονται, ὅτι καὶ οἱ Ἐπίγονοι ἐν τοῖς σχολείοις ἐδιδάσκοντο καὶ διὰ τοῦτο ὁμηρικὸν ἔπος ἐθεωροῦντο. Ὅμως, εἰ τοῦτο ἦν ἀληθές, ἔδει εἶναι γνωστὸν ἐκ πολλῶν τῆς ἀρχαιότητος μαρτυριῶν, καὶ οὐχὶ ἐξ ἑνὸς μικροῦ ὑπαινιγμοῦ. Ὅ τε Πλάτων καὶ ὁ Ξενοφῶν, καίπερ συχνάκις μνείαν τῆς παιδεύσεως τῶν παίδων ποιούμενοι, ὅμως οὐδαμοῦ λέγουσιν, ὅτι οὗτοι πρὸς τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ καὶ ἄλλα ἔπη ἐδιδάσκοντο. Διὰ ταῦτα δικαίως ὁ* Nitzsch *ἀρνεῖται, ὅτι ὁ κωμικὸς ἐν ταῖς αὐτοῦ κωμῳδίαις στίχους ἐκ τοῦ ἐπικοῦ κύκλου ἐνυφάνας τοῦτον τῷ Ὁμήρῳ ἀπέδιδεν*[7]*.*

Τῶν δὲ ῥητόρων ὁ μὲν Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ λέγει, ὅτι ἡ Ὁμήρου ποίησις ἔλαβε μείζω δόξαν· διότι ὁ ποιητὴς καλῶς ἐνεκωμίασε τοὺς πολεμήσαντας τοῖς βαρβάροις, καὶ τούτου ἕνεκεν, ὡς λέγει, οἱ πρόγονοι ἐποίησαν ἔντιμον τὴν τέχνην αὐτοῦ ἔν τε τοῖς μουσικοῖς ἄθλοις καὶ τῇ παιδεύσει τῶν νεωτέρων, ἵνα πολλάκις ἀκούοντες

---

1) *Εἰρην.* 1097 *ἐν παραβολῇ πρὸς Ἰλιάδ.* I, 63. 2) *Σφῆκ.* 186. 3) *Πλοῦτ.* 362. 4) *Νεφέλ.* 1056. *Ὀρνιθ.* 910 *καὶ* 914. 5) *Στίχ.* 1056. 6) *Στίχ.* 1270

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα.

7) Sagenpoesie der Griechen *σελ.* 341.

τῶν ἐπῶν ἐκμανθάνωσι τὴν ἔχθραν πρὸς τοὺς βαρβάρους, καὶ ζηλῶσι τὰς ἀρετὰς τῶν στρατευσαμένων[1]. *Ὁ δὲ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους λέγει, ὅτι οἱ πατέρες οὕτω σπουδαῖον τὸν ποιητὴν ὑπέλαβον, ὥστε νόμον ἔθεντο, ἵνα καθ᾽ ἑκάστην πενταετηρίδα ἐν τοῖς Παναθηναίοις μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας, ὅτι τὰ κάλλιστα τῶν ἔργων προῃροῦντο. Μετὰ ταῦτα ὁ ῥήτωρ ἀποσπᾷ χωρίον ἐκ τῆς Ἰλιάδος*[2]. *Ἐκ τῶν χωρίων τούτων τῶν ῥητόρων πρόδηλον γίνεται, ὅτι οἱ ἀρχαῖοι ὡς ποίησιν καὶ ἔπη Ὁμήρου ἐνόουν τὴν Ἰλιάδα, ὅτι ταύτην ἐρραψῴδουν (ἔν γε τοῖς Παναθηναίοις), καὶ ὅτι ταύτην οἱ παῖδες ἐν τοῖς σχολείοις ἐδιδάσκοντο.*

Ὁ δ᾽ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου πολλαχοῦ[3] *ὀνομάζει τὸν Ὅμηρον, ἀλλ᾽ ἀεὶ ἐκ τῆς Ἰλιάδος. Μόνον ἔν τινι χωρίῳ γίνεται μνεία ἡμιστιχίου*[4] *μηκέτι ἐν τῇ Ἰλιάδι εὑρισκομένου, εἰ καὶ ὁ ῥήτωρ ὀνομάζει τὴν Ἰλιάδα. Ἐντεῦθεν ὁρμώμενος ὁ εὐφυὴς* Welcker *ἀποφαίνεται, ὅτι ὁ ῥήτωρ ὀνομάζει τὸν Ὅμηρον ἐκ τῆς μικρᾶς Ἰλιάδος. Ἀλλ᾽, εἰ ὁ ῥήτωρ ταύτην ἐνόει, ὤφειλε προσθεῖναι τὸ ἐπίθετον μικράν. Διότι ἄλλως οἱ τοῦ ῥήτορος ἀκροαταὶ ἔν τε τοῖς σχολείοις καὶ παρὰ τῶν ῥαψῳδῶν καὶ ἐν παντὶ τῷ βίῳ τὴν μεγάλην Ἰλιάδα ἀκούοντες οὐκ ἠδύναντο νοῆσαι, ὅτι οὗτος τὴν μικρὰν νοεῖ. Ὅμοιον χωρίον ὑπάρχει καὶ ἐν τῇ τοῦ Ἀριστοτέλους Ποιητικῇ*[5], *ἐν ᾗ ἐνόησαν μέν τινες τὴν μικρὰν Ἰλιάδα, ὅμως ὅ τε* Hermann *καὶ ὁ* Ritter[6] *δικαίως παρατηροῦσιν, ὅτι ἄνευ τοῦ ἐπιθέτου μικρὰ οὐ δύναται τοῦτο τὸ ἔπος νοηθῆναι. Ὁ δὲ* Barnesius[7] *διώρθωσε μὲν τὸ χωρίον τοῦ ῥήτορος εἰς Θηβαΐδα, ὅμως δικαίως ἐλέγχεται ὑπὸ τοῦ* Wolf[8] *δι᾽ αὐτοῦ δὴ τούτου τοῦ χωρίου ἀπο-*

---

1) §. 159. 2) §. 102. *Ἰλιάδ.* Ο 494—499. 3) §. 123, 133, 142. *Ἐν παραβολῇ πρὸς Ἰλιάδ.* Π 97—100. Ψ 94. Λ 786. Κ 37. Χ 229. 4) §. 141 „*Καὶ τόν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι*“ *φήμη δ᾽ εἰς στρατὸν ἦλθε.*“ 5) XV, 7. 6) Commentar. *σελ.* 161. 7) Commentar. in Poet. Arist. *σελ.* 191. 8) *Αἰσχ. κατὰ Τιμάρχ. ἔκδ.* Reisc.

δεικνύοντος, ὅτι τὸ κείμενον τῆς Ἰλιάδος τὸ ὑπὸ Ἀλεξάνδρου τοῦ μεγάλου ἀναγνωσθὲν οὐκ ἔχομεν πλέον. Πάντες δ' ὁμολογοῦσιν, ὅτι πολλοὶ στίχοι ἐκ τῶν ὁμηρικῶν ἐπῶν ἐξέρρευσαν. Ὁ ταύτην λοιπὸν τὴν λύσιν τοῦ ζητήματος ἱκανὴν νομίζων δύναται ἐνταῦθα ἀναπαύεσθαι. Διότι ἡμεῖς ἐπιθυμοῦμεν πορρωτέρω χωρεῖν. Εἰ ὁ Αἰσχίνης εἶχεν ὑπ' ὄψιν τὸ μέχρις ἡμῶν περιελθὸν ὁμηρικὸν κείμενον, ἓν τῶν τριῶν συνέβη. Ὁ ῥήτωρ ὠνόμασε τὴν Ἰλιάδα πλανηθείς, ἢ ἐπὶ τῷ πλανῆσαι, ἢ τὴν ἔννοιαν μόνον ἐκ τῆς μικρᾶς Ἰλιάδος καὶ μὴ αὐτὰς τὰς λέξεις λαβών. Ὅτι ὁ Αἰσχίνης ἠδύνατο πλανηθῆναι, ἀφ' οὗ τοὺς φιλοσόφους Πλάτωνα καὶ Ἀριστοτέλη εὕρομεν ἁμαρτάνοντας καὶ ὀνόματα συχνάκις συγχέοντας, οὐκ ἔστιν ἀπίθανον. Ἴσως δ' ὁ ῥήτωρ καὶ ἑκουσίως, ὡς ὁ Nitzsch εἰκάζει, τοὺς αὐτοῦ ἀκροατὰς ἐπλάνησεν. Διότι οἱ ῥήτορες εἰς τὴν ἐπίτευξιν τοῦ σκοποῦ ἀφορῶντες τῆς ἀληθείας ὀλιγωροῦσιν. Καὶ δὴ ἐνταῦθα ὁ Αἰσχίνης γινώσκων μέν, ὅτι τὰ ἐν τῇ Ἰλιάδι ἀβασανίστως πιστεύονται, μὴ εὑρὼν δὲ τὴν Φήμην ἐν τούτῳ τῷ ἔπει ἠναγκάσθη κυρῶσαι τὸν λόγον αὐτοῦ ἐν ὀνόματι τῆς Ἰλιάδος. Οὕτως ὁ ῥήτωρ πλανᾷ μὲν τοὺς ἀκροατὰς νομίζοντας, ὅτι ἡ Φήμη ἐν τῇ μεγάλῃ Ἰλιάδι περιέχεται, ὅμως ἡ πλάνη ἀποβαίνει ἀθωοτέρα, ἢ ὅλως τὸν χαρακτῆρα τοῦτον ἀποβάλλει, ἂν μνησθῶμεν, ὅτι ὄντως ὁ Ὅμηρος τὴν ἰδέαν δι' ἄλλων λέξεων ἐξέφρασεν. Οἱ τὴν Ἰλιάδα ἀναγνόντες γινώσκουσιν, ὅτι ὁ Ὅμηρος ἀντὶ τῆς Φήμης χρῆται ἐν τῇ αὐτῇ ἐννοίᾳ τῇ Ὄσσῃ[1]) καὶ τῇ Ἴριδι[2]). Λοιπὸν ὁ Αἰσχίνης ἀντὶ τῆς Ὄσσης καὶ Ἴριδος ἐχρήσατο τῇ Φήμῃ, ὅπως ἠχῇ ἡ αὐτὴ λέξις, ὑφ' ἣν καὶ βωμὸς ἐν Ἀθήναις ἦν καὶ ὑφ' ἣν διὰ τῆς μαρτυρίας τοῦ τε Ἡσιόδου καὶ Εὐριπίδου ἐκυροῦτο, καὶ πρὸς πᾶσι τούτοις ὁ τοῦ ῥήτορος λόγος ἀπῄτει.

Ἐνταῦθα ἤδη ἠδυνάμεθα παύσασθαι τῆς ἐρεύνης τῶν ῥητόρων. Διότι οὐδ' αὐτὸς ὁ Welcker, ἂν μὴ πλανώμεθα,

---

1) Ἰλιάδ. Β 93. Παράβαλ. καὶ Ὀδυσσ. Ω 413. 2) Ἰλιάδ. Γ 121.

μέμνηται τοῦ χωρίου τοῦ Ψευδοδημοσθένους[1]), *καθ' ὃ ἀποδίδοται τῷ Ὁμήρῳ ὁ μῦθος, ὅτι οἱ Ἀκαμαντίδαι χάριν τῆς μητρὸς* (;) *ἐπὶ Τροίαν τὸν Ἀκάμαντα ἔπεμψαν*[2]). *Ἀλλ' ἐνταῦθα οὐ προσηκόντως προσκρούει ὁ* Nitzsch. *Διότι οἱ ἀρχαῖοι ἤδη τὸ ζήτημα ἔλυσαν. Ὁ Πλούταρχος ἐν τῷ βίῳ Θησέως λέγων, ὅτι ἡ τοῦ ἥρωος μήτηρ Αἴθρα ἀπήχθη αἰχμάλωτος εἰς Λακεδαίμονα καὶ ἐκεῖθεν εἰς Τροίαν, παρέχει μάρτυρα τὸν κάτωθι τῆς Ἰλιάδος στίχον. Παρατηρεῖ ὅμως ὁ Χαιρωνεύς, ὅτι τινὲς ὡς νόθον αὐτὸν διέβαλλον. Οἱ ἀρχαῖοι, ὡς γνωστόν, ἀπέδιδον πολλοὺς μύθους τῷ Ὁμήρῳ, ὅστις τούτους μόνον ὑπηνίσσετο. Τοῦτο καὶ ἄλλοι μὲν συχνάκις ἐποίουν, μάλιστα δ' οἱ ῥήτορες φυλετικὰς μικροφιλοτιμίας κολακεύοντες, ὡς ἐνταῦθα ὁ Ψευδοδημοσθένης. Ὁ εἰρημένος λοιπὸν στίχος ἱκανὸς ἦν, ὅπως ὁ κόλαξ τῶν Ἀκαμαντιδῶν ῥήτωρ ὁλόκληρον τὸν μῦθον τῷ Ὁμήρῳ ἀποδῷ. Οὗτος δ', ὡς νομίζομεν, οὐ λίαν τοῦ ὁμηρικοῦ ὑπαινιγμοῦ ἀφίσταται. Διότι ἡ Αἴθρα κατὰ τὸ μνημονευθὲν τῆς Ἰλιάδος χωρίον ἀκολουθεῖ τῇ Ἑλένῃ, καὶ ἕκαστος ἠδύνατο, ὡς οἱ τῷ Πλουτάρχῳ τὸν μῦθον διηγούμενοι, εἰκάσαι, ὅτι τοῦ Ὁμήρου μαρτυροῦντος ἐκείνη εἰς Τροίαν ἀπαχθεῖσα αἰτία τῆς στρατείας τοῦ Ἀκάμαντος ἐγένετο. Ἡ ἀπόδειξις αὕτη ἱκανὴ ἡμῖν ἐστιν. Εἴ τις ὅμως δέχεται, ὅτι οἱ ῥαψῳδοὶ τὴν τῶν Ἀκαμαντιδῶν φυλὴν κολακεύοντες παρενέβαλλον στίχους, οἵτινες ὡς μὴ πανταχοῦ ᾀδόμενοι οὐ περιεσώθησαν ἡμῖν, ἢ ὅτι οὗτοι τὴν μικρὰν Ἰλιάδα, ὡς ὁ* Nitzsch *εἰκάζει*[3]), *παρὰ τῇ εἰρημένῃ φυλῇ ὡς ὁμηρικὸν ἔπος*

1) *Ἐπιτάφ.* 1398 „*Ἐμέμνηντο Ἀκαμαντίδαι τῶν ἐπῶν, ἐν οἷς Ὅμηρος ἕνεκα τῆς μητρός φησιν Αἴθρας Ἀκάμαντα εἰς Τροίαν στεῖλαι.*“ 2) *Κεφ.* XXXIV „*Αἴθραν δὲ τὴν Θησέως μητέρα γενομένην αἰχμάλωτον ἀπαχθῆναι λέγουσιν εἰς Λακεδαίμονα κἀκεῖθεν εἰς Τροίαν μετὰ Ἑλένης· καὶ μαρτυρεῖν Ὅμηρον, ἕπεσθαι τῇ Ἑλένῃ φάμενον*

Αἴθρην Πιτθῆος θύγατρα Κλυμένην τε βοῶπιν

οἱ δὲ καὶ τοῦτο τὸ ἔπος διαβάλλουσι . . .“ *Ἰλιάδ. Γ* 144. 3) Sagenpoesie der Griechen *σελ.* 348 „So mögen wir uns vorstellen, Rhapsoden von Chios haben diese Akamantiden als besonders günstige Hörer aufgesucht und die clin. Ilias ihnen in freien Zusammenkünften vorgetragen als ein Homerisches Gedicht.“

ᾖδον, οὐκ ἀντιλέγομεν, ἀλλὰ μᾶλλον χαίρομεν καὶ ἄλλας ἀφορμὰς εὑρίσκοντες, ἐξ ὧν οἱ συμφέρον ἔχοντες τῷ Ὁμήρῳ καὶ ἄλλα ἔπη ἀπέδιδον.

Ἐν τοῖς ἔμπροσθεν ἤδη εἴπομέν τινα περὶ τῶν φιλοσόφων Ξενοφῶντος, Πλάτωνος καὶ Ἀριστοτέλους. Ἐνταῦθα περὶ μὲν τοῦ πρώτου οὐκ ἔχομέν τι προσθεῖναι, περὶ δὲ τῶν τελευταίων ὀλίγα. Ὁ Πλάτων ἀπειράκις τὸν Ὅμηρον ὀνομάζων πανταχοῦ νοεῖ αὐτὸν ὡς ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας. Ἀλλ' ὁ εὐφυὴς Welcker[1]) ἐπενόησε τρόπον, ὅπως καὶ ὁ φιλόσοφος δῶρον ἐκ τοῦ ἐπικοῦ κύκλου τῷ ποιητῇ προσενέγκῃ. Διότι ἐν Γοργίᾳ λέγει „Οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος“ [2]). Ἡ ἔννοια ὅμως τοῦ χωρίου τούτου εὕρηται, ὡς καὶ ὁ ἑρμηνευτὴς τοῦ Πλάτωνος Stalbaum παρατηρεῖ, ἐν τῇ Ὀδυσσείᾳ[3]). Πάνυ δ' ὀρθῶς ἐσημείωσεν ὁ Nitzsch[4]), ὅτι ἐπὶ Πλάτωνος τὸ ἐπίθετον ἄγριος ἦν ἐν ἀντιθέσει πρὸς τὸ ἥμερος, ὡς καὶ ἐν τῇ νεωτέρᾳ ἑλληνικῇ γλώσσῃ. Καὶ αὐτὸς ὁ Πλάτων ἑρμηνεύει ἑαυτὸν ἐν τῇ Πολιτείᾳ λέγων „δικαία τε καὶ ἥμερος ἢ δυσκοινώνητας καὶ ἀγρία“ [5]). Ὥστε ὁ φιλόσοφος οὔτε τὰ Κύπρια ἔπη, οὔτε τὴν Θηβαΐδα, οὔτε τὴν Οἰχαλίας ἅλωσιν τῷ Ὁμήρῳ ἀποδίδωσιν, ὡς ὁ Welcker ἀποφαίνεται[6]). Πρὸς δὲ τοὺς νομίζοντας, ὅτι ὁ Πλάτων καὶ ἐν Εὐθύφρονι διὰ τῆς φράσεως ὁ ποιητὴς ὁ ποιήσας[7]) ἀποδίδωσι τῷ Ὁμήρῳ τὰ Κύπρια ἔπη, δύναταί τις ἀρνηθῆναι ἀπόκρισιν. Διότι ἤδη ὁ Σχολιαστὴς τοῦ Πλάτωνος λέγει, ὅτι ἡ ἐν τῷ διαλόγῳ φράσις ἐλήφθη ἐκ τῶν Κυπρίων τοῦ Στασίνου[8]). Οὐ διερχόμεθα ὅμως ἐν σιγῇ τὸ ἐν δευτέρῳ Ἀλκιβιάδῃ χωρίον[9]), καθ' ὃ ὁ Μαργίτης ἀποδίδεται τῷ Ὁμήρῳ.

---

1) Der epische Cyklus I, 133. 2) LXXII, 516. 3) Ὀδυσσ. Ζ 120. 4) Αὐτόθι σελ. 336. 5) 486 Β. 6) Αὐτόθι σελ. 133. 7) Ὅρα Nitzsch, Sagenpoesie der Griechen σελ. 336. 8) Ἔκδ. Bekker, II, σελ. 328 „Ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. Εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων.“ 9) 147 C „Οὐ γὰρ δήπου Ὅμηρόν γε τὸν θειότατόν τε καὶ σοφώτατον ποιητὴν ἀγνοεῖν δοκεῖς, ὡς οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς· ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην πολλά μὲν ἐπίστασθαι, κακῶς δέ, φησί, πάντα ἠπίστατο.“

Ἐπειδὴ ὅμως ὁ διάλογος ὑπὸ τῶν κριτικῶν νόθος θεωρεῖται, ὁ Πλάτων ἀπαλάσσεται τῆς εὐθύνης. Ἀλλὰ τῆς ἐρεύνης ἡμῶν μέχρι τῶν ψευδεπιγράφων ἐπεκταθείσης, ἕκαστος ἀπαιτεῖ παρ' ἡμῶν ἐξήγησιν, ἣν ἐν τοῖς ἑπομένοις λαμβάνει.

Ἀπὸ τοῦ διδασκάλου μεταβαίνομεν εἰς τὸν μαθητην. Ὁ Ἀριστοτέλης σαφῶς γινώσκει, ὅτι ἄλλος ὁ Ὅμηρος καὶ ἄλλοι οἱ ποιηταὶ τῶν Κυπρίων, τῆς Ἰλίου πέρσεως καὶ τῆς μικρᾶς Ἰλιάδος[1]. Ἀφ' οὗ δ' ὁ Σταγειρίτης ἠρνήθη τῷ Ὁμήρῳ τὴν μικρὰν Ἰλιάδα, οὐδεὶς δύναται ἐν τῷ χωρίῳ, ἐν ᾧ οὗτος πραγματεύεται περὶ τῆς λύσεως τῶν μύθων ὡς ἀπὸ μηχανῆς, νοῆσαι τὴν μικρὰν Ἰλιάδα[2]. Διότι ἐν τῷ χωρίῳ τούτῳ τῆς Ποιητικῆς, ὡς ὀρθῶς παρατηρεῖ ὁ Ritter[3], ὁ φιλόσοφος νοεῖ τὸν ἐν τῇ Ἰλιάδι τῶν Ἀχαιῶν ἀπόπλουν, ὃν κωλύει ἡ Ἀθηνᾷ[4]. Τὸν δὲ Μαργίτην, ὃν ὁ Ψευδοπλάτων τῷ Ὁμήρῳ ἀποδίδωσι, καὶ ὁ Σταγειρίτης τῷ αὐτῷ ποιητῇ ὑποβάλλει[5]. Ἐπειδὴ δὲ τὸ ἔπος καὶ ἄλλοι τῷ Μελησιγενεῖ ὑπέβαλον, ἡ ὑπὸ τῶν Κολοφωνίων διαδοθεῖσα φήμη, ὡς δοκεῖ, μείζονος πίστεως ἔτυχεν, ἢ αἱ τῶν ἄλλων πόλεων. Διότι τὸ ἔπος καὶ λίαν ἀρχαῖον ἦν, καὶ ἐποιήθη ἐν πόλει μεγίστην ἀξίωσιν ἐχούσῃ, ὅτι πατρὶς ἢ μητρόπολις τοῦ ποιητοῦ ἐστιν. Ἡ φήμη δὲ τῶν Κολοφωνίων καὶ ἀλλαχοῦ στήριγμα εὗρεν. Ὡς οἱ ἀρχαῖοι φιλόσοφοι ἐνόμιζον, ὅτι ἐν τοῖς ὁμηρικοῖς ἔπεσι πάντα τὰ φιλοσοφικὰ συστήματα ὑπολανθάνουσιν, οὕτως οἱ ποιηταὶ καὶ οἱ περὶ ποιήσεως φιλοσοφοῦντες ἐθεώρουν τὸν Ὅμηρον ὡς τὸν ἀρχηγὸν πάντων τῶν εἰδῶν τῆς ποιήσεως. Διὰ τοῦτο ὁ Nitzsch[6] τὴν αἰτίαν τῆς ἀποδόσεως τοῦ Μαργίτου τῷ Ὁμήρῳ ἀνευρίσκει ἐν τῷ ἐνθουσιασμῷ τῶν ἀρχαίων θεωρούντων τὸν Ὅμηρον ὡς ἀρχηγὸν καὶ ἡγεμόνα τῆς ἐποποιίας, τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας. Ὁ δὲ Ἀριστοτέλης τὸν Ὅμηρον ὡς τὸ ἐντελέστατον πρότυπον τῆς ποιή-

1) Περὶ ποιητ. κεφ. 23 „Οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα.“ Καὶ κεφ. 18 „Ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν.“ 2) Αὐτόθι κεφ. 15. 3) Comment. in Arist. Poet. σελ. 190. 4) Ἰλιάδ. B 155—181. 5) Κεφ. IV. 6) Sagenpoesie der Griechen σελ. 306.

σεως θεωρῶν τὴν μὲν Ἰλιάδα καὶ Ὀδύσσειαν πρὸς τραγῳδίαν, τὸν δὲ Μαργίτην πρὸς κωμῳδίαν παραβάλλει[1]). Ὁ Σταγειρίτης ἔζη ἐν τῇ ἀτμοσφαίρᾳ τοῦ γενικοῦ τούτου ἐνθουσιασμοῦ καὶ ἐν ταύτῃ ἐφιλοσόφει.

Οὕτω λοιπὸν ἐξητάσαμεν τοὺς ἐπισημοτέρους τῆς ἀρχαιότητος ἄνδρας, ὧν οἱ μὲν σαφέστερον, οἱ δὲ σκοτεινότερον ὡμολόγησαν, ὅτι ὁ Ὅμηρος μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἐποίησεν. Τινὲς δὲ διὰ τοὺς εἰρημένους λόγους ἀπέδιδον αὐτῷ καὶ τὸν Μαργίτην καὶ εἴ τι ἄλλο. Ἐν πολλαῖς ὅμως τῆς Ἑλλάδος πόλεσι τῷ Ὁμήρῳ πλείω ἔπη ὑπεβάλλοντο, ἴσως δὲ καί τινες τῶν ἐπισήμων τῆς ἀρχαιότητος ἀνδρῶν ἐκ τῶν τοπικῶν τούτων εἰδήσεων, ἢ ἐκ μεγάλου πρὸς τὸν ποιητὴν ἐνθουσιασμοῦ, ἢ ἐξ ὑπερόχου ἀρετῆς ἔπους τινὸς ἐπλανήθησαν. Τοῦτο οὐκ ἀρνούμεθα. Τοιαύτη ἄρνησις ἐλέγχει παρανόησιν τῶν ὑπὸ τῆς ἀρχαιότητος παραδοθεισῶν εἰδήσεων. Διότι ἤδη ὁ Ἡρόδοτος, ὡς εἴρηται, γινώσκει, ὅτι οἱ Ἐπίγονοι καὶ τὰ Κύπρια ἔπη τῷ Ὁμήρῳ ὑπό τινων ἀπεδίδοντο. Ὁ δὲ Παυσανίας[2]) παραδίδωσιν, ὅτι ἤδη ὁ ἐλεγειακὸς ποιητὴς (ἂν μὴ διορθωθῇ εἰς ἄλλο ὄνομα) Καλλῖνος, ὅστις ἐν ἔτει 640 Π·Χ ἔζη, τὴν Θηβαΐδα ὁμηρικὸν ἔπος ἐθεώρει. Ἀλλ᾽ ἐπλανήθη ἐκ τῆς ποιητικῆς τοῦ ἔπους ἀξίας, ἣν καὶ ὁ Παυσανίας ἐπαινεῖ. Πρὸς δὲ παρὰ τῷ λαῷ οἱ ῥαψῳδοὶ συνεβάλλοντο πρὸς ἐπέκτασιν τῆς περιοχῆς τοῦ ὁμηρικοῦ ὀνόματος. Διότι οὗτοι ἐνίοτε καὶ ἄλλα ἔπη ὡς ὁμηρικὰ ἐν μικροτέραις πανηγύρεσι καὶ συναθροίσεσι τοῦ λαοῦ ᾖδον.

Μετὰ τούτους ὅμως οἱ Ἀλεξανδρινοὶ τὴν μικροφιλοτιμίαν τῶν Ἑλληνίδων πόλεων ἀπώσαντες καὶ τὸν πρὸς τὸν Ὅμηρον γενικὸν ἐνθουσιασμὸν τοῦ ἑλληνικοῦ κόσμου ἀπο-

---

1) Κεφ. IV „Οὕτω καὶ τὰ τῆς τραγῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον, ἀλλὰ τὸ γελοῖον δραματοποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας.“ 2) IX, 9, 3 „Τὰ δὲ ἔπη ταῦτα (δηλ. τὴν Θηβαΐδα) Καλλῖνος, ἀφικόμενος αὐτῶν εἰς μνήμην, ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι. Καλλίνῳ δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταῦτα ἔγνωσαν. Ἐγὼ δὲ τὴν ποίησιν ταύτην μετά γε Ἰλιάδα καὶ Ὀδύσσειαν ἐπαινῶ μάλιστα.“

σοβήσαντες ἐπιτυχέστερον περὶ αὐτοῦ ἔκριναν. Εἰκάζομεν δ', ὅτι τὸ ἔργον αὐτῶν οὐκ ἦν δυσχερές. Διότι οὐ μόνον οἱ ἐξοχώτεροι τῆς ἀρχαιότητος ἄνδρες τὰ τοῦ ἐπικοῦ κύκλου οὐκ ἐθεώρουν ὁμηρικά, ἀλλὰ καὶ αἱ εἰδήσεις, καθ' ἃς ταῦτα τῷ Ὁμήρῳ ὑπεβάλλοντο, οὐκ ἦσαν κοιναὶ παντὶ τῷ ἑλληνικῷ κόσμῳ, ἀλλὰ μόνον τοπικαί. Οὕτως ἐπεκράτησεν ἡ τῶν Ἀλεξανδρινῶν κρίσις, ὅτι ἔπη τοῦ Ὁμήρου ἀληθῆ, βέβαια καὶ ἀναμφίλεκτά εἰσι μόνον ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια [1]). Τινὲς δὲ τούτων πορρωτέρω προβάντες ἐχώρισαν καὶ τὴν Ὀδύσσειαν ἀπὸ τῆς Ἰλιάδος, ἣν μόνην τῷ Ὁμήρῳ ἀπέδιδον, καὶ διὰ τοῦτο Χωρίζοντες [2]) ἐκλήθησαν.

Ἀλλ' ἴσως οὐδεὶς παρ' ἡμῶν ἀπαιτεῖ, ὅπως ἐν τῷδε τῷ πονήματι ἀκριβέστερον τὰ τοῦ ἐπικοῦ κύκλου ἐξετάσαντες πλείω συμπεράσματα τὴν ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν ἀφορῶντα ἐξαγάγωμεν. Διότι τοῦτο μόνον ἐν ἰδιαιτέρᾳ πραγματείᾳ ἐφικτόν ἐστιν. Ἐνταῦθα ἱκανόν ἐστιν ἡμῖν, ὅτι οἱ ἀρχαῖοι τὸ τοῦ Ὁμήρου ὄνομα ἐπὶ τῶν ἐπῶν τοῦ ἐπικοῦ κύκλου οὐκ ἐξέτεινον, ὅτι ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια ἔπη διάφορα τοῦ ἐπικοῦ κύκλου εἰσίν, τὰ ἀρχαιότερα πάντων τῶν ἄλλων, ἐρραψῳδοῦντο συνήθως ἐν τοῖς ἀγῶσιν, ἀνεγινώσκοντο ἐν τοῖς σχολείοις, ἐκ τούτων οἱ φιλόσοφοι ἤντλουν [3]), ἤ, μᾶλλον εἰπεῖν, τούτοις τὰ ἴδια φιλοσοφήματα ἀπέδιδον, ἐκ τούτων οἱ ποιηταὶ συνήθως τὰς ὑποθέσεις τῶν αὐτῶν δραμάτων ἐλάμβανον, τούτοις οἱ πολιτικοὶ ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τῷ βίῳ ἐχρῶντο, ἐν ᾧ τὰ ἔπη, ἅπερ βραδύτερον ἐπικὸς κύκλος ἐκλήθησαν, ἦσαν ποιήματα μᾶλλον φιλολογικὰ καὶ τὴν ποιητικὴν ἀξίαν καὶ τὴν ἑνότητα, ὡς ἐν τῷ ἑπομένῳ βιβλίῳ δειχθήσεται, ἥττονα.

Τοιαῦτα δ' ἔπη μνημονεύονται ὑπὸ τῶν ἀρχαίων περὶ τὰ τριάκοντα, ὧν πέντε τὸν Τρωικὸν μῦθον περιελάμβα-

1) *Βιογραφία ΣΤ „Ποιήματα δ' αὐτοῦ ἀναμφίλεκτα Ἰλιὰς καὶ Ὀδύσσεια.“* 2) *Βιογραφία Γ' „Γέγραφε δὲ ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ.“* Anecd. Rom. *σελ.* 6 *„Πρὸς τοὺς λέγοντας μὴ εἶναι τοῦ αὐτοῦ ποιητοῦ Ἰλιάδα καὶ Ὀδύσσειαν.“ Σχολ. εἰς Ἰλιάδ. Μ* 435 *„Πρὸς τὸ Ξένωνος παράδοξον.“* 3) *Ὑπὸ τοῦ Πλινίου Φυσικ. ἱστορ.* XVII, 5 *ὁ Ὅμηρος ὀνομάζεται* Fons ingeniorum.

νον, τα Κύπρια ἔπη, ἡ Αἰθιοπίς, ἡ Ἰλίου πέρσις, ἡ μικρὰ Ἰλιὰς καὶ ἡ Τηλεγονία. Τὰ δὲ λοιπὰ εἶχον ὑπόθεσιν ἄλλους μύθους, ὡς τὸν Θηβαϊκόν, τοὺς ἄθλους τοῦ Ἡρακλέους κτλ. Ὁ Ἑκαταῖος ἤδη, ὁ Φερεκύδης καὶ οἱ ἄλλοι λογογράφοι ἔθεντο θέμα, ὅπως τὸν μέγαν τοῦτον μυθικὸν πλοῦτον χρονολογικῶς κατατάξωσιν. Ὑπὸ τῆς αὐτῆς δ' ἀρχῆς βραδύτερον ὁρμώμενοι καὶ οἱ Ἀλεξανδρινοὶ κριτικοὶ κατ' ἐντολὴν Πτολεμαίου τοῦ Φιλαδέλφου τὰ ἔπη τοῦ Ὁμήρου καὶ τῶν ἄλλων ἐπικῶν εἰς ἓν συνήρμοσάν πως[1]). Τὸ ἄθροισμα δὲ τοῦτο ἐκ τῆς μίξεως τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ἀρχόμενον καὶ εἰς τὸν ὑπὸ τοῦ Τηλεγόνου θάνατον τοῦ Ὀδυσσέως λῆγον ὠνομάσθη ἐπικὸς κύκλος. Τὰ ἔπη ταῦτα, ὡς ὁ Πρόκλος ἐν τῇ Χρηστομαθείᾳ μαρτυρεῖ[2]), οὐχὶ κατὰ τὴν ποιητικὴν αὐτῶν ἀξίαν, ἀλλὰ κατὰ τὴν σειρὰν τῆς διηγήσεως ἐτέθησαν. Ἐπειδὴ δ' οἱ Ἀλεξανδρινοὶ ταύτῃ τῇ ἀρχῇ ἠκολούθησαν, ἔταξαν εἰς τὸν ἐπικὸν κύκλον καὶ τὰ τοῦ Ὁμήρου ἔπη εἰς ἓν συναθροίσαντες χρυσόν, ἄργυρον, χαλκὸν καὶ σίδηρον. Ἀλλ' ὡς ὁ χρυσὸς τῷ χαλκῷ καὶ σιδήρῳ παρατιθέμενος οὐ μόνον τὴν αὐτοῦ λάμψιν οὐκ ἀπόλλυσιν, ἀλλὰ καὶ ἐπιφανέστερος γίνεται, οὕτω καὶ ἐν τῇ παραθέσει τῶν ἀνίσων τὴν ἀξίαν ἐπῶν συνέβη. Τὰ δὲ ἔπη τοῦ

---

1) Σχόλ. εἰς Πλοῦτ. Ἀριστοφ. Ex Caecio in comment. comoed. Arist. in Pluto, quam possumus opulentiam etc. „Alexander Aetolus et Lycophron Chalcidensis et Zenodotus Ephesius impulsu regis Ptolemaei Philadelphi cognomento, qui mirum in modum favebat ingeniis et famae doctorum hominum, artis poetices libros in unum collegerunt et in ordinem redegerunt, Alexander tragoedias, Lycophron comoedias, Zenodotus vero Homeri poemata et reliquorum illustrium poetarum.“ Ὅρα H. Düntzer, Homer und der epische Cyklus σελ. 44. 2) Παρὰ Φωτίῳ σελ. 239 „Διαλαμβάνει (δηλ. ὁ Πρόκλος) δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, ὃς ἄρχεται μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτῷ (δ. αὐτοὶ) καὶ τρεῖς παῖδας ἑκατόγχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας, διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴ πού τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. Καὶ περατοῦται ὁ ἐπικὸς κύκλος, ἐκ διαφόρων ποιητῶν συμπληρούμενος, μέχρι ἀποβάσεως Ὀδυσσέως τῆς εἰς Ἰθάκην, ἐν ᾗ καὶ ὑπὸ τοῦ Τηλεγόνου ἀγνοοῦντος κτείνεται. Λέγει δὲ καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσαμένων τὸν ἐπικὸν κύκλον.“

Ὁμήρου, καίπερ εἰς τὸν ἐπικὸν κύκλον ὑπαγόμενα, ομως ἀντετίθεντο πρὸς ταῦτα, ἅπερ ἰδίως ὠνομάζοντο ἐπικὸς κύκλος καὶ οἱ τούτων ποιηταὶ κυκλικοί. Εἰ δὲ τὰ ἔπη ταῦτα εἰς ταύτην τὴν παράθεσιν οὐκ ὑπεβάλλοντο, ἡ ποιητικὴ αὐτῶν ἀξία μὴ λίαν αἰσθητῶς πρός τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν παραβληθεῖσα ἴσως μᾶλλον ἐτιμᾶτο. Ἡ πρὰς τὰ τοῦ Ὁμήρου ὅμως παραβολὴ καὶ ἀντίθεσις τὴν πρὸς ταῦτα καταφρόνησιν ἐπέσυραν καὶ οἱ κυκλικοὶ ποιηταὶ συνώνυμοι ἀσήμοις κατέστησαν. Ἐντεῦθεν ἐξηγεῖται ἡ τοῦ Ὁρατίου[1]) καὶ τῶν ἄλλων καταφρόνησις πρὸς ταῦτα. Ὅτι δ' αὕτη μεταγενεστέρα ἐστί, πάνυ εὐφυῶς ἀπέδειξεν ὁ Lange[2]).

Περὶ δὲ τοῦ τρόπου, καθ' ὃν τὰ ἔπη ταῦτα οὕτω συνηρμόσθησαν, ὥστε κατὰ τὸν Πρόκλον ὁ ἐπικὸς κύκλος ἐσπουδάζετο ὑπὸ τῶν πολλῶν „οὐχ οὕτω διὰ τὴν ἀρετήν, ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῇ πραγμάτων", μεγάλη διαφωνία ἐπικρατεῖ, Ὅτι δ' ὁ ἐπικὸς κύκλος οὐκ ἦν πεζὸν σύγγραμμα ἐκ τῶν ἐπῶν ἐξηγμένον, ὥς τινες ἐνόμισαν, οὐ δεῖται ἀποδείξεως. Διότι σαφῶς περὶ τούτου ἐκφράζεται ὁ Πρόκλος. Ζήτημα ὅμως ἐστίν, εἰ ἐπιτομή τις πρὸς ἐπίτευξιν τῆς συναρμογῆς ἐγένετο. Περὶ τούτου δυσχερὲς ἀποφανθῆναι. Διότι οὐδὲν ἴσως φιλολογικὸν ζήτημα οὕτω περιπεπλεγένον παρεδόθη, ὡς τὸ τοῦ ἐπικοῦ κύκλου. Διότι τὰ μέχρις ἡμῶν περισωθέντα ἀποσπάσματά εἰσι φειδωλά, καὶ αἱ μαρτυρίαι πάνυ ὀλίγαι. Τὸ ζήτημα τοῦτο διδάσκει τοὺς ἀνθρώπους, ὅτι (πικρὸν εἰπεῖν) οὐδεὶς βαθμὸς κριτικῆς δυνατός ἐστιν, ὅπως ἀναπληρώσῃ, ὅ, τι ὁ πανδαμάτωρ χρόνος ἀκρίτως ἐκ τοῦ κόσμου τούτου ἀφήρπασεν!

---

1) Ars poetica στίχ. 136. 2) Lange, Ueber die cyklischen Dichter σελ. 36—41.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Εἰ οἱ ἀρχαῖοι ἐνόουν τὸν ἐθνικὸν ποιητήν.

Μέχρι τοῦδε εἴδομεν, ὅτι οἱ μὲν ἀρχαῖοι ἐπὶ πολλοὺς αἰῶνας περὶ Ὁμήρου μύθους ἔπλασσον, μακρὰς περὶ τῆς πατρίδος αὐτοῦ ἔριδας εἶχον, τὴν ἐποχὴν τούτου μόνον ἐξ εἰκασιῶν καθ' ἑκάστην αὐξανομένων ἐγίνωσκον, πρὸς κύρωσιν τῶν αὐτῶν ἀξιώσεων παραγωγὰς καὶ ἐτυμολογίας ἐπενόουν καὶ οἱ τούτων ἀδαέστεροι ἐκ συμφέροντος, πλάνης ἢ ἐνθουσιασμοῦ πρὸς τὸν ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας δῶρα ἐκ τοῦ ἐπικοῦ κύκλου προσέφερον· οἱ δὲ νεώτεροι (οἱ πλεῖστοί γε τούτων) μήτε πρὸς τὰς ἀφορμὰς αὐτῶν ἀπιδόντες, μήτε τοὺς σκοποὺς αὐτῶν ἀνιχνεύσαντες πάντα τὰ εἰρημένα ὡς ὅπλα κατὰ τῆς προσωπικῆς τοῦ ποιητοῦ ὑπάρξεως ἐν χερσὶν ἔλαβον. Ἐν τοῖς ἡγουμένοις κεφαλαίοις ἐπειράθημεν μέν, ὅπως τάς τε ἀφορμὰς ἀνιχνεύσωμεν καὶ τοὺς σκοποὺς δείξωμεν, ἀλλ', εἰ οἱ ἀρχαῖοι ὑπὸ τοιούτων ἀφορμῶν παρήγοντο, ἆρά γε τῆς ἡμετέρας πίστεως ἄξιοί εἰσιν; Ἆρά γε οὐ ψεύδονται ὅλως περὶ Ὁμήρου; Ἆρά γε νοοῦσι τὸν ἐθνικὸν ποιητήν; Ἆρά γε οἱ τοῦτον νοοῦντες τολμῶσι τὴν ἰδίαν πεποίθησιν ἐκφράσαι; Δυστυχῶς ἀπὸ τοῦ Wolf οἱ πλεῖστοι τῶν κριτικῶν ἀρνητικὴν πρὸς πάντα ταῦτα τὰ ζητήματα ἀπόκρισιν διδοῦσιν. Πραγματεύονται δὲ περὶ τῆς ἀρχαιότητος καὶ οἱ μάλιστα αὐτὴν θαυμάζοντες, ὡσεὶ αὕτη καὶ ἀναιδῶς ψεύδεται καὶ ποιητικῆς αἰσθήσεως καὶ κρίσεως καὶ νοήσεως στερεῖται. Ὁ δὲ ταῦτα ἀναγινώσκων νομίζει, ὅτι οὐ πρόκειται ἤδη περὶ τοῦ ποιητικοῦ λαοῦ τῶν ἀρχαίων Ἑλλήνων, τοῦ περὶ τὴν ποίησιν φιλοσοφήσαντος καὶ τοὺς νόμους αὐτῇ δόντος, ἀλλὰ περὶ λαοῦ ψευδολόγου, ἀναισθήτου καὶ ἀμοίρου νοήσεως καὶ κρίσεως. Διὰ ταῦτα πρὸς τε συμπλήρωσιν τούτου τοῦ βιβλίου καὶ παρασκευὴν τῶν δύο ἑπομένων ἀναγκαῖον ἐνομίσαμεν, ὅπως βραχεῖάν τινα ἀπόκρισιν πρὸς τὰ μεγάλα καὶ πολύπλοκα ταῦτα ζητήματα δῶμεν.

Ἀλλ' ὄντως βαθυτάτην αἰσθανόμεθα λύπην ἀναγκαζόμενοι, ὅπως περὶ τοιούτων ζητημάτων ἀποφανθῶμεν. Διότι τὰ φιλολογικὰ ζητήματα κακῇ τύχῃ οὐχ ὁμοιάζουσι πρός τε τὰ φυσικὰ καὶ μαθηματικά, ἐν οἷς ὁ ἐρευνητὴς τῆς μιᾶς ἢ τῆς ἑτέρας λύσεως τοῦ ζητήματος ἄφροντις ἀναδιφεῖ ἁγνὴν καὶ καθαρὰν τὴν ἀλήθειαν. Καὶ εἰ οἱ τῆς ἑσπερίας Εὐρώπης φιλολόγοι ἔν τισιν ἁλίσκονται συχνάκις εὐμενέστερον ἢ δυσμενέστερον πρὸς τὴν μίαν ἢ τὴν ἑτέραν λύσιν ἔχοντες, ἴσως τοῦτο εἰς εὐγενεστέρας ἀφορμὰς ἀποδίδοται. Εἴ τις ὅμως Ἕλλην φιλολόγος καλεῖται, ὅπως περὶ ἐθνικοῦ ζητήματος ἀποφανθῇ, ὀφείλει προσέχειν τὸν νοῦν, ἵνα μὴ προστριβῇ αὐτῷ ὁ μῶμος, ὅτι ἐν αὐτῷ ἡ πρὸς τὴν πατρίδα ἀγάπη μείζων ἐστὶ τῆς πρὸς τὴν ἀλήθειαν. Ἀλλ' ἔτι μείζων ἀποβαίνει ἡ λύπη ἡμῶν ἀναλογιζομένων, ὅτι οἱ ἡμέτεροι λόγοι ἀφορῶσι τὸν μέγαν ἄνδρα, τὸν ἐν τοῖς πρώτοις τοὺς νόμους τῇ ἡμετέρᾳ ἐπιστήμῃ δόντα. Ἀλλὰ τῷ μὲν ἀνδρὶ ὁμολογητέα ἡ εὐγνωμοσύνη, ὅμως προτιμητέα ἡ ἀλήθεια. Διότι κατὰ τὸν θεῖον Πλάτωνα „Ἀλλ' οὐ γὰρ πρό γε τῆς ἀληθείας προτιμητέος ἀνήρ, ἀλλ', ὃ λέγω, ῥητέον“ 1).

Ὁ μέγας Wolf 2) *ἐν τοῖς Προλεγομένοις θέλων διασεῖσαι τὰς περὶ Ὁμήρου τῆς ἀρχαιότητος μαρτυρίας ἐπαναλαμβάνει τὸ γνωστὸν τοῦ Πλινίου χωρίον* „Mirum est, quo procedat Graeca credulitas: nullum tam impudens mendatium est, quod teste careat.“ *δηλαδή, „Θαυμαστόν ἐστι, ποῦ προβαίνει ἡ ἑλληνικὴ εὐπιστία· οὐδὲν τοσοῦτον ἀναιδὲς ψεῦδός ἐστιν, ὅπερ στερεῖται μάρτυρος.“ Οἱ Ῥωμαῖοι τῇ ἀληθείᾳ εἶχον πολλὰς ἀρετὰς καὶ ἐν τοῖς πρώτοις τιμῶμεν τὴν* virtutem *καὶ* gravitatem *αὐτῶν, δι' ὧν τοῦ τότε γνωστοῦ κόσμου ἦρξαν, ἀλλ' εἶχον (οἵ γε ἐπιφανέστεροι τούτων) καὶ τὴν κακίαν, ὅτι τοὺς αὐτῶν διδασκάλους ἔψεγον ἐνίοτε καὶ ἐν ζητήμασιν, ἐν οἷς οὗτοι οὐδέποτε δόκιμοι ἐγένοντο. Διὰ τοῦτο ἡ μαρτυρία αὐτῶν ἴσως ἔχει κῦρός τι ἐν ζητήμασι τῆς πολεμικῆς. Ἐν τοῖς ζητήμασιν ὅμως*

---

1) *Πολιτ.* 595 C. 2) Prolegom. ad Homer *σελ.* 49.

τῆς ἀληθείας καὶ τοῦ ψεύδους οὐκ ἐγένοντο ἐπιφανεῖς. Διότι οὗτοι εἶχον τοσαύτην credulitatem, *ὥστε ἀβασανίστως ἐδέξαντο τὰ εὑρημένα ὑπὸ τῶν Ἑλλήνων, οἵτινες ἐκ τοῦ χάους τὴν ἀλήθειαν ἐδημιούργησαν καὶ ἐκ τοῦ σκότους αὐτὴν ἐξήγαγον. Πόσον δὲ σκολιά ἐστιν ἡ ὁδὸς ἡ εἰς τὴν ἀλήθειαν ἄγουσα, καὶ ποσάκις ὁ θηρευτὴς ταύτης προσκρούει, μόνον οἱ τὴν ὁδὸν ἐκείνην διαδραμόντες ἐννοοῦσιν. Ἴσως πολλοὶ τῶν ἀρχαίων Ἑλλήνων εἶπον ψεύδη, καὶ ἄλλοι ταῦτα ἐπίστευσαν. Ταῦτα ὅμως ἐλέγχουσι προσκρούσεις καὶ καταπτώσεις τῶν θηρευτῶν τῆς ἀληθείας, ἡ δὲ πρὸς τὰ ψεύδη πίστις, μέχρις οὗ εὑρεθῇ ἡ ἀλήθεια, δεικνύει τὴν τοῦ ἑλληνικοῦ κόσμου μέθεξιν τῶν ἔργων τῶν τὴν ἀλήθειαν θηρευόντων. Ὥστε* mirum *ὄντως ἐστίν, ὅτι Ῥωμαῖος ἀνήρ, πολίτης ὀψιμαθοῦς λαοῦ, σεμνύνεται, ὡσεὶ δῆθεν οἱ ὁμόφυλοι αὐτοῦ οὔτε εἶπον, οὔτε ἐπίστευσαν ψεύδη. Ἄλλως πῶς ὁ λαὸς οὗτος ἠδύνατο προσκροῦσαι εἰς ψεύδη, ἀφ' οὗ οὐδέποτε εἰσῆλθεν εἰς τὸ βαθύτατον ἐκεῖνο σκότος, ἐξ οὗ οἱ Ἕλληνες τὴν ἀλήθειαν ἐξήγαγον; Εἰ ὁ ῥωμαϊκὸς λαὸς ἦν ἄξιος τῆς ὑψηλῆς τῶν Ἑλλήνων ἐντολῆς, ἴσως ἡ* romana credulitas *ἦν μείζων τῆς εἰς τοὺς Ἕλληνας ἀποδιδομένης. Ἀλλ' οὗτοι τύχῃ ἀγαθῇ παρέλαβον τὴν ἀλήθειαν οὐχὶ ῥυπαράν, ὡς τὸ πρῶτον γεννᾶται, ἀλλὰ καθαρὰν καὶ λευκήν, ὡς ἔδειξε ταύτην ὁ Σταγειρίτης.*

Διὰ ταῦτα οὐκ ἐννοοῦμεν τὴν τοῦ μεγάλου Wolf *εὐπιστίαν εἰς τοὺς ψόγους τοῦ Ῥωμαίου. Ἐνόμισεν ἆρά γε ὁ ἀνήρ, ὅτι διὰ τῆς ἀρχῆς ταύτης κερδίζει τι πρὸς λύσιν τοῦ ὁμηρικοῦ ζητήματος. Τῇ ἀληθείᾳ οὐχί. Διότι αὐτὸς ὁ* Wolf *τὴν αὐτοῦ θεωρίαν ἐπὶ Ἑλλήνων μαρτύρων κατὰ τὸ πλεῖστον στηρίζει. Εἰ δ' ἕκαστον ἀναιδὲς ψεῦδος ἔχει Ἕλληνα μάρτυρα, οὔτε τὸ οἰκοδόμημα αὐτοῦ ἐστιν ἑδραῖον, οὔτε συνήγορος ψευδομαρτύρων ὤφειλε γενέσθαι. Ἀλλ' ἴσως οὐ πάντες οἱ μάρτυρες ψεύδονται. Τί ὅμως τὸ τοῦ ψεύδους κριτήριον, καὶ τίς ἡ λυδία τῆς ἀληθείας λίθος; Ἡ κριτικὴ δυστυχῶς, ὡς δὴ ἐπὶ τοῦ ὁμηρικοῦ ζητήματος ἐγένετο, ὁμοιάζει πρὸς ναῦν κατὰ τὴν βούλησιν τοῦ πηδαλιούχου ἰθυνομένην. Διότι τῇ αὐτῇ κριτικῇ χρῶνται οἱ ἄπειρους καὶ ἐκ διαμέτρου διαφόρους θεωρίας περὶ τούτου*

τοῦ ζητήματος ἐκφράζοντες, ὡς τῇ αὐτῇ νηὶ χρῶνται οἱ ἄπειρα καὶ διάφορα πελάγη διαπλέοντες. Ἕκαστος παρατηρεῖ, ὅτι τοιαῦται ἀρχαὶ ἄγουσιν ἡμᾶς εἰς τὴν ἐχθρὰν τῆς ἐπιστήμης σκέψιν.

Ἀλλ' ἡ πρὸς τὸν Ὅμηρον πίστις οὐκ ἔστιν ἀναιδὲς ἑνὸς μάρτυρος ψεῦδος, ἀλλὰ κοινὴ σύμπαντος τοῦ ἑλληνικοῦ κόσμου ὁμολογία. Ἐνταῦθα δὴ ἐγείρεται τὸ ζήτημα, εἰ ἄρα καὶ αὐτὸς σύμπας ὁ ἑλληνικὸς κόσμος τὸν αὐτοῦ ποιητὴν ἔκρινε, καὶ εἰ ἡ τούτου μαρτυρία κῦρός τι ἔχει. Ὁ φιλόμηρος Nitzsch πολλαχοῦ τοῦ συγγράμματος Sagenpoesie der Griechen [1]) συμβουλεύει, ἢ ὑπαινίσσεται τὴν ἐθνικὴν (national) τοῦ ζητήματος ἔρευναν. Ἐπειδὴ ὅμως οὐδαμοῦ διαρρήδην ἐξήγησε τοῦτο, ὁ εὐφυέστατος G. Curtius [2]) ἐρωτᾷ, τί σημαίνει τὸ ἐπίθετον; Ἀράγε σημαίνει, ὅτι δύναταί τις νοῆσαι τὰ ὁμηρικὰ ἔπη μόνον, εἰ οὗτος εἰς τὴν σπουδὴν τῆς γλώσσης, τῶν ἠθῶν καὶ τῆς θεωρίας τοῦ ἑλληνικοῦ ἔθνους ἐγκύψει; Ἀλλ' ἀποκρίνεται, ὅτι τοῦτο κοινῶς παραδεδεγμένη ἀρχή ἐστιν, οἱ δ' ἄνδρες, ὡς ὁ Hermann, Lachmann καὶ Welcker, καθ' ὧν ἐνταῦθα κατ' ἐξοχὴν ὁ πόλεμος, βεβαίως οὐ τοσοῦτον ἄμοιροι τῶν σπουδῶν τοῦ ἑλληνικοῦ ἔθνους ἦσαν, ὥστε τοῦτο ὡς νέα ἀρχὴ ἐθνικῆς ἐξετάσεως τοῦ ζητήματος ἠδύνατο θεωρηθῆναι. Ἢ ἀρά γε νοεῖ, ὅτι ὀφείλομεν ὁρᾷν τὰ ὁμηρικὰ ἔπη οὐχὶ δι' ἄλλων ὀφθαλμῶν, ἢ διὰ τῶν ἑλληνικῶν; Ἀλλὰ τοῦτο, ὡς λέγει ὁ σοφὸς Curtius, καὶ ἐξ ἀρχῆς τὴν κριτικὴν ἀποκλείει, καὶ οὐ δύναται νοεῖν τοῦτο ὁ συγγραφεύς, ὅστις ἐν τῇ Ἰλιάδι καὶ ἐν τῇ Ὀδυσσείᾳ αὐτῇ οὐχὶ μικρὸν ἀριθμὸν χωρίων π·χ τὸν τῶν νηῶν κατάλογον, πρὸς ὃν ἡ τῶν Ἑλλήνων αἴσθησις οὐδόλως προσέκρουσεν, ὡς νόθον ἐθεώρησεν [3]). Πρὸς δὲ ἁλίσκει τὸν Nitzsch ὁμολογοῦντα τὴν ἀκρισίαν τῶν Ἀλεξανδρινῶν [4]). Ἢ δυνάμεθα, ἐρωτᾷ αὖθις, ἔν τισι μὲν διαφέρειν πρὸς τὴν τῶν ἀρχαίων κρίσιν, ὅμως ὀφείλομεν τὴν περὶ Ὁμήρου ὡς μεγάλου ποιητοῦ θεωρίαν

1) Σελ. 1, 84, 186 καὶ ἀλλαχοῦ. 2) Andeutungen über den gegenwärtigen Stand der Homerischen Frage, Wien 1854 σελ. 10—12. 3) Σελ. 127. 4) Σελ. 125,

αὐτῶν δέχεσθαι; Ὅμως τοῦτο κατὰ τὸν σοφὸν ἄνδρα οὐδὲν ἄλλο ἐστίν, ἢ ἀπαίτησις. Εἰ οἱ ἀρχαῖοι Ἕλληνες, οἵτινες ἐκεῖνα τὰ ἔπη μᾶλλον ᾐσθάνοντο, ἢ ἔκρινον, οἵτινες μᾶλλον τὰ μέρη ἐθαύμαζον, ἢ τὸ ὅλον νηφαλίως παρετήρουν, ἠδύναντο ἄνευ προσκρούσεως ἀναγινώσκειν καὶ ἀκούειν πολλά, πρὸς ἃ ὁ Ἀρίσταρχος ἤδη προσέκρουσεν, εἰ οὗτοι ἠδύναντο οὕτω διάφορον ποίησιν, ὡς τοὺς ὁμηρικοὺς ὕμνους καὶ τὴν Ἰλιάδα, ὡς ποιήματα ἑνὸς ποιητοῦ θεωρεῖν, ὁρῶμεν, ὅτι ἐν γένει καὶ καθ' ὅλου σαφοῦς καὶ ὡρισμένης ἰδέας τῆς ὁμηρικῆς ποιήσεως ἐστεροῦντο. Πρὸς δέ, ἐξακολουθεῖ λέγων, καὶ ὁ Ἀρίσταρχος ἦν Ἕλλην (Nationalgrieche), ὡς καὶ ὁ τολμηρὸς αὐτοῦ προκάτοχος Ζηνόδοτος, ὅμως καὶ οὗτοι ἀπέρριπτον πολλὰ ὁμηρικὰ χωρία, ἅπερ ὁ Nitzsch ὅλως ὑπερασπίζεται, καὶ οἱ Χωρίζοντες ἦσαν Ἕλληνες, οἵτινες τὴν Ὀδύσσειαν ἀπὸ τοῦ ποιητοῦ τῆς Ἰλιάδος ἀφῄρουν. Τελευταῖον ὁ εὐφυὴς Curtius σκώπτων τὸν Nitzsch λέγει, ὅτι διὰ τῆς ἐπῳδοῦ τοῦ national οἱ κριτικοὶ οὐκ ἀφορίζονται, ἀλλ' ὀφείλουσιν ἐνταῦθα καὶ πανταχοῦ ἀντιποιεῖσθαι τοῦ δικαίου τῇ νέᾳ ἐπιστήμῃ, ὅπως αὕτη κατ' αὐθυπόστατον καὶ ἴδιον τρόπον τὴν ἀρχαιότητα ἐξετάζῃ. Διότι τί ἔμελλεν εἶναι ἡ τῆς γλώσσης ἔρευνα, εἰ ἡ ἐπιστήμη ἐνέμενεν ἐν τῷ τρόπῳ τῆς ἐξετάσεως Ἡρωδιανοῦ τινος; Μάλιστα ἀμφότερα, γλῶσσα καὶ ἡρωικὸν ᾆσμα, ἔχουσι κοινὸν πρὸς ἄλληλα, ὅτι ἀμφότερα ἐν παναρχαίοις καὶ προϊστορικοῖς χρόνοις γεννῶνται. Καὶ ταῦτα μὲν λέγει ὁ ἡμέτερος διδάσκαλος.

Ἐπειδὴ δ' οὗτος καὶ τῶν διασημοτέρων τῆς Γερμανίας σοφῶν τυγχάνει, καὶ ἐπὶ τῆς ὑψηλῆς βαθμῖδος ἵσταται, ἐφ' ἧς οἱ καθήμενοι χαίρουσιν, εἶπον οἱ μαθηταὶ διάφορον γνώμην πρὸς τοὺς διδασκάλους τυγχάνουσιν ἔχοντες, μετὰ θάρρους διανοούμεθα εἰπεῖν ὀλίγα τινὰ εἰς τὰ εἰρημένα ἐρωτήματα ἀναφερόμενα. Τί μὲν προὔθετο εἰπεῖν ὁ πρὸ ὀλίγων ἐτῶν θανὼν Nitzsch, οὐκ οἴδαμεν. Ἴσως δ' ἐνόει, ὅτι ὁ Hermann, Lachmann καὶ Welcker ἱδρύουσι θεωρίας ἐκ διαμέτρου διαφόρους πρὸς τὴν ὑφ' ὁλοκλήρου τοῦ ἑλληνικοῦ λαοῦ παραδοθεῖσαν, καὶ συνεβούλευεν (ἴσως ἐνιαχοῦ

μετὰ φιλολογικοῦ πάθους), ὅπως μὴ ἡ ἐθνικὴ τῶν Ἑλλήνων πεποίθησις τολμηρότατα ἀπορριφθῇ, καὶ ὅτι ἡ τοῦ ὁμηρικοῦ ζητήματος λύσις, οἱαδήποτε καὶ ἂν ᾖ, ὀφείλει, ἵνα ἐπὶ ἑλληνικῶν μαρτυριῶν, καθ' ὅσον ἐφικτόν, ἐρείδηται καὶ ἐξ ἑλληνικῶν μνημείων ἐξάγηται. Ἴσως οὐχὶ ἀδίκως. Διότι τῆς ἐθνικῆς τῶν Ἑλλήνων πεποιθήσεως ἀνατρεπομένης αἱ θεωρίαι τῶν σοφῶν τούτων ἀνδρῶν καὶ μεγάλας ἀντιφάσεις καὶ μείζονας δυσχερείας περιέχουσιν, ἢ ὅσας οὗτοι τὴν πεποίθησιν ἐκείνην ἀνατρέποντες ἀφαιροῦσιν.

Διότι παραδεδεγμένη μὲν ἀρχή ἐστιν, ὅτι, ὅπως ἐννοήσῃ τις τὰ ὁμηρικὰ ἔπη, ὀφείλει εἰς βαθεῖαν σπουδὴν τοῦ βίου τοῦ ἑλληνικοῦ λαοῦ ἐγκύψαι. Ἐν τούτῳ τῇ ἀληθείᾳ, εἴ πέρ τις καὶ ἄλλος, οἱ τρεῖς εἰρημένοι ἄνδρες ηὐδοκίμησαν. Ἀλλ' ἡ ἱστορία τοῦ ἑλληνικοῦ λαοῦ διαιρεῖται εἰς διαφόρους ἐποχάς, καθ' ἃς ὁ βίος ὑπῆρξε διάφορος, ἢ διάφορος ὑπὸ τῶν συγγραφέων τῶν διαφόρων ἐποχῶν παρεδόθη[1]). Ἐπειδὴ δ' ἐκ τῶν ὁμηρικῶν χρόνων οὐδὲν ἄλλο μνημεῖον τοῦ βίου τῶν ἡρώων ἡμῖν περιεσώθη, ἢ τὰ ὁμηρικὰ ἔπη, οὐ δυνάμεθα ἀσφαλῶς κρίνειν τὸν βίον ἐκείνης τῆς ἐποχῆς ἐξ ἑνὸς μόνου μνημείου. Ἀλλὰ καὶ τούτου ὑποτεθέντος, πῶς δυνάμεθα πλεῖστα μέρη τούτων τῶν ἐπῶν νόθα ἀποφαίνεσθαι, ἢ ταῦτα εἰς πολλὰ ᾄσματα διαιρεῖν διὰ μόνην τὴν αἰτίαν, ὅτι περιέχουσιν ἔθιμα ἅπαξ εὑρισκόμενα, ἢ μηδόλως ἐν ἐκείνοις τοῖς χρόνοις ὑπάρχοντα; Παραδείγματος χάριν ὁ Lachmann, ὡς ἐν τῷ τρίτῳ βιβλίῳ ἔσται λόγος, διέσπασε τὰ ἄριστα τῆς Ἰλιάδος μέρη, ὅτι ὁ Ὀδυσσεὺς πολλάκις ἀγορεύει, ὅτι οἱ ἥρωες συχνότερον τρώγουσιν, ὅτι ὁ τῆς Ἑλλάδος οὐρανὸς ἀστράπτει καὶ κεραυνοβολεῖ ἀφειδέστερον καὶ δι' ἀτοπωτέρας τούτων αἰτίας! Τοιαῦται δὲ κρίσεις εἰσὶ προϊόντα οὐχὶ κακῆς φύσεως τοῦ μεγάλου κριτικοῦ τοῦ ἡμετέρου αἰῶνος, ἀλλὰ τῆς στερήσεως

---

1) Νομίζομεν, ὅτι ὁ βίος ὁ παραδοθεὶς ἡμῖν κατὰ τὸ πλεῖστον ὑπὸ ἀττικῶν συγγραφέων οὐκ ἔστι σύγχρονος εἰκὼν ὁλοκλήρου τοῦ ἑλληνικοῦ κόσμου. Διότι οὗτος κατὰ τὸ πλεῖστον ἐξηκολούθει ἔχων τὸν βίον τὸν ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εἰκονιζόμενον. Ἀλλ' οὐ τοῦ παρόντος, ἵνα τοῦτο διὰ πολλῶν παραδειγμάτων ἀποδείξωμεν.

τοῦ δευτέρου τῆς συγκρίσεως ὅρου. Ἐνταῦθα δὲ τοῦ λόγου διατρίβοντες ἐκφράζομεν τὴν ἡμετέραν λύπην, ὅτι τὸ ὁμηρικὸν ζήτημα, καίπερ μυριοτρόπως καὶ ἐν παραβολῇ πρὸς τὴν φιλολογίαν τῶν τε πεπολιτισμένων καὶ βαρβάρων λαῶν ἐξετασθέν, ὅμως ἐλλιπές ἐστι κατὰ τοῦτο. Ἐν τῇ αὐτῇ χώρᾳ, ἐν ᾗ οἵ τε ὁμηρικοὶ ἄνθρωποι ἔζησαν καὶ τὰ ὁμηρικὰ ἔπη ἐποιήθησαν, ζῶσιν ἄνθρωποι τὰ περὶ τόν βίον κατὰ διαδοχὴν παρὰ τῶν ὁμηρικῶν ἐκείνων ἀνθρώπων κληρονομήσαντες. Ἠρευνήθη μέν πως ἡ χώρα ἐκείνη, ἀλλ' ὅμως αἱ ἔρευναι ἐν στενῷ κύκλῳ περιορίζονται, καὶ μόνον γράφονται, σπανιώτατα δὲ ὡς βοηθητικὰ μέσα λαμβάνονται. Καθ' ὅσον δ' οἴδαμεν, αἱ τοιαῦται ἔρευναι οὐδόλως ὑπ' ὄψιν πρὸς λύσιν τοῦ ὁμηρικοῦ ζητήματος ἐλήφθησαν, ἐν ᾧ ἡ ἰνδικὴ ποίησις, τὰ τῶν Σέρβων, Φραγγογάλλων καὶ Γερμανῶν ᾄσματα, οὐ μόνον πρὸς τὰ ὁμηρικὰ ἔπη παρεβλήθησαν, ἀλλὰ καὶ σπουδαίως ἐπὶ τοῦ ἀτυχοῦς ποιητοῦ ἐπέδρασαν. Εἰ δ' ὁ βίος τῶν νεωτέρων Ἑλλήνων πρὸς τὸν ὑπὸ τὸν ὑπὸ τοῦ Ὁμήρου εἰκονιζόμενον παρεβάλλετο, ὁ Lachmann *ἔμελλεν ἰδεῖν, ὅτι καὶ οἱ νεώτεροι ὁπλαρχηγοί, ὅπως τοὺς αὐτῶν στρατιώτας πείσωσι, πολλάκις δημηγοροῦσι καὶ συχνότερον τῶν Ἀκαδημιακῶν τρώγουσιν. Εἰ δ' ὁ κριτικὸς καὶ μέχρι Μεσημβρίας ἀπεδήμει, ἔμελλεν ἰδεῖν, ὅτι ὁ ἑλληνικὸς οὐρανὸς ἀφειδέστερον κεραυνοβολεῖ καὶ ἀστράπτει. Οὐχ ἱκανὴ μόνη ἡ βαθεῖα κρίσις, ἀλλὰ καὶ πάντες καὶ ἀκριβεῖς οἱ τοῦ κρινομένου ὅροι. Παρακαλοῦμεν δὲ τοὺς περὶ τὸ ὁμηρικὸν ζήτημα ἀσχολουμένους, ἵνα καὶ πρὸς τὸ σπουδαιότατον τοῦτο βοήθημα τὴν προσοχὴν αὐτῶν στρέψωσιν. Ἡμεῖς γε, ὁσάκις ὁρῶμεν Ἕλληνα ὁπλαρχηγόν, νομίζομεν, ὅτι ἐπὶ τούτου σελίδα τοῦ ὁμηρικοῦ κειμένου ἀναγινώσκομεν, ἢ ὅτι τὸ πρότυπον, ἐξ οὗ ὁ Ὅμηρος τὸ ἀντίτυπον ἡμῖν ἔδω, ὁρῶμεν.*

Εἶτα ὁ σοφὸς Curtius *καταψηφίζει τῆς ἀρχαιότητος, ὅτι δῆθεν ἡ αἴσθησις αὐτῆς πρὸς πολλὰς ἀντιφάσεις καὶ νόθα χωρία π·χ τὸν κατάλογον τῶν νηῶν οὐ προσέκρουεν. Ἀλλ' αἱ ἀντιφάσεις (δι' ἃς τὰ νόθα χωρία) ἔν γε τοῖς ὁμηρικοῖς ἔπεσι, καὶ εἰ ὄντως ἀπεδείκνυντο, οὐκ ἔχουσι*

μέγα κῦρος, ὡς ἐν τῷ τρίτῳ βιβλίῳ ἔσται λόγος. Εἰς δὲ τὸν κατάλογον τῶν νηῶν ἴσως πολλὰ ὀνόματα (ὡς δὴ καὶ οἱ ἀρχαῖοι τοῦτο παρετήρησαν) οἱ τὰς ἑλληνικὰς πόλεις, φῦλα καὶ οἴκους κολακεύοντες ῥαψῳδοὶ παρενενέβαλον, ὅμως τὸ ὅλον ὡς τὸ γνησιώτερον τῆς Ἰλιάδος μέρος ἐν τῷ οἰκείῳ τόπῳ δεικνύομεν. Πρὸς δὲ οὐδεὶς ποιητής, οὕτως ἀφυεστάτην Μοῦσαν ἠδύνατο ἔχειν, ὥστε ὑπηγόρευσεν αὐτῷ μόνον ξηρὸν ὀνομάτων κατάλογον, ὅν, εἰ μὴ οὗτος ἦν μέλος ὅλου, ἡ ἀκοὴ καὶ τῶν ἀμουσοτέρων ἀκροατῶν οὐκ ἠνείχετο. Αἱ δ' ἀντιφάσεις, ἃς οἱ περὶ τὸν Lachmann εὑρίσκουσιν, ἐν τῷ τρίτῳ ἡμῶν βιβλίῳ λειαίνονται, καὶ τὰ αἴτια, δι' ἃ τὰ ὁμηρικὰ ἔπη εἰς τοιαύτας ὑπέκειντο, καταδεικνύονται. Ἐνταῦθα μόνον τὰς περιπετείας αὐτῶν ὀνομάζομεν. Διότι αὐτὸς ὁ Wolf ἀποφαίνεται, ὅτι τὸ ὁμηρικὸν κείμενον τὸ ὑπὸ Ἀλεξάνδρου τοῦ μεγάλου ἀναγνωσθὲν οὐκ ἔχομεν ἤδη. Ἀλλά, καὶ εἰ αἱ ἀντιφάσεις, ἀνωμαλίαι καὶ τὰ παραπλήσια ἐπὶ τῶν κλασικῶν τῆς Ἑλλάδος χρόνων ὑπῆρχον, οἱ ἀρχαῖοι οὐκ εἶχον οὕτως ἀμβλεῖαν τὴν ὅρασιν, ὥστε ταῦτα οὐχ ἑώρων. Διότι μνημονεύονται πλεῖστα ἀπολεσθέντων συγγραμμάτων ὀνόματα, ἐξ ὧν δῆλον, ὅτι περὶ ἀντιφάσεων μέγας λόγος ἐγίνετο. Εἰ δ' ὁ ἱστορικὸς Ἡρόδοτος ἐκ τῶν ἀντιφάσεων κρίνει περὶ τῆς νοθείας, ὡς εἴρηται, τῶν Κυπρίων, πόσας ἆρά γε ἀντιφάσεις ἀνεκάλυπτον οἱ σοφισταὶ καὶ ὁ Σωκράτης, οὗ ἡ μεγίστη τῆς σοφίας μοῖρα ἐν τῷ ἀνακαλύπτειν ἀντιφάσεις ἔκειτο; Οἱ περὶ τὸν Πεισίστρατον, οἱ τὰ τοῦ Ὁμήρου ἔπη εἰς τὴν πρώτην μορφὴν ἐπαναγαγόντες, οὐκ ἐξήλειψαν ἀντιφάσεις, καὶ τὰ ἔπη ἐλείαναν; Τί ἄλλο ἐσκόπουν ἡ τοῦ Ἀντιμάχου, Εὐριπίδου καὶ Ἀριστοτέλους διόρθωσις, ἢ τὴν ἀπαλλαγὴν τῶν ἀντιφάσεων; Ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου τὸ τοῦ διορθωτοῦ ἔργον μέχρι γραμματοδιδασκάλων κατέβη, ὧν τις λέγει τῷ Ἀλκιβιάδῃ, ὅτι τὸν Ὅμηρον διώρθωσεν [1]).

1) Πλούταρχος ἐν βίῳ Ἀλκιβιάδου σελ. 194 D. „Ἐπέστη (ὁ Ἀλκιβιάδης) γραμματοδιδασκάλῳ καὶ βιβλίον ᾔτησεν ὁμηρικόν. Εἰπόντος δὲ τοῦ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου, κονδύλῳ καθικόμενος αὐτοῦ παρῆλθεν. Ἑτέρου δὲ φήσαντος ἔχειν Ὅμηρον ὑφ' αὑτοῦ διωρθωμένον, εἶτ', ἔφη,

Οὗτος δὲ νομίζει, ὅτι ὁ διορθωτὴς ἱκανός ἐστι νέους παιδεύειν. Εἰ δ' οἱ ἀρχαῖοι ἐν τοῦ ὁμηρικοῖς ἔπεσιν οὐ προσέκρουον, διὰ τί ταῦτα ἐλείαινον; Ἀλλ' ἐν τῷ ἑπομένῳ βιβλίῳ φέρονται πλεῖστα παραδείγματα, ἐξ ὧν δῆλον γίνεται, ὅτι καὶ οἱ ἀρχαῖοι πλείστας ἀντιφάσεις εὕρισκον. Ἀλλὰ δύναταί τις εἰπεῖν, ὅτι οἱ σοφισταί, φιλόσοφοι καὶ οἱ λοιποὶ τῆς ἀρχαιότητος ἄνδρες οὐχ εὕρισκον τοσαύτας καὶ τοιαύτας ἀντιφάσεις, ὅσας καὶ οἵας οἱ περὶ τὸν Lachmann. Εἰ τοῦτο ἀληθές, πάνυ φυσικόν ἐστιν. Διότι οἱ νεώτεροι κριτικοὶ τὸν βίον τῶν ἡρώων κατὰ τὸν γερμανικὸν κρίναντες ὤφειλον εὑρεῖν τοσαύτας ἀντιφάσεις καὶ τοσαῦτα ἄλογα, ὅσα Ἕλλην κριτικός, εἰ τὸν Göthe κατὰ τὸν ἑλληνικὸν βίον ἔκρινεν.

Πρὸς τούτοις ὁ σοφὸς Curtius λέγει, ὅτι τοὺς Ἀλεξανδρινοὺς κριτικοὺς ἔν τισιν ἀκρίτους ἀποδείξαντες οὐ δυνάμεθα δέξασθαι τὴν περὶ Ὁμήρου αὐτῶν δόξαν. Ἀλλὰ πρῶτον οὐ μέγα κοινὸν μεταξὺ τῆς τῶν Ἀλεξανδρινῶν κριτικῆς καὶ τῆς περὶ Ὁμήρου τῶν ἀρχαίων παραδόσεως εὑρίσκομεν. Εἶτα, ἂν παραβάλωμεν τὴν τῶν Ἀλεξανδρινῶν κριτικὴν πρὸς τὴν Λαχμαννιανὴν καὶ τὴν τῶν ὀπαδῶν αὐτοῦ, ἡμεῖς γε τῇ ἀληθείᾳ εὑρίσκομεν τοσαύτην διαφοράν, ὅση ὑπάρχει μεταξὺ τοῦ βίου τῶν Ἀλεξανδρέων ἀφ' ἑνός, καὶ τῶν κατοίκων τῆς Βιέννης, ἢ τοῦ Βερολίνου ἀφ' ἑτέρου ἐν παραβολῇ πρὸς τὸν ὁμηρικόν. Καὶ ἐκεῖνοι ἥμαρτον, καὶ οὗτοι ἁμαρτάνουσι καὶ μέχρι τοῦδε οὐ παύονται τὰ αὐτὰ πάσχοντες. Διότι οὐ παραβάλλουσι τοὺς ὁμηρικοὺς ἀνθρώπους πρὸς λαοὺς βίον ὅμοιον πρὸς ἐκείνους διάγοντας, ἀλλὰ πρὸς τοὺς δημότας τῆς αὑτῶν ἐποχῆς. Παραδείγματος χάριν ὁ σοφὸς Bonitz [1]) τέμνει τὸν ποιητήν, ὅτι ἡ Πηνελόπη, ἐν οἱᾳδήποτε ὥρᾳ τῆς ἡμέρας καὶ ἂν τύχῃ, κοιμᾶται, καὶ ὅτι ὁ Ὀδυσσεὺς ἀπαύστως

γράμματα διδάσκεις Ὅμηρον ἐπανορθοῦν ἱκανὸς ὤν, καὶ οὐχὶ τοὺς νέους παιδεύεις." Παράβαλ. Ἀποφθέγμ. 186 D. Αἰλιαν. Ποικίλ. Ἱστορ. XII, 38.

1) Ueber den Ursprung der Homer. Gedichte σελ. 32.

αἰτεῖ καὶ λαιμάργως τρώγει. Ἀλλὰ τί φυσικώτερον λυπουμένῃ καὶ τῶν ἐλπίδων στερουμένῃ γυναικί, ἢ ἄφθονος καὶ ἄτακτος ὕπνος; Τί δὲ συνηθέστερον ἐπαίτῃ, ἢ ἐπαίτησις καὶ λαιμαργία; Τῇ ἀληθείᾳ ὁ ἄκριτος Ἀρίσταρχος οὐδέποτε τοιαύτας κρίσεις ἐποίησεν. Μόλις δὲ δύναταί τις εἰπεῖν τοῦτο περὶ τοῦ τολμηροῦ Ζηνοδότου, ὅστις ἐνίοτε διὰ τὸ ἀπρεπὲς ἐξήλειφε στίχους. Καὶ ὁ Βιενναῖος καὶ ὁ Ἀλεξανδρινὸς τὰ ὁμηρικὰ ἔπη ἔκρινον, ὡσεὶ οὗτοι censores *τῶν ὁμηρικῶν ἀνθρώπων ἐξελέγοντο. Οἱ Ἀλεξανδρινοὶ (ὅ γε Ζηνόδοτος, οὗ τὰ ἁμαρτήματα περιέστειλεν ὁ Ἀρίσταρχος) τῇ ἀληθείᾳ ἔπρασσον ἄδικα, ὅτι χεῖρα ἐπὶ τῶν ὁμηρικῶν ἐπῶν ἐπέβαλλον, ἀλλ' οἱ νεώτεροι τὰ μέγιστα εἰς αὐτὸν τὸν ποιητὴν ἀδικοῦσιν. Διότι οἱ τῶν μικρῶν ᾀσμάτων θηρευταί* (Kleinliederjäger), *ὡς δὴ προσφυῶς ὀνομάζονται, διατρέχουσι τὰ ὁμηρικὰ ἔπη, ὅπως θῦμά τι ἀνιχνεύσωσι καὶ διὰ τοῦτο σεμνύνονται! Τῷ δὲ πρώτῳ κυρίῳ ὀνόματι, ὃ κατὰ τύχην εὑρίσκουσι, κατάληξιν ὁμοίαν τῇ τῆς Ἰλιάδος ἢ τῇ τῆς Ὀδυσσείας προστιθέντες ἔχουσιν ἐν ὄνυξι τὸ θῦμα ἢ Πατροκλειάδα, ἢ Θετιάδα, ἢ Ἀχιλληΐδα, ἢ Τηλεμαχίδα καὶ ἐν γένει τὰ δυστυχῆ ὁμηρικὰ ἔπη εἰς τοσαῦτα μέλη δι' ἀνεπιτηδείων ὀνύχων κατασπαράσσουσιν, ὅσα κύρια ὀνόματα περιέχουσιν! Αὕτη ἐστὶν ἡ νέα ἐπιστήμη, ἧ τοῦ δικαίου ὁ σοφώτατος* Curtius *ἀντιποιεῖται.*

Προσέτι ὁ σοφὸς ἀνήρ, ὡς εἴδομεν, λέγει, ὅτι οἱ Ἕλληνες μᾶλλον ᾐσθάνοντο, ἢ ἐνόουν καὶ νηφαλίως τὴν ὁμηρικὴν ποίησιν ἔκρινον. Ἆρά γε ἡ ἀκρισία καὶ ἄνοια τῶν ἀρχαίων ἐν μόνῃ τῇ ὁμηρικῇ ποιήσει περιωρίζετο, ἢ ἐν παντί, ὅπερ τῇ τε κρίσει καὶ νοήσει ὑποβάλλεται; Πότερον νοεῖ ὁ Curtius, *οὐκ οἴδαμεν. Διότι τὸ μὲν πρῶτον οὐ δύναται νοεῖν ὁ σοφὸς ἀνήρ, ὅστις οὔτε τοῦ Θεαγένους, οὔτε τοῦ Ξενοφάνους, οὔτε τοῦ Δημοκρίτου, οὔτε τοῦ Μητροδώρου, οὔτε τοῦ Στησιμβρότου, οὔτε τοῦ Γλαύκωνος, οὔτε τῶν σοφιστῶν, οὔτε τοῦ μεγάλου Ἀριστοτέλους, οὔτε τοῦ Ζηνοδότου, οὔτε τοῦ Ἀριστοφάνους, οὔτε τοῦ Ἀριστάρχου, οὔτε τῶν Μόχθων, οὔτε τῶν Χαλκεντέρων, οὔτε μυρίων ἄλλων ἀμνήμων ἐγένετο. Ἀλλ' οὔτε τὸ δεύτερον. Διότι*

ὁ ἀνὴρ ἐν τοῖς μάλιστα τὴν ἑλληνικὴν ἱστορίαν ἐμελέτησεν. Εἰ καὶ οἱ ἀρχαῖοι τὸν Ὅμηρον πολλῷ κρεῖττον ἐνόουν, ἢ πλεῖστοι Γερμανοὶ τὸν Schiller καὶ Göthe, ὅμως ἔνθους ἡ νεολαία ἠκροᾶτο Μητροδώρου τοῦ Λαμψακηνοῦ, Στησιμβρότου τοῦ Θασίου, τοῦ Γλαύκωνος καὶ πλείστων ἄλλων. Ὁ μὲν Σωκράτης λέγει „καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ, τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶν, καὶ τὴν τούτου διάνοιαν ἐκμανθάνειν, μὴ μόνον τὰ ἔπη, ζηλωτόν ἐστιν" 1), ὁ δὲ Ἴων τεταμένοις ὠσὶν ἠκροᾶτο τῶν περὶ Ὁμήρου τι λεγόντων 2).

Ἀλλ' ὁ σοφὸς Curtius ἀρνεῖται τοῖς ἀρχαίοις τὴν νόησιν τῆς ὁμηρικῆς ποιήσεως. Διότι τοὺς ὕμνους τῷ ποιητῇ τῆς Ἰλιάδος ἀπέδιδον. Οἱ ἀδαέστεροι τῶν Ἑλλήνων διὰ τὴν ἀλλαχοῦ εἰρημένην αἰτίαν ἐπλανῶντο μέν, ἀλλ' ἐν τῇ πλάνῃ οὐκ ἐνέχεται σύμπασα ἡ ἀρχαιότης, ὡς οὐκ ἐνέχεται σύμπασα ἡ ἐποχὴ ἡμῶν ἐν τούτῳ, ὅτι πολλοὶ κριτικοὶ καὶ ταῦτα διάσημοι ἔτι καὶ νῦν ὑπερασπίζονται τὴν γνησιότητα πολλῶν συγγραμμάτων πρόδηλα τῆς νοθείας τεκμήρια ἐμφαινόντων. Πρὸ μιᾶς δὲ γενεᾶς σύμπας ὁ τῶν κριτικῶν κόσμος πολλοὺς διαλόγους τοῦ Πλάτωνος καὶ πολλὰ συγγράμματα τοῦ Κικέρωνος ὡς γνήσια ἐνόμιζεν, ἅπερ οἱ νῦν κριτικοὶ νόθα ἀποδεικνύουσιν. Διὰ τοῦτο ὅμως οἱ ἀρχαιότεροι κριτικοί, εἰ μὴ δι' ἄλλα αἴτια, οὐκ ἦσαν ἀνεπιτήδειοι τοὺς εἰρημένους συγγραφεῖς νοεῖν. Πρὸς δὲ οἱ ὕμνοι πρὸς τὴν Ἰλιάδα παραβαλλόμενοι οὐ διαφέρουσι τοσοῦτον, ὅσον τὰ διάφορα τοῦ Μάρωνος ποιήματα πρὸς ἄλληλα. Ὑποβολιμαῖα δὲ ποιήματα οὐ καταβροχθίζουσι τὸν ποιητήν, ὡς τοῦτο οὐ συμβαίνει τοῖς πτηνοῖς, οἷς ὑποβολιμαῖα ᾠὰ ὑποβάλλονται.

Ὁ Curtius τὴν νόησιν καὶ κρίσιν τοῦ Ὁμήρου τοῖς Ἕλλησιν ἀρνούμενος ὁμολογεῖ, ὅτι ἐκεῖνοι τὸν ποιητὴν αὐτῶν ᾐσθάνοντο. Ἀλλ' αἴσθησις, νόησις καὶ κρίσις οὐκ ἔχουσι κοινόν τι πρὸς ἄλληλα; Ὁ Lachmann, καίπερ ὑπὲρ πλεί-

---

1) Πλάτ. Ἴων 530. 2) Αὐτόθι 532 „Ἐπειδὰν δέ τις περὶ Ὁμήρου μνησθῇ, εὐθύς τε ἐγρήγορα καὶ προσέχω τὸν νοῦν καὶ εὐπορῶ, ὅ, τι λέγω.

στους τῶν φιλολόγων τὰ ὁμηρικὰ ἔπη ἴσως νοήσας, ὅμως οὐκ ἠδύνατο εἰπεῖν, ὅτι ᾐσθάνετο αὐτά, ὡς οἱ ἀρχαῖοι Ἕλληνες. Διότι οἱ ποιηταὶ μόνον τοῖς αὐτῶν ὁμογλώσσοις ποιοῦσιν, οἱ δ᾽ ἀλλόγλωσσοι, οὕτως εἰπεῖν, μόνον τοῦ φλοιοῦ τῶν ξενικῶν ποιημάτων καρποῦνται. Ὁ ἀρχαῖος Ἕλλην ἐν τοῖς ὁμηρικοῖς ἔπεσι περὶ Ὀλύμπου ἀναγινώσκων ἑώρα συνάμα αὐτόν, ἀναγινώσκων περὶ Ἴδης ἔβλεπε τὴν κορυφὴν αὐτῆς κρυπτομένην ἐν τοῖς νέφεσιν, ἀφ᾽ ὧν ὁ Ζεὺς ἐκεραυνοβόλει, ἀναγινώσκων περὶ τοῦ βίου τῶν ἡρώων παρετήρει αὐτὸν πέριξ, καὶ ἐν γένει τὸν Ὅμηρον μελετῶν μέγα μέρος ἑαυτοῦ ἀνεγίνωσκεν. Ὁ Lachmann ὅμως, ὅτε ἦν ἐν τῷ βίῳ, ἴσως εὐτυχῆ ἑαυτὸν ἐνόμιζεν, εἰ τὰς ὁμηρικὰς λέξεις ἐκ τοῦ λεξικοῦ ἐγίνωσκεν. Ἡ ὅλη αἴσθησις ἔν τε τῷ λεξικῷ καὶ τῷ ὁμηρικῷ κειμένῳ περιωρίζετο. Οὔτε Ὄλυμπος, οὔτε Ἴδη, οὔτε βίος ὁμηρικὸς πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ περιεστρέφετο. Ἀφ᾽ οὗ λοιπὸν οἱ περὶ τὸν Lachmann τοσούτων στεροῦνται, ὅπως τὸν Ὅμηρον αἰσθάνωνται, ἡ δὲ κρίσις ἄνευ τῆς αἰσθήσεως ἡμαρτημένη ἀποδείκνυται, πῶς τολμῶσι κατασπαράξαι τὸ ὁμηρικὸν σῶμα, οὗ οὔτε τοὺς πόνους, οὔτε τὰς ἀλγηδόνας ἡ καρδία αὐτῶν αἰσθάνεται;

Ἀλλ᾽, εἰ οἱ ἀρχαῖοι ἔκρινον καὶ ᾐσθάνοντο τὰ μέρη τῶν ὁμηρικῶν ἐπῶν, ἐνόουν ἆρά γε αὐτὰ καὶ ὡς ὅλα; Πολλαὶ μαρτυρίαι καὶ μεγάλα τεκμήρια βεβαιοῦσι τοῦτο. Δυστυχῶς ἀπωλέσθησαν πλεῖστα τῶν ἀρχαίων συγγράμματα, ἅπερ μόνον ἐκ τῆς ἐπιγραφῆς γινώσκομεν. Διότι τί ἄλλο σημαίνει ἡ μεγάλη τῶν συγγραμμάτων πληθύς, Περὶ Ἰλιάδος, Περὶ Ὀδυσσείας, ἢ ὅτι ὁ ἑλληνικὸς λαὸς τὰ ὁμηρικὰ ἔπη καὶ ὡς ὅλα ἐξήταζεν. Ἀλλὰ καὶ τὰ μικρὰ λείψανα, ὧν ὁ χρόνος ἐφείσθη, μαρτυροῦσι τοῦτο. Ὁ Δημόκριτος παρὰ Χρυσοστόμῳ[1]) λέγει, ὅτι „Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων.“ Ὁ μὲν Nitzsch[2]) ἀποφαίνεται, ὅτι ὁ κόσμος

1) Λόγ. 53. 2) Die Sagenpoesie der Griechen σελ. 329 „Das κόσμον ἐτεκτήνατο „schuf bildnerisch ein harmonisches Ganze“, belobt die Composition ganzer Epopeen . . . “

τῷ ὅλῳ τῶν ἐπῶν ἀποδοτέος, ὁ δὲ Curtius [1]), ὅτι μόνον τοῖς στίχοις, μάρτυρας ἐπικαλούμενος τόν τε Σόλωνα [2]) καὶ Παρμενίδην [3]), ὧν τὰ ἀποσπάσματα οὐχ ὑπαινίσσονται τὸν κόσμον τοῦ ὅλου. Ἡμεῖς γε νομίζομεν, ὅτι ὁ κόσμος ἀναφέρεται εἴς τε τὸ ὅλον καὶ εἰς τὰ μέρη. Διότι, εἰ ὁ Δημόκριτος μόνον τὸν κόσμον τῶν στίχων ἐνόει, περιττὴ ἦν ἡ θεάζουσα φύσις. Καὶ δὴ οἱ ἄνδρες, ὧν μνημονεύει ὁ σοφὸς Curtius, τοὺς αὐτῶν στίχους ἄνευ θεαζούσης φύσεως ἐποίησαν, καὶ περὶ αὐτῶν οὐδεὶς εἶπεν, ὅτι ἐτεκτήναντο, ἐξ οὗ ἰδίως ἐξάγεται ἡ ἔννοια τοῦ τεκτονικοῦ ὅλου ἐν τῷ Δημοκριτείῳ χωρίῳ. Πρὸς δὲ ὁ Ἀριστοτέλης ἑρμηνεύει τὸν Δημόκριτον. Διότι τὴν ἑνότητα τῆς Ἰλιάδος ἐπαινῶν ὀνομάζει τὸν Ὅμηρον θεσπέσιον. Ἐπὶ δὲ Σωκράτους ὁ τοῦ Εὐδίκου πατὴρ Ἀπήμαντος λέγει „ὅ ἡ Ἰλιὰς κάλλιον εἴη ποίημα τῷ Ὁμήρῳ, ἢ ἡ Ὀδύσσεια, τοσούτῳ δὲ κάλλιον, ὅσῳ ἀμείνων Ἀχιλλεὺς Ὀδυσσέως εἴη· ἑκάτερον γὰρ τῶν ποιημάτων, τὸ μὲν εἰς Ὀδυσσέα ἔφη πεποιῆσθαι, τὸ δ᾽ εἰς Ἀχιλλέα“ [4]). Τὸ χωρίον τοῦτο δείκνυσι προσέτι, ὅτι σπέρματα χωρισμοῦ πρὸ τοῦ Ξένωνος ἤδη ὑπῆρχον. Ὁ δὲ Ἀριστοτέλης ὀνομάζει ἐν Σοφιστικοῖς ἐλέγχοις τὴν ὁμήρου ποίησιν κύκλον „ὁ δέ, ὅτι ἡ Ὁμήρου ποίησις σχῆμα διὰ τοῦ κύκλου ἐν τῷ συλλογισμῷ“ [5]). Ἂν δ᾽ ἀποκόψωμεν μέρη τινά, ὑπολείπεται ἡμικύκλιον ἢ τόξον. Ἀλλὰ περὶ τοῦ Σταγειρίτου πραγματευόμεθα ἐκτενῶς ἐν τῷ ἑπομένῳ βιβλίῳ. Ἐκεῖ δὲ δειχθήσεται, ὅτι οὗτος οὐ μόνον ἀκριβῶς τὴν ἑνότητα τῶν ὁμηρικῶν ἐπῶν ἐξήτασεν, ἀλλ᾽ ὅτι ἦν καὶ ὁ πρῶτος Kleinliederjäger. Ἐθήρευσε μὲν ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν, ἀλλ᾽ οὐδεμίαν λείαν εὗρεν, ἐν ᾧ ἐν τοῖς ποιήμασι τοῦ ἐπικοῦ κύκλου πλουσιωτάτην. Ὅτι δ᾽ οἱ ἀρχαῖοι τὰ τοῦ Ὁμήρου ἔπη καὶ ὡς ὅλα ἔκρινον, τεκμαιρόμεθα καὶ ἐκ τού-

---

1) Andeutungen über den gegenwärtigen Stand der Homerischen Frage σελ. 22. 2) Ἐλεγ. Σαλ. στίχ. 2

Κόσμον ἐπέων ᾠδὴν ἀντ᾽ ἀγορῆς θέμενος

Ἀπόσπ. Παρμενίδ.

μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.

3) Περὶ Ποιητ. XXIII, 3. 4) Ἱππ. Ἐλάττ. 363 C. 5) I, 10, 2.

του. Ἐπειδὴ ἡ Δολώνεια ἧττον μετὰ τῶν λοιπῶν μερῶν τῆς Ἰλιάδος συνδεδεμένη φαίνεται, ἐνόμισάν τινες τῶν ἀρχαίων, ὅτι ὁ Ὅμηρος τὴν ῥαψῳδίαν ταύτην ἰδίᾳ ἐποίησεν, καὶ ὅτι βραδύτερον ὑπὸ τοῦ Πεισιστράτου παρενετέθη[1]).

Εἴ τις ὅμως λέγει, ὅτι ὑπὸ τῶν ἀρχαίων περὶ τῆς ἑνότητος καὶ τοῦ ὅλου τῶν ὁμηρικῶν ἐπῶν οὐκ ἐλέχθησαν τοσαῦσα, ὅσα ὑπὸ τῶν νεωτέρων, οὐκ ἀντιλέγομεν μέν, ὅμως παρατηροῦμεν, ὅτι οὐδὲ ὤφειλον. Διότι ἐν ἐκείνοις τοῖς χρόνοις τῶν ἀποδείξεων προχείρων οὐσῶν καὶ τῶν ὅπλων ἑτοίμων, ἡ σταυροφορία τῶν θηρευτῶν οὐκ ἐτόλμα εἰς τοιαύτην λείαν ἐξελθεῖν. Οὐκ ἔλεγον δὲ τοσαῦτα καὶ τοιαῦτα περὶ τῆς ἑνότητος τῆς Ἰλιάδος καὶ Ὀδυσσείας διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ οἱ Γερμανοὶ οὐ λέγουσι περὶ τῶν ποιημάτων τοῦ Schiller καὶ Göthe, ὅσα περὶ Ὁμήρου. Τοῦτο πάνυ φυσικόν ἐστιν. Οὐδεμία ἐπίθεσις, μικρὰ ἢ οὐδεμία ἄμυνα.

Ἐκ τῶν εἰρημένων δῆλον γίνεται, πόσον ἡμαρτημένη ἐστὶν ἡ τοῦ W. Müller[2]) κρίσις, ὅτι δῆθεν πρῶτος ὁ Ἀριστοτέλης τὴν ἰδέαν τῆς ἑνότητος καὶ τοῦ ὅλου τῶν δύο ἐπικῶν ἀθροισμάτων, τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, κατὰ τοὺς νόμους τῆς αἰσθήσεως εἰσαεὶ ἵδρυσεν. Διότι κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα ὁ Σταγειρίτης πρῶτος ἐκ τῆς ἐγγράφου μορφῆς καὶ συναρμογῆς αὐτῶν ἴδιον τῆς τέχνης εἶδος, τὴν ἐποποιίαν, ἐμόρφωσε καὶ ἐνομοθέτησεν, οὗ οἱ νόμοι τόν τε ἀρχαῖον καὶ νέον κόσμον ἐδέσμευσαν καὶ ἐν μέρει εἰσέτι δεσμεύουσιν, οὗτος ἐστιν ὁ ἡγήτωρ τῶν ἀρχαίων καὶ νέων παρανοήσεων καὶ σκαιῶν θεωριῶν. Τελευταῖον ὁ W. Müller σεμνύνεται, ὅτι τῇ αὐτοῦ πατρίδι ἐπέπρωτο, ἵνα τὴν αἰσθητικὴν καὶ τὴν ἀρχαιογνωσίαν τῶν εἰρημένων ἁμαρτημάτων ἐλευθερώσῃ. Ἀλλά, καὶ ἂν μὴ εἰς τὰς μνημονευθείσας μαρτυρίας ἀπίδωμεν, ἆρά γε ἐσωτερικοὶ λόγοι οὐ δύνανται πεῖσαι ἡμᾶς, ὅτι ἡ ἀρχαιότης οὐκ

1) Εὐστάθ. σελ. 785, 41 „Φασὶν οἱ παλαιοί, τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι, καὶ μὴ ἐγκαταλεγῆναι τοῖς μέρεσι τῆς Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν.“ 2) Homerische Vorschule σελ. 102—103.

ὠφλίσκανε τοσαύτην ἄνοιαν, ὥστε ἀθροίσματα ᾀσμάτων ὡς ὀργανικὰ ὅλα ἐτίμα; Οἱ πρὸ τοῦ Ἀριστοτέλους ἐγίνωσκον τοὺς νόμους τῆς ποιήσεως, ἢ οὔ; Εἰ μὴ τούτους ἐγίνωσκον, πῶς ἦν δυνατόν, ἵνα ἄλλα εἴδη ποιήσεως ἀρίστην καὶ ἐντελεστάτην ἑνότητα ἔχοντα ποιήσωσιν; Εἰ δὲ τούτους ἐγίνωσκον, τί καὶ παρὰ τῶν ὁμηρικῶν ἐπῶν οὐκ ἀπῄτουν; Ἆρά γε ἡ ἑνότης τῶν ὁμηρικῶν ἐπῶν, ἡ τῶν ἔπαινον τοῦ κορυφαίου τῶν φιλοσόφων ἐπισπάσασα καὶ ἐν παραβολῇ πρὸς τὴν τῶν ἄλλων ἐπῶν κρείττων ἀποδειχθεῖσα, οὕτως αὐτόματος ἐγένετο; Ὡς σοφόν, θαυματουργὸν καὶ τεχνῆεν ὁ W. Müller ἀποφαίνεται τὸ τυφλὸν αὐτόματον, οὗ τὴν ἐντελῆ τέχνην οὐδ᾽ οἱ μέγιστοι τῆς ἀρχαιότητος τεχνῖται ἠδυνήθησαν μιμηθῆναι!

Τελευταῖον ὁ σοφὸς Curtius προτρέπει ἡμᾶς, ἵνα τὴν ἄγνοιαν τῆς ἀρχαιότητος ὁμολογήσαντες τὴν νέαν ἐπιστήμην ἀσπασθῶμεν. Διότι ἐρωτᾷ, τί ἔμελλεν εἶναι ἡ τῆς γλώσσης ἔρευνα, εἰ ἐν τῷ τρόπῳ τῆς ἐξετάσεως Ἡρωδιανοῦ τινος ἐνεμένομεν; Ὄντως οἱ ἀρχαῖοι εἶχον ἀτελῆ τρόπον τῆς ἐξετάσεως τῆς γλώσσης, ἀλλ᾽ ἐκ τούτου οὐκ ἐξάγομεν κακὰ συμπεράσματα πρὸς χείρονα τοῦ ὁμηρικοῦ ζητήματος λύσιν. Διότι οἱ Ἕλληνες, ὡς γνωστόν, κατεφρόνουν τῶν γλωσσῶν τῶν ἄλλων λαῶν, οἵτινες κατ᾽ αὐτοὺς ἐβαρβάριζον, ἔκριζον καὶ ἐχελιδόνιζον[1]. Λαὸς δὲ τὴν ἰδίαν γλῶσσαν πρὸς τὴν τῶν ἄλλων μὴ παραβαλὼν οὔτε μέθοδον πρὸς μετάδοσιν τῆς ἰδίας γλώσσης, οὔτε κανόνας αὐτῆς ἔχει. Τοῦτο δ᾽ εὐχερέστερον νοεῖ ἐκεῖνος, ὅστις μόνον τὴν μητρικὴν γλῶσσαν γινώσκων ἐπεχείρησεν ἀλλόγλωσσον διδάξαι. Οὗτος στερούμενος δευτέρου ὅρου συγκρίσεως οὔτε ὀρθήν, οὔτε σαφῆ τῆς ἰδίας γλώσσης ἰδέαν ἔχει. Μετὰ τὸ ἔπος ὅμως ἀνεπτύχθησαν πλεῖστα ἄλλα τῆς ποιήσεως εἴδη, ὧν ἡ πρὸς ἐκεῖνο παραβολὴ σαφεστέραν ἑκατέρων γνῶσιν παρήγαγεν.

Ἀλλ᾽ ἴσως πιθανὰ μὲν τὰ εἰρημένα, ὅμως ὑπολείπεται

---

1) Ὁ Σοφοκλῆς λέγει „Οὔθ᾽ Ἑλλάς, οὔτ᾽ ἄγλωσσος“ Τραχιν. 1060. Παράβαλ. Bernhardy, Grundriss der griech. Literatur I, 15.

ἔτι ἡ ἀντίρρησις, ὅτι ἡ νοοῦσα καὶ κρίνουσα τὸν Ὅμηρον ἀρχαιότης οὐκ ἐτόλμησε τὴν ἰδίαν περὶ αὐτοῦ πεποίθησιν ἐκφράσαι. Τί; Ἐχεμυθία διετηρήθη ἐν τοσούτοις ἑκατομμυρίοις ἀνθρώπων, ἐν τοσαύταις γενεαῖς μερόπων ἀνθρώπων, καὶ ἐν τοσαύταις μυριάσι συγγραφέων, καὶ ταῦτα ἐν τῷ ἑλληνικῷ λαῷ, ὅστις οὐδόλως πρὸς τοὺς Αἰγυπτίους ὡμοίαζεν; Ἔξεστι μὲν γελᾷν τὸν βουλόμενον, ἀλλ' ὅμως ἐλέχθη. Ὁ σοφὸς W. Müller ἀποφαίνεται, ὅτι οἱ Ἕλληνες τὸν Ὅμηρον ὡς ἱερὰν βίβλον ἐθεώρουν, καὶ ὅτι ἡ ἑνότης καὶ τὸ ὅλον τῶν ὁμηρικῶν ἐπῶν ὡς ἄρθρα πίστεως ὑπὸ τοῦ λαοῦ ἐπιστεύοντο. Οἱ δὲ κριτικοὶ κατ' αὐτὸν οὐκ ἠδύναντο, ἵνα στίχους καὶ ὁλόκληρα ᾄσματα ἐκβάλωσιν. Διότι τοῦτο οὐκ ἦν ἀρεστὸν τῷ λαῷ. Οὗτοι δ' ἐκωλύοντο οὐ μόνον ὑπὸ ἐρριζωμένων ἱστορικῶν καὶ ἐν μέρει αἰσθητικῶν πλανῶν καὶ παρανοήσεων, ἀλλὰ κατ' ἐξοχὴν ὑπὸ θρησκευτικῶν προλήψεων ὑποστηριζουσῶν κατὰ τῆς ἐπιεικεστάτης καὶ δικαιοτάτης κριτικῆς ἀμφιβολίας πᾶν μὴ ὁμηρικὸν ἐν τῷ Ὁμήρῳ διὰ τῶν αὐτῶν ὅπλων, δι' ὧν ἑκάστη συλλαβὴ τῆς ἱερᾶς γραφῆς, ὡς χριστιανικοῦ κτήματος τοῦ λαοῦ, φρουρεῖται[1]).

Ἡ κρίσις αὕτη τοῦ σοφοῦ ἀνδρὸς ἐμορφώθη, ὡς δοκεῖ, οὐχὶ ἐκ τῆς ἱστορίας τοῦ ἑλληνικοῦ λαοῦ, ἀλλ' ἐκ τοῦ Χριστιανισμοῦ τοῦ Μέσου αἰῶνος. Διότι ἄλλως οὐκ ἐξηγεῖται ἡ τοσαύτη τοῦ ἑλληνικοῦ λαοῦ παρανόησις. Ἀλλ' ἀνάγκη, ὅπως καὶ ταῦτα ἀναιρέσωμεν. Πότερον λοιπὸν λαός τις τὴν αὐτοῦ θρησκείαν, ἢ τὰ τῆς θρησκείας βιβλία μᾶλλον σέβεται; Τὸ δεύτερον τοῦ ἐρωτήματος μέρος οὐκ ἔστι πιθανόν. Διότι πολλοὶ λαοὶ ἔχουσι θρησκείαν ἄνευ ἱερᾶς

1) Homerische Vorschule σελ. 100 „... sondern vornehmlich mit religiösen Vorurtheilen, und diese schützten alles Unhomerische in dem Homeros selbst gegen die bescheidensten und unwiderlegbarsten Zweifel der Kritik mit denselben Waffen, welche jede Silbe unserer Bibel, als christliches Volkseigenthum, bewachen.“ Ἐξ ἄλλης ἀρχῆς ὁρμώμενος εἰς ὅμοιον συμπέρασμα φθάνει καὶ ὁ Dugas Montbel, Histoire des poésies Homériques σελ. 83.

βίβλου, καὶ ταύτης ἀπολεσθείσης ἡ θρησκεία δύναται μένειν, καὶ συνήθως παρὰ τοῖς λαοῖς πρὸς τῇ ἱερᾷ βίβλῳ φέρεται παραλλήλως ἡ θρησκευτικὴ παράδοσις ἐν πολλοῖς πρὸς ἐκείνην διαφέρουσα. Πρόχειρον παράδειγμα ἔχομεν αὐτὴν δὴ τὴν ἑλληνικὴν θρησκείαν, ἐν ᾗ πλεῖστοι θεοὶ μηδόλως ὑπὸ τοῦ Ὁμήρου μνημονευόμενοι, ὡς ἡ Ἑκάτη καὶ ὁ Ἔρως, μεγάλης λατρείας παρὰ τῷ ἑλληνικῷ λαῷ ἐτύγχανον. Ὁ δὲ Ὅμηρος, ὁ τὴν ἱερὰν δὴ βίβλον ποιήσας, συχνάκις ὑπὸ τῶν ἀρχαίων ἐλέγχεται, ὅτι τοὺς θεοὺς ἀνθρωποφυεῖς ἐποίησεν. Πάντες δ' οἱ ἀρχαῖοι φιλόσοφοι λίαν διαφόρους περὶ θεῶν ἰδέας πρός τε τὸν Ὅμηρον καὶ τὸν Ἡσίοδον ἐδίδασκον. Ἀπὸ Πυθαγόρου πόσαι κατὰ τῆς ἑλληνικῆς θρησκείας θεωρίαι ἐδιδάχθησαν, πόσας οἱ ἀτυχεῖς ἐκεῖνοι θεοὶ σατύρας ἠνέχθησαν, πόσοι Παλαίφατοι καὶ Εὐήμεροι ἐθαυμάσθησαν, πόσοι σαρκαστικοὶ τοῦ Λουκιανοῦ διάλογοι ἐγράφησαν! Μητρόδωρος[1]) ἐκεῖνος ὁ Λαμψακηνὸς οὐκ ἔλεγε τόν τε Δία καὶ τὴν Ἥραν φύσεως ὑποστάσεις καὶ στοιχείων διακοσμήσεις; Ὁ Εὐριπίδης οὐκ ἀρνεῖται ἐν αὐτῷ τῷ θεάτρῳ τὴν τοῦ Διὸς ὕπαρξιν; Ὁ αὐτὸς οὐ συγχέει τοῦτον μετὰ τοῦ αἰθέρος; Ὁ Κριτίας οὐ λέγει τοὺς θεοὺς τῶν ἀνθρώπων ἐπινοήματα; Ἀλλ' ὅμως οὔτε κεραυνὸς παρὰ τοῦ Διός, οὔτε ἱερὸν δικαστήριον παρὰ τοῖς ἀνθρώποις, οὔτε σκληρὰ καὶ ὑποχθόνια βασανιστήρια, οὔτε τέλος ἀφορισμοὶ καὶ ἐπιτίμια. Ποῦ λοιπὸν τὰ τοῦ Μέσου αἰῶνος ὅπλα; Εἰ δ' οἱ ἀρχαῖοι τοσαῦτα κατὰ τῶν ἰδίων θεῶν ἔλεγον, τί ἐκώλυεν αὐτοὺς εἰπεῖν καὶ κατὰ τῆς ἱερᾶς βίβλου;

Ἀλλ' ἴσως ἡ τῶν ἀνθρώπων ἄνοια μᾶλλον τὴν ἱερὰν βίβλον, ἢ τοὺς ἐν αὐτῇ θεοὺς ἐτίμα. Τοσαύτην ὅμως ἄνοιαν οἱ ἀρχαῖοι Ἕλληνες οὐδέποτε ἔδειξαν. Ἀλλ' ἐρευ-

---

1) Τατιαν. πρὸς Ἕλλην. κεφ. 21 „Καὶ Μητρόδωρος δὲ ὁ Λαμψακηνὸς ἐν τῷ Περὶ Ὁμήρου λίαν εὐήθως διείλεκται, πάντα εἰς ἀλληγορίαν μετάγων. Οὔτε γὰρ Ἥραν, οὔτε Ἀθηνᾶν, οὔτε Δία τοῦτ' εἶναί φησιν, ὅπερ οἱ τοὺς περιβόλους αὐτοῖς καὶ τεμένη καθιδρύσαντες νομίζουσι, φύσεως δὲ ὑποστάσεις καὶ στοιχείων διακοσμήσεις." Παράβαλ. Πλούτ. Πῶς δεῖ ἀκούειν ποιητὰς κεφ. V.

νηθήτω καὶ τοῦτο. Ὁ Πυθαγόρας ἔλεγεν, ὅτι εἰς Ἅδου καταβὰς εἶδε τὴν μὲν ψυχὴν τοῦ Ἡσιόδου πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δὲ τοῦ Ὁμήρου ἀπὸ δένδρου κρεμαμένην καὶ ὄφεις περὶ αὐτὴν ἔχουσαν, ἀνθ' ὧν εἶπον περὶ θεῶν[1]). Ὁ μὲν Ἡράκλειτος[2]) ἔλεγε τὸν Ὅμηρον ἄξιον εἶναι τῶν ἀγώνων ἐκβάλεσθαι καὶ ῥαπίζεσθαι, ὁ δὲ Ξενοφάνης γέγραφε ἔπη καὶ ἐλεγεῖα καὶ ἰάμβους καθ' Ὁμήρου καὶ Ἡσιόδου ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα[3]). Τὰ φιλοσοφήματα δὲ ταῦτα τῷ λαῷ γνωστὰ ἐγένοντο. Διότι οἱ μὲν φιλόσοφοι ἐκεῖνοι οὐχ ὡμοίαζον πρὸς τοὺς ἐν αἰθούσαις κεκλεισμένους, ἀλλ' ἐν ὑπαίθρῳ καὶ δημοσίᾳ (οἱ πλεῖστοί γε τούτων) ἐδίδασκον, ὁ δ' ἑλληνικὸς κόσμος κατὰ φιλοσοφικὰ συστήματα διῃρεῖτο, ὡς νῦν οἱ λαοὶ κατὰ θρησκευτικὰς αἱρέσεις. Εἶτα μὴ γινώμεθα ἐπιλήσμονες τῶν ἐπῶν, τῶν ἐλεγείων καὶ τῶν ἰάμβων τοῦ Ξενοφάνους, τῆς τυπογραφίας τῶν τότε χρόνων, ἥτις συνίστατο οὐχὶ ἐκ μολύβδου, ἀλλ' ἐκ λεπτοτάτης ὕλης τὸ οὖς διαπερώσης καὶ μέχρι καρδίας προβαινούσης.

Ἀλλ' ἴσως οἱ περὶ τὸν W. Müller καὶ Montbel μέμνηνται, ὅτι αἱ αἱρετικαὶ ἐκεῖναι φράσεις ἐλέχθησαν μέν, ἀλλ' ὅμως οἱ ταύτας εἰπόντες ὡς αἱρετικοὶ τῷ λαῷ μισητοὶ ἐγένοντο. Τί δή; Ὁ Πυθαγόρας, ὁ Ἡράκλειτος, ὁ Ξενοφάνης, ὁ Μητρόδωρος, ὁ Εὐριπίδης καὶ οἱ ἄλλοι, τὸ

---

1) Σουίδ. ἐν λ. Πυθαγόρας „Φησὶ δὲ Ἱερώνυμος κατελθόντα αὐτὸν (δηλ. τὸν Πυθαγόραν) εἰς Ἅιδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου, καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν.“ Διογεν. Λαέρτ. VIII, 21. 2) Αὐτόθι IX, 1 „Τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι καὶ Ἀρχίλοχον ὁμοίως.“ 3) Σέξτ. ἐμπειρ. πρὸς μαθηματ. I, 289 „Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενοφάνη,

Ὡς πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν καὶ ἀλλήλους ἀπατεύειν.
Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρος δ' Ἡσίοδός τε,
ὅσσα περ ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,

Ἀριστ. Ῥητορ. II, 23 „Οἷον Ξενοφάνης ἔλεγεν, ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναί ποτε θεούς.“

σέμνωμα τῆς κρείττονος τοῦ ἑλληνικοῦ λαοῦ μοίρας, μισητοὶ ἐγένοντο; Ἀλλὰ καὶ τοῦτο ἂν ὑποτεθῇ, ἡμεῖς οὐκ ἔχομεν βιβλία τὴν τοῦ ὄχλου γνώμην περιγράφοντα, ἀλλ' ἀποσπάσματα ἐνδόξων συγγραφέων. Οὗτοι δ', ἀφ' οὗ ἐτόλμησαν εἰπεῖν τοσαῦτα κατά τε τῶν θεῶν καὶ τοῦ Ὁμήρου, οὐκ ἐφοβοῦντο εἰπεῖν καὶ περὶ τῆς γνησιότητος τῶν μερῶν καὶ τῆς ἑνότητος τῶν ὅλων ἐπῶν, μάλιστα ἄνδρες, οἵτινες διὰ τὴν ἐλευθερίαν τῆς συνειδήσεως, διὰ τὴν ἀπαλλαγὴν φιλολογικῶν παθῶν, διὰ τὴν νόησιν καὶ αἴσθησιν τοῦ ἐθνικοῦ ποιητοῦ, διὰ τὴν κρείττονα τῶν ὁμηρικῶν ἐπῶν κατάστασιν καὶ διὰ τὴν πρὸς τοὺς ὁμηρικοὺς χρόνους ἐγγύτητα ἠδύναντο κρεῖττον καὶ αἰσθάνεσθαι, καὶ νοεῖν, καὶ κρίνειν, καὶ ἀποφαίνεσθαι περὶ Ὁμήρου. Οὗτοι λοιπόν, οἱ ἐχθροὶ τοῦ Ὁμήρου καὶ τῶν ὁμηρικῶν ἐπῶν οὐκ ἠδύναντο διαρρῆξαι τὰ δεσμὰ τῆς ἐχεμυθίας; Οὐ μνημονεύομεν δὲ οὔτε τοῦ Ὁμηρομάστιγος Ζωΐλου τοῦ Ψόγον Ὁμήρου καὶ Ἐγκώμιον εἰς Πολύφημον γράψαντος, οὔτε τῶν Ῥωμαίων τῶν θελόντων ἀνυψῶσαι τὸν ἴδιον ποιητὴν ὑπὲρ τόν Ὅμηρον ὡς ἄλλον Ἴκαρον, οὔτε τῶν ἐκκλησιαστικῶν πατέρων, οἵτινες κατὰ τοῦ σκανδάλου τούτου πόλεμον ἀδιάλλακτον κηρύξαντες τὸν πατέρα τῆς πλάνης ἀπεκάλουν, οὔτε τῶν Ἰωσήπων τῶν Ἰουδαίων καὶ τῶν ἄλλων ἐθνῶν, ἀλλ' ἐλάβομεν ἀποδείξεις ἐξ αὐτῆς τῆς ἀκμῆς τῆς ἑλληνικῆς θρησκείας, ἐν ᾗ ἕκαστος καὶ μεγάλας προλήψεις πρὸς τὴν ἱερὰν βίβλον καὶ θανατηφόρα κατὰ τῶν αἱρετικῶν ὅπλα προσεδόκα.

Ἀλλ' ὑποθῶμεν, ὅτι πᾶσαι αὗται αἱ ἀποδείξεις ἡμαρτημέναι εἰσίν· ὑποθῶμεν, ὅτι ἑκάστη ὁμηρικὴ συλλαβὴ διὰ τῶν ὅπλων τοῦ Μέσου αἰῶνος ἐφρουρεῖτο, ὡς λέγει ὁ W. Müller· ὑποθῶμεν, ὅτι τὸ ἀποκλίνειν τῶν ὁμηρικῶν ἐπῶν ἦν βάρβαρος αἵρεσις, ὡς λέγει ὁ Jul. Löwenberg [1]).

---

1) Geschichte der Geograph. σελ. 28 „Die Gesänge Homer's wurden die Bibel der Griechen. Die Bilder und Anschauungen, die sie gaben, galten für unfehlbar, sie verwuchsen in der Vorstellung des Volkes, gewannen, man

Ταῦτα ὅμως, εἰ ἀληθῆ εἰσιν, ἄρδην τὴν θεωρίαν αὐτοῦ τοῦ W. Müller *καταστρέφουσιν. Διότι κατὰ ταῦτα οὔτε Σόλων, οὔτε Πεισίστρατος, οὔτε ἄλλος τις ἐτόλμα, ἵνα ἐν τοῖς ὁμηρικοῖς ἔπεσι στίχους ὑποβάλῃ. Καὶ τῇ ἀληθείᾳ σύμπας ὁ ἑλληνικὸς κόσμος ὤφειλεν ἐξαναστῆναι κατὰ τοῦ βαρβάρου αἱρεσιάρχου Πεισιστράτου τολμήσαντος τὰ ὁμηρικὰ ᾄσματα συντῆξαι καὶ οὕτω λίαν ἀλλοιῶσαι, ὡς ὁ* Lachmann *ἡμῖν δείκνυσιν.*

---

kann sagen, eine heilige religiöse Auctorität, und von ihnen abzuweichen, war barbarische Ketzerei ..."

ΒΙΒΛΙΟΝ ΙΙ.

Διάδοσις καὶ περιπέτειαι τῶν ὁμηρικῶν ἐπῶν.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Εἰ ἐν τῇ γενέσει τῶν ὁμηρικῶν ἐπῶν ἦν γνωστὴ ἡ γραφή.

Ἐν τῷ πρώτῳ βιβλίῳ τὸν πρῶτον τοῦ ζητήματος ὅρον ἐξετάσαντες εἴδομεν, ὅτι ὁ Ὅμηρος οὔτε διὰ τὴν πληθὺν τῶν μύθων, οὔτε διὰ τὴν τῶν πατρίδων, οὔτε διὰ τὴν τῶν ἐποχῶν, οὔτε διὰ τὴν τῶν ἐτυμολογιῶν, οὔτε ἐκ τοῦ ποσοῦ, οὔτε ἐκ τοῦ ποιοῦ τοῦ ποιητικοῦ φορτίου κινδυνεύει. Σώζεται μὲν ὁ Ὅμηρος, ἀλλὰ σώζεται μόνον ὡς ἄνθρωπος, οὐχὶ δὲ ὡς ποιητής. Διότι ἴσως ὑπῆρξε μὲν ἄνθρωπός τις Ὅμηρος, καὶ δύο ἔπη, ἅπερ οἱ ἀρχαῖοι ὀρθῶς ἐνόουν, τίς ὅμως ἡ σχέσις τοῦ ἀνθρώπου ἐκείνου πρὸς ταῦτα τὰ ἔπη; Ἆρά γε ἔχει ὡς πατὴρ πρὸς υἱόν, ὡς δημιουργὸς πρὸς δημιούργημα; Εἰ ὄντως ἔχει, ζητητέα ἥ τε δημιουργικὴ τοῦ πατρὸς δύναμις καὶ τὰ πρὸς διατήρησιν τοῦ δημιουργήματος μέσα. Διότι μόνον, εἰ ὁ Ὅμηρος ταῦτα ἔχει, τὰ ἔπη μετὰ τοῦ ποιητοῦ συνδέονται, ὁ σωθεὶς ἄνθρωπος ποιητὴς ἀναδείκνυται, καὶ ὁ πρῶτος τοῦ ζητήματος ὅρος ἀναφορὰν πρὸς τὸν δεύτερον ἔχει. Εἰ ὅμως τούτων στερεῖται, ὁ σωθεὶς Ὅμηρος (εἰ ἤδη σώζεται), ἴσως ἔχει μὲν ἀξίαν τινά, ὅμως οἵαν τὰ τῆς μυθολογίας πρόσωπα, καὶ τὰ κατ' αὐτὸν μᾶλλον τῇ μυθολογίᾳ, ἢ τῇ ἱστορίᾳ τῆς ποιήσεως ἀνήκουσιν. Πρὸς δέ, εἰ ὁ Ὅμηρος τούτων στερεῖται, ὁ μὲν

πρῶτος ὅρος οὐδεμίαν σχέσιν πρὸς τὸν δεύτερον ἔχει, ὁ δὲ δεύτερος, ὁ περὶ τῆς διαδόσεως τῶν καλουμένων ὁμηρικῶν ἐπῶν πραγματευόμενος, δείκνυσι μόνον τὰς περιπετείας ᾀσμάτων ἀγνώστων ποιητῶν, τῆς σχέσεως δὲ καθαιρουμένης μένουσιν ὅροι ἀπ' ἀλλήλων ἀνεξάρτητοι καὶ αὐθυπόστατοι.

Ἀλλὰ τὴν δημιουργικὴν τοῦ Ὁμήρου δύναμιν μόλις δύναταί τις ἀρνηθῆναι. Διότι οὗτος καὶ ἐν ἐποχῇ δημιουργικῇ ἔζη, καὶ ἀφειδῶς καὶ ἀφθόνως ἐν πλουσιωτάτῃ μυθικῇ ὕλῃ τρεφόμενος, καὶ ἐκ τῆς παχείας τροφῆς οἰστρούμενος ἐγέννα. Ἐγέννα μέν, ἀλλὰ τὰ γεννώμενα ὁ πανδαμάτωρ χρόνος φθείρει. Διὰ τοῦτο ζητεῖται, εἰ ἐφ' Ὁμήρου γνωστὴ ἦν ἡ ἀμβροσία τῆς παπυρίνης ἀθανασίας, ἢ ἐν ἀγνοίᾳ ταύτης ὁ δημιουργῶν πατὴρ εἶχε νέκταρ, ὅπως διατηρήσῃ καὶ διαιωνίσῃ ἀθανάτους υἱούς. Ἡ ἀμβροσία ἐστὶ τὰ τοῦ Κάδμου δῶρα, τὸ δὲ νέκταρ ἡ ἰσχυρὰ μνήμη. Ἀλλὰ καὶ τὰ δύο ταῦτα ὁ μέγας Wolf *τῷ Μελησιγενεῖ καὶ τοῖς συγχρόνοις αὐτοῦ ἀρνηθεὶς τὴν ἀναφορὰν τοῦ πρώτου ὅρου πρὸς τὸν δεύτερον ἔλυσε, τοὺς κρίκους τοὺς τὸν ποιητὴν μετὰ τῶν ποιημάτων συνδέοντας ἔθραυσε, καὶ ἐπειράθη, ὅπως τούς δύο τούτους ὅρους αὐθυπάρκτους, αὐθυποστάτους καὶ μηδεμίαν σχέσιν πρὸς ἀλλήλους ἔχοντας ἀναδείξῃ. Ἐπειδὴ ὅμως τὰ ὄργανα, δι' ὧν τοὺς κρίκους ἐκείνους ἔθραυσεν, ἐφάνησαν ἡμῖν ἀσθενῆ, καὶ ἡ θραῦσις ἀπατηλή, τολμῶμεν, ἵνα τὰς ἡμετέρας ἀμφιβολίας ὑπὸ τὴν κρίσιν σπουδαίων ἀναγνωστῶν ὑποβάλωμεν. Καὶ τὴν μὲν γνῶσιν τῆς γραφῆς αὐτὰ τὰ ὁμηρικὰ ἔπη μονονουχὶ φωνὴν ἀφιέντα μαρτυροῦσιν, ὅτι δ' αὕτη οὐκ ἦν ἄγνωστος, ἐκ τῆς ἀναιρέσεως τῶν ἀποδείξεων τοῦ* Wolf *ἀποδείκνυται.*

Ἐκ τῶν εἰρημένων ἕκαστος κατανοεῖ τὴν αἰτίαν, δι' ἣν δύο κεφάλαια, τὸ μὲν περὶ γνώσεως τῆς γραφῆς, τὸ δὲ περὶ ἰσχύος τῆς μνήμης εὐθὺς ἐν ἀρχῇ τοῦ δευτέρου βιβλίου προτάσσομεν. Διότι τὰ δύο ταῦτα κεφάλαια οὐ μόνον εἰσὶν οἱ παράγοντες οἱ ἄμεσον ἀναφορὰν πρὸς τὸν πρῶτον ὅρον ἔχοντες, ἀλλὰ καὶ παραλαμβάνουσι τὴν διάδοσιν τῶν ἐπῶν ἐξ αὐτῆς τῆς γραφίδος, ἢ αὐτοῦ τοῦ στόματος τοῦ ποιητοῦ.

Ἀρχόμενοι λοιπὸν τοῦ σπουδαιοτάτου τούτου ζητήματος ἐπικαλούμεθα πρῶτον τὴν μαρτυρίαν αὐτῶν τῶν ἐπῶν. Ἀλλὰ πρὶν τούτου ἐρωτήσωμεν ἡμᾶς αὐτούς, εἰ δικαίως παρὰ τούτων μαρτυρίας περὶ γραφῆς ἀπαιτοῦμεν. Ἆρά γε ὁ τῶν ὁμηρικῶν ἐπῶν ποιητὴς ὤφειλε μνήσασθαι γραφῆς, εἰ αὕτη γνωστὴ ἐν τῇ αὐτοῦ ἐποχῇ ἦν; Ὁ μέγας Wolf *ἀπαιτεῖ παρά τε τῆς Ἰλιάδος καὶ Ὀδυσσείας οὐ μόνον μνείαν γραφῆς*[1]*, ἀλλὰ καὶ βιβλίων, βιβλιοθηκῶν, ἐπιστολῶν, γεωγραφικῶν χαρτῶν, νομισμάτων καὶ τῶν τοιούτων. Οὐχὶ δικαίως, ὡς νομίζομεν. Διότι, καὶ εἰ ὁλόκληρος φιλολόγων στρατός (οἵτινες δὴ σῆτες τῶν βιβλίων καλοῦνται) ἐπὶ Τροίαν ἐστρατεύετο, οὐδ' αὐτὸς βιβλίοις ἐν τῇ στρατείᾳ ἠδύνατο χρήσασθαι. Διότι ὁ Ἄρης ἀπεχθάνεται ταῖς Μούσαις. Τί δὲ δεῖ λέγειν περὶ τῶν στρατευσαμένων ἡρώων, οἳ κατ' αὐτὸν τὸν* Wolf *περὶ ἄλλα ἀσχολούμενοι τῆς γραφῆς ὀλιγωροῦσιν;*[2] *Παρ' οὐδενὸς λαοῦ βίον ὅμοιον πρὸς τὸν τῶν ἡρώων διάγοντος δυνάμεθα ἀπαιτεῖν βιβλία ἐν πολέμῳ, καὶ ἂν ὑποτεθῇ, ὅτι παρὰ τούτῳ μεγίστη τῆς γραφῆς χρῆσις γίνεται.*

Ἀλλ' ἐπιστολάς γε οὐ δυνάμεθα ἀπαιτεῖν; Καὶ τοῦτο ἀρνούμεθα ἔν γε τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ. Διότι ἐν τῇ πρώτῃ εἰκονίζονται πολεμισταὶ μαχόμενοι ἐν τῇ μικρᾷ Ἀσίᾳ, ἣν ἀπὸ τῆς αὐτῶν πατρίδος οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα χωρίζουσιν, ἡ δὲ θαλασσοπλοΐα οὐκ ἦν ἀνεπτυγένη. Πῶς λοιπὸν ἦν δυνατόν, ἵνα οἱ ἥρωες ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην ἐπιστολὰς πέμπωσιν; Ὁ τοιαύτας ἀπαιτήσεις ἔχων ἀμνημονεῖ τῆς ἀτελεστάτης τῶν χρόνων ἐκείνων θαλασσοπλοΐας. Εἰ ὁ Ὀδυσσεὺς μεθ' ὁλοκλήρου στρατοῦ πολλὰ ἔτη ἐπλανᾶτο, πῶς ὀλίγοι γραμματοκομισταὶ ἠδύναντο τολμῆσαι, ἵνα χάριν ἐπιστολῆς τοσαύτας θαλάσσας διαπλεύσωσιν; Εἰ δέ τις νομίζει τοῦτο

---

1) Proleg. ad Homer. *σελ.* 88 „Nusquam vocabulum libri, nusquam scribendi, nusquam lectionis, nusquam litterarum ..." 2) *Αὐτόθι σελ.* 59 „In aliis omnibus occupati agunt illi, quae posteri scribunt, vel, ut de quibusdam populis accepimus, etiam monstatam operam hanc spernunt tanquam indecori otii."

ῥάδιον, ὑποχωροῦμεν μέν, ὅμως ἔχομεν καὶ ἡμεῖς ἶσόν γε δικαίωμα ἀπαιτεῖν ἀγγελιαφόρους μηδαμοῦ τῶν ἐπῶν μνημονευομένους (πεμπομένους δηλαδὴ ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην καὶ τὸ ἀνάπαλιν). Εἰ δέ τις ὑπομιμνήσκει ἡμῖν τοὺς Τρῶας, πρὸς οὓς οἱ Ἀχαιοὶ ἠδύναντο πέμπειν ἐπιστολάς, παρατηροῦμεν, ὅτι τὰ ἐχθρικὰ στρατόπεδα διὰ κηρύκων ἢ διὰ πρεσβειῶν, καὶ οὐχὶ δι' ἐπιστολῶν τὰ ἴδια φρονήματα ἀγγέλλουσιν.

Ἀλλ', εἰ ἐν τῇ Ἰλιάδι στερούμεθα τούτου τοῦ δικαιώματος, ἔχομεν τοῦτο ἐν τῇ Ὀδυσσείᾳ. Ἡμεῖς γε, ὁσάκις τὰ Προλεγόμενα τοῦ Wolf *ἀνέγνωμεν, ἀείποτε ἐθαυμάσαμεν τὴν ἑπομένην περὶ ἀγνοίας τῆς γραφῆς ἀπόδειξιν. Διότι ὁ μέγας ἀνὴρ νομίζει, ὅτι, εἰ ἐπὶ τῶν Τρωικῶν ἠδύναντο γραφῆναι ἐπιστολαί, ἐμέλλομεν ἔχειν τὴν Ὀδύσσειαν βραχυτέραν, ἢ οὐδόλως αὕτη ἠδύνατο ποιηθῆναι. Ὁ μέγας* Wolf[1]) *δανείζεται παρὰ τοῦ* Rousseau *τὴν ἰδέαν ταύτην, ἣν ὡς εὐφυεστάτην καὶ ὁ* W. Müller *ἐπιδοκιμάζει. Οὗτοι δὲ νοοῦσιν, ὅτι μία, ἢ δύο ἐπιστολαὶ ἦσαν ἱκαναί, ὅπως τῶν μνηστήρων ἐκ τῶν ἀνακτόρων τοῦ Ὀδυσσέως ἐκδιωχθέντων ὁ ποιητὴς ὕλης πρὸς πλοκὴν τοῦ μύθου στερηθῇ. Δηλαδὴ κατὰ τὸν* Rousseau[2]), *εἰ ὑπῆρχε γραφή, ἡ πλοκὴ τοῦ μύθου τῆς Ὀδυσσείας ἦν ὕφασμα εὐηθείας καὶ ἀνοησίας* tissu de bêtises et d'inepties! *Ἀλλὰ τίς πρὸς τίνα ἠδύνατο πέμψαι ἐπιστολάς; Ὁ Ὀδυσσεύς; Ἀλλ' ἐν ὀνόματι τοῦ κοινοῦ νοός, εἰ τῷ Ὀδυσσεῖ δυνατὸν ἦν, ἵνα ἐπιστολὰς εἰς τὴν Ἰθάκην πέμψῃ, ἦν αἱρετώτερον αὐτῷ, ἵνα αὐτὸς διὰ τοῦ ἰδίου μέσου εἰς τὴν αὑτοῦ πατρίδα πλεύσῃ. Ἀλλ' οὐχ οὕτως. Διότι ἡ δυσκολία*

---

1) Proleg. ad Homer. *σελ.* 90 „Nullae epistolae, quarum si consuetudo fuisset in patria Ulyssis, vel si *πτυκτοὶ πίνακες* percontationibus procurum et Telemachi suffecisset, procul dubio Odysseam aliquot libris breviorem, aut, ut Roussavius conjiciebat, omnino nullam haberemus.“ 2) Sur l'Origine de Langue, oeuvres posth. 1782 *σελ.* 240 „Mais j'ose avancer, que toute l'Odyssée n'est qu'un tissu de bêtises et d'inepties, qu'une lettre au deux eussent réduit en fumée, au lieu qu'on rend ce poëme raisonnable et même assez bien conduit, en supposant que ses héros aient ignoré l'écriture.“

ἔγκειται οὐχὶ ἐν τῇ ἀγνοίᾳ τῆς γραφῆς, ἀλλ' ἐν τῇ ἀτελεστάτῃ τῶν τότε χρόνων θαλασοπλοΐᾳ. Ἀλλ' ὁ Τηλέμαχος; Πρὸς τίνα ὅμως οὗτος ἔμελλε πέμψαι ἐπιστολάς; Πρὸς τὸν Ὀδυσσέα; Ποῦ ἦν οὗτος; Πρὸς τοὺς φίλους τοῦ Ὀδυσσέως; Ἀλλ' οὗτοι οὐδὲν ἐγίνωσκον. Ὁ W. Müller λέγει, ὅτι ὁ Τηλέμαχος ἐν ἐποχῇ, καθ' ἣν ἡ παρουσία αὐτοῦ ἐν τῷ πατρικῷ οἴκῳ ἀναγκαία καὶ ἡ ἀποδημία ἐπικίνδυνος ἦν, ἀντὶ τοῦ ἀποδημῆσαι ὤφειλε πέμψαι ἄγγελον μετ' ἐπιστολῶν [1]). Ἀλλ', εἰ τοῦτο ἦν σκόπιμον, τί ὁ νέος οὐκ ἔπεμπε μόνον ἄγγελον ἄνευ ἐπιστολῶν;

Πρὸς δὲ ὁ W. Müller δεικνυσιν ἡμῖν καὶ ἄλλην εὐκαιρίαν, καθ' ἣν μνεία γραφῆς ἐν τῇ Ὀδυσσείᾳ ἠδύνατο γενέσθαι. Διότι λέγει, ὅτι, εἰ ἡ γραφὴ ἦν ἐν χρήσει, ἡ Πηνελόπη ἐν τῷ ὑπερῴῳ καθημένη ἠδύνατο ἀναγνῶναι τὸ ᾆσμα, ὅπερ κατέβη ἀκούσουσα [2]). Ἀλλ' ὁ ἀνὴρ οὐ μόνον, ὅτι τὸ ᾆσμα νέον ἦν, ἀλλὰ καὶ ἑαυτοῦ ἐπιλήσμων ἐγένετο. Διότι αὐτὸς ἐν τῇ ἡγουμένῃ σελίδι τοῦ αὐτοῦ συγγράμματος λέγει, ὅτι τὸ γράφειν σημαίνει κόπτειν τὰ πτερὰ τῆς ποιήσεως. Ἡ γραφὴ δύναται τὸν λόγον διατηρεῖν, ὅμως τὸ ᾆσμα φονεύει. Es abschreiben, heisst, ihm die Flügel abschneiden. Die Schrift kann die Rede erhalten, den Gesang tödtet sie [3]). Ὥστε κατὰ τὴν κρίσιν αὐτοῦ τοῦ W. Müller, καὶ εἰ ἡ Πηνελόπη ἠδύνατο ἔχειν ὑπ' ὄψιν γραπτὸν τὸ νέον ᾆσμα, ὅμως πάλιν ἐπεθύμει αὐτὸ ἀκοῦσαι. Διότι ἄλλως νῦν περιττή ἐστιν ἡ τῆς μουσικῆς ἀκρόασις, ἀφ' οὗ ἥ τε γραφὴ γνωστή ἐστι καὶ ἡ τῶν ᾀδομένων ᾀσμάτων κτῆσις εὐκολωτάτη.

Ἐν τῇ Ἰλιάδι ὅμως εὑρίσκονται δύο χωρία, ἐξ ὧν τῶν φιλολόγων τινὲς ἐνόμισαν, ὅτι ἐν τῷ ἔπει τούτῳ μνεία γραφῆς γίνεται. Ἐν τῷ χωρίῳ, καθ' ὃ οἱ Ἀχαιοὶ βάλλουσι κλήρους, ἵνα ἡ τύχη τὸν ἀνταγωνιστὴν τοῦ Ἕκτορος ὁρίσῃ,

---

1) Homerische Vorschule σελ. 38 „Warum reiste denn Telemachos in einer Zeit, wo seine Gegenwart im väterlichen Hause so nöthig und seine Ausflucht so gefährlich ist, auf Erkundigung nach Pylos und Sparta, wenn ein Bothe mit einem Paar Briefen ebenso viel ausrichten könnte?“ 2) Αὐτόθι σελ. 39. 3) Αὐτόθι σελ. 38.

ὑπάρχει ἡ φράσις, ὅτι ἕκαστος ἥρως ἐσημήνατο καὶ ἐπέγραψε τὸν αὐτοῦ κλῆρον[1]). Ἐνταῦθα ἐγείρεται τὸ ζήτημα, τί σημαίνουσι τὰ ῥήματα ταῦτα; Ἀλλὰ δικαίως ὁ Wolf, ἤ, μᾶλλον εἰπεῖν, οἱ ἀρχαῖοι[2]), διὰ τοῦ ἐγχαράσσειν αὐτὰ ἐξηγοῦσιν. Διότι, εἰ ὁ ποιητὴς τὸ καθ' ἡμᾶς γράφειν ἐνόει, ὁ κῆρυξ οὐκ ὤφειλε πᾶσι τοῖς ἥρωσι τὸν κλῆρον δεικνύειν, ἀλλ' ἐκ τῆς ἀναγνώσεως τοῦ γράμματος ὤφειλε γνωστὸν γενέσθαι, τίς ἦν ὁ ὑπὸ τοῦ κλήρου ὁρισθείς. Πρὸς δὲ τὸ ῥῆμα γινώσκειν ἐν τῇ φράσει γνῶ δὲ σῆμα ἰδὼν προδήλως οὐ σημαίνει ἀναγινώσκειν, ἀλλ' ἀναγνωρίζειν, ὡς δῆλον γίνεται ἐκ τῆς φράσεως οἱ δ' οὐ γινώσκοντες ἀπηνήναντο, ἐν ᾗ, εἰ τὸ γινώσκοντες ἐσήμαινεν ἀναγινώσκοντες, ὤφειλεν εἶναι μόνον οἱ δὲ γινώσκοντες ἀπηνήναντο, δηλαδὴ ἄνευ τοῦ οὐ. Κατὰ δὲ τὸ δεύτερον χωρίον ὁ Βελλεροφόντης ὑπὸ τῆς Ἀντείας διαβληθεὶς καὶ μετὰ σημάτων ὑπὸ τοῦ Προίτου εἰς τὴν Λυκίαν πρὸς τὸν πενθερὸν πεμφθεὶς κελεύεται, ὅπως ταῦτα δείξῃ ἐκείνῳ[3]). Πάνυ ὀρθῶς οἱ ἀρχαῖοι τοῦ Ὁμήρου ἑρμηνευταὶ σημειοῦσιν, ὅτι τὰ λυγρὰ σήματα, καὶ ὁ πτυκτὸς πίναξ οὔτε γράμματα οὔτε ἐπιστολήν, ἀλλὰ σύμβολά τινα σημαίνουσιν[4]). Διότι καὶ ἐπὶ ἀποδόσεως ἐπιστολῆς, ὡς ὀρθῶς παρατηρεῖ ὁ Wolf, ὁ ποιητὴς οὐκ ἠδύνατο χρήσασθαι τῷ ῥήματι δεῖξαι, καὶ

---

1) Ἰλιάδ. Η 171 καὶ ἑξῆς. 2) Σχολ. εἰς στίχ. 187 „Οὐ γράμμασι τῆς λέξεως, ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους, οἷς ἐπεδείκνυτο ὁ κλῆρος.“ Εὐστάθ. σελ. 674, 35 „Οὐ γράμματα νοητέον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δέ τινα ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ εὐτελεῖ, λιθιδίῳ τυχὸν ἢ ξυληφίῳ ἢ τοιούτῳ τινί.“ Παράβαλ. Wolf, Proleg. ad Homer. σελ. 81.
3) Ἰλιάδ. Ζ 168

πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅγε σήματα λυγρά,
γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ' ἠνώγειν ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο.

2) Εὐσταθ. σελ. 632 „Οἱ δέ γε παλαιοί, ὁποῖόν τι καὶ οἱ Αἰγύπτιοι ἐποίουν, ζῴδιά τινα ἱερογλυφοῦντες καὶ λοιποὺς δὲ χαρακτῆρας εἰς σημασίαν ὧν λέγειν ἐβούλοντο, οὕτω καὶ αὐτοί, καθὰ καὶ τῶν τινες ὕστερον Σκυθῶν, ἐσήμαινον, ἃ ἤθελον ...“

ἡ φράσις σῆμα ἰδέσθαι τὴν εἰρημένην ἑρμηνείαν ἐπικυροῖ. Τὰ δύο λοιπὸν ταῦτα χωρία οὐ δεικνύουσι μὲν τὴν χρῆσιν τῆς γραφῆς, ἀλλ' οὐκ ἀποκλείουσι καὶ ταύτην, ὡς ὀρθῶς ὁ Otfried Müller νομίζει[1]. Διότι καὶ νῦν ἔτι πολλοὶ ἄνθρωποι, καίπερ τὴν γραφὴν γινώσκοντες, ὅμως καὶ ἐπὶ κλήρων σημεῖα ἐπιγράφουσι, καὶ τοῖς οἰκείοις λυγρὰ ἢ εὐφρόσυνα σήματα πέμπουσιν. Καὶ νῦν μὲν συμβαίνει συχνάκις, παρὰ δὲ τοῖς ἀρχαίοις συχνότερον. Διότι οὗτοι τὸν καθ' ἡμᾶς εὐχερῆ τρόπον τῆς σφραγίσεως τῶν ἐπιστολῶν ἠγνόουν. Ἡ δὲ γραφή, ὡς δοκεῖ, λίαν βραδέως μετὰ τὴν διάδοσιν αὐτῆς εἰς ἐπιστολὰς ἐπεξετάθη.

Πρὸς τούτοις ὁ μέγας Wolf ἀπαιτεῖ[2]) παρὰ τῶν ὁμηρικῶν ἐπῶν νομίσματα, γεωγραφικοὺς χάρτας καὶ τα τοιαῦτα. Ἡ ἀπαίτησις ὅμως αὕτη τολμηρά ἐστιν. Διότι ἡ τῆς γραφῆς γνῶσις οὐ προϋποτίθησι καὶ τὴν γνῶσιν πάντων, ἐφ' ὧν ἡ ταύτης χρῆσις βραδύτερον ἐπεξετάθη. Διότι πολὺ ἀπέχει ἡ γνῶσις ἐφευρέσεώς τινος ἀπὸ τῆς πλήρους αὐτοῦ ἐφαρμογῆς. Παραδείγματος χάριν οἱ ἀρχαῖοι ἐγίνωσκον μὲν τὴν τοῦ ἀτμοῦ δύναμιν, ὅμως οὔτε ἀτμοδρόμονας, οὔτε σιδηροδρόμους, οὔτε ἄλλο εἶδος ἀτμομηχανῆς εἶχον. Ἡ δὲ γραφὴ λίαν βραδέως ἔσχε εὐρυτέραν χρῆσιν. Ὡς παραδείγματι δὲ χρώμεθα αὐτοῖς τοῖς νομίσμασιν. Διότι καὶ αὐτοὶ οἱ τὴν κοινὴν χρῆσιν τῆς γραφῆς εἰς τὴν ἐποχὴν τοῦ Πεισιστράτου καταβιβάζοντες ὁμολογοῦσιν, ὅτι ἡ γραφὴ προς πλήρωσιν μικρῶν ἀναγκῶν ἤδη ἐν ἀρχῇ τῶν Ὀλυμπιάδων γνωστὴ ἦν. Ἀλλά, καίπερ τῆς γραφῆς ἐν ταύτῃ τῇ ἐποχῇ γνωστῆς οὔσης, ὅμως μετὰ ὀκτὼ Ὀλυμπιάδας (ἐπὶ Φείδωνος) ἐν Ἑλλάδι νομίσματα ἐκόπησαν· ἐκόπτοντο δ' ἐπὶ μακρὸν χρόνον ἄνευ ἐπιγραφῆς· προϊόντος δὲ τοῦ χρόνου καὶ κατ' ὀλίγον ἐπῆλθε τὸ ἔθος τοῦ ἐπ' αὐτῶν γράμματα χαράσσειν. Πρὸς δὲ παράδοξον φαίνεται ἡμῖν, ὅτι ὁ Wolf ἐν τοῖς ὁμηρικοῖς ἔπεσι μνείαν ἱστορικῶν πηγῶν ἀνεζήτησεν.

---

1) Geschichte der griech. Literatur σελ. 63. 2) Proleg. ad Homer. σελ. 89 „Non aes signata aut facta pecunia; nullus usus scripti in rebus domesticis et mercatura; nullae geographicae tabulae."

Διότι ἡ εἰς βιβλία παραπομπὴ ἤρξατο λίαν βραδέως. Οἱ συγγραφεῖς, ἔτι δὲ μᾶλλον οἱ ποιηταὶ τῶν λαῶν τῶν διαγόντων βίον ὅμοιον πρὸς τὸν τῶν ἡρώων (ἂν ἔχωσι τοιούτους) τὸν φιλολογικὸν τοῦτον νόμον ἀγνοοῦσιν.

Πανόμενοι δὲ τῆς ἐρεύνης τῶν ὁμηρικῶν ἐπῶν ἐπιλέγομεν, ὅτι ἐκ τούτων οὐκ ἀποδείκνυται, οὐδὲ δύναται ἀποδειχθῆναι, ὅτι ἐπὶ τῶν Τρωικῶν ἡ γραφὴ ἦν ἄγνωστος. Διότι, εἰ γνωστὴ ἦν, ταύτην οὔτε παρὰ γυναικῶν καὶ παίδων, ὡς τῆς Πηνελόπης καὶ τοῦ Τηλεμάχου, οὔτε ἐν βιβλιοθήκαις, οὔτε ἐν γεωγραφικοῖς πίναξιν, οὔτε ἐν νομίσμασιν, ἀλλὰ παρὰ τῶν ποιητῶν, οἵτινες δὴ οἱ σοφοὶ τῶν τότε χρόνων ἦσαν, ὡς τοῦτο ἐκ πολλῶν δῆλον γίνεται. Πρῶτον ὁ παρὰ τῇ Κλυταιμνήστρᾳ[1]) ἀοιδὸς ὡς τοιοῦτος εἰκονίζεται. Εἶτα ὁ Ἀλκίνοος τὴν τοῦ Ὀδυσσέως διήγησιν ἐπαινῶν λέγει σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί, μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας[2]). Πρὸς τοῦτο δὲ συμβάλλονται καὶ οἱ ἐν τῷ πρώτῳ βιβλίῳ μῦθοι, ἐν οἷς ὅ τε Ὅμηρος καὶ ὁ Φήμιος γραμμάτων διδάσκαλοι λέγονται. Κυροῦσι δὲ τὰ εἰρημένα καὶ τὰ περὶ Ὁμηριδῶν λεγόμενα, οἵτινες τάξις τις σοφῶν ἦσαν. Ὁ δὲ Wolf[3]) *καὶ* Gräfenhan[4]) *ἔκ τινος ἀριστοτελικοῦ χωρίου[5]) ἀποφαίνονται, ὅτι ἐν τούτοις τὰ ἀρχαιότατα τῆς φιλολογίας ἴχνη ζητητέα. Οὐδενὶ ὅμως ποιητῇ ἐπέρχεται, ὅπως τὴν τέχνην τοῦ γράφειν περιγράψῃ, ὡς οὐκ ἐπέρχεται τῷ γραφεῖ, ἵνα τὴν ἰδίαν τέχνην εἰκονίσῃ. Τελευταῖον πολλῶν λαῶν, παρ' οἷς ἡ γραφὴ ἐν πληρεστάτῃ χρήσει ὑπάρχει, δύναταί τις ἀριθμῆσαι πολλὰ ποιήματα μηδὲν ἴχνος γραφῆς φέροντα. Ἀλλά, καὶ εἰ ἀπεδείκνυτο, ὅτι οἱ ἐπὶ τῶν Τρωικῶν ἄνθρωποι τὴν γραφὴν ἠγνόουν, πάλιν καὶ τοῦτο οὐκ ἀποδεικνύει, ὅτι καὶ ὁ αἰῶνας μετ' ἐκεῖνα ζήσας Ὅμηρος οὐκ ἐγίνωσκε ταύτην. Διότι, οὐ περιγράφει, ὡς εἴδομεν σύγχρονον ἱστορίαν, ἀλλὰ πολὺ ἀρχαιοτέρους μύθους ποιεῖ.*

---

1) *Ὀδυσσ.* Γ 267. 2) *Ὀδυσσ.* Λ 266. 3) Proleg. ad Homer. *σελ.* 166. 4) Geschichte d. class. Phil. I, 53. 5) *Μεταφυσικ.* XII, 450.

Μετὰ τὰ ὁμηρικὰ ἔπη ἐξετάζομεν τὰ ἀρχαιότερα τῆς Ἑλλάδος μνημεῖα. Ὁ Ἡρόδοτος παραδίδωσιν[1]*, ὅτι ἐν τῷ ἱερῷ τοῦ Ἰσμηνίου Ἀπόλλωνος ἀνέγνω τρεῖς ἐπὶ τριπόδων ἀρχαιοτάτας ἐπιγραφάς, ἃς ἀντέγραψεν. Τούτων τὸν μὲν ἀνέθηκεν ὁ Ἀμφιτρύων, τὸν δὲ Σκαῖος ὁ Ἱπποκόωντος καὶ τὸν τρίτον Λαοδάμας ὁ Ἐτεοκλέους. Τὰ ὀνόματα δὲ ταῦτα, ὡς ἕκαστος ὁρᾷ, μυθικά εἰσιν. Ἐνταῦθα ἐγείρονται ζητήματά τινα, ὧν τὴν λύσιν ἐπιχειροῦμεν. Ἀνέγνω ὁ Ἡρόδοτος τοιαύτας ἐπιγραφάς; Ἴσως πρότερον, ὅτε ἡ κατὰ τοῦ ἱστορικοῦ διαβολὴ τοῦ Χαιρωνέως ἴσχυεν, ἠδύνατό τις ἀμφιβάλλειν. Ἤδη ὅμως ὑπό τε περιηγητῶν καὶ ἄλλων σπουδαίων ἀνδρῶν ἀπεδείχθη, ὅτι ὁ Ἁλικαρνασσεὺς ἑκουσίως οὐ ψεύδεται. Ἀλλ' ἴσως ψεύδεται ἀκουσίως. Ὁ* Wolf *νομίζει, ὅτι ὁ Ἡρόδοτος ὑπὸ τῶν ὁδηγῶν ἐπλανήθη, καὶ ὅτι δῆθεν ὁ ἀήθης τῶν γραμμάτων τύπος παρέσχεν αὐτῷ τὴν πίστιν. Ἐπικυροῖ δὲ τὴν πλάνην τοῦ ἱστορικοῦ λέγων, ὅτι ἐν ἐκείνοις τοῖς χρόνοις πνεύματα πρὸς ἐξέτασιν τοιούτων ζητημάτων οὐ κατανηλίσκοντο*[2]*. Ἀλλ' ὁ Ἡρόδοτος ὁ εἰς ἐπιμιξίαν πρὸς τοὺς Αἰγυπτίους καὶ τοὺς λαοὺς τῆς Ἀσίας ἐλθὼν ἐγίνωσκε τὴν τῶν ἑλληνικῶν χαρακτήρων διαφορὰν πρὸς τοὺς φοινικικοὺς πολλῷ κρεῖττον, ἢ ὁ* Wolf *καὶ πάντες, ὅσοι ἐν Γερμανίᾳ περὶ τὸ μέρος τοῦτο τῆς ἐπιστήμης ἀσχολούμενοι ὑποθέσεις ἐπὶ προϋποθέσεων στηρίζουσιν. Τοῦτο δ' οὐκ ἔστι ψιλὴ εἰκασία. Διότι ὁ ἱστορικὸς ἐν τῷ εἰρημένῳ χωρίῳ ἐναργῶς τὴν αὐτοῦ ἱκανότητα ἐπιδείκνυσιν*[3]*. Ἀνὴρ δὲ τόν τε τρόπον, καθ' ὃν οἱ Ἕλληνες τὰ φοινικικὰ γράμματα μετέβαλον, καὶ τὴν διαφορὰν τούτων πρὸς τὰ ἑλληνικὰ καλῶς γινώσκων, πῶς ἠδύνατο ὑφ' ὁδηγῶν πλανηθῆναι; Ὁ Ἡρόδοτος, ὁ ἀεὶ ἰδίαν καὶ*

---

1) V, 58—61

1) *Ἀμφιτρύων μ' ἀνέθηκεν ἐὼν ἀπὸ Τηλεβοάων.*

2) *Σκαῖος πυγμαχέων με ἑκηβόλῳ Ἀπόλλωνι νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.*

3) *Λαοδάμας τρίποδ' αὐτὸς ἐϋσκόπῳ Ἀπόλλωνι μουναρχέων ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.*

2) Proleg. ad Homer. *σελ.* 55—56. 3) V, 58.

συχνάκις διάφορον γνώμην ἔχων πρὸς τοὺς λαούς, οὓς περιηγεῖται, ἐπλανήθη ὑπὸ τῶν ὁδηγῶν; Τοῦτο τῇ ἀληθείᾳ οὐ τολμῶμεν πιστεῦσαι. Ὁμολογοῦμεν, ὅτι ἐφ' Ἡροδότου, ὡς λέγει ὁ μέγας Wolf, πνεύματα πρὸς τοιαύτας ἐρεύνας οὐ κατανηλίσκοντο. Ἀλλ' οὐκ ἦν ἀνάγκη. Διότι νῦν πρὸς λύσιν πολλῶν φιλολογικῶν ζητημάτων καταναλίσκονται πλεῖστα καὶ μεγάλα πνεύματα θηρεύοντα τὴν ἀλήθειαν, ἣν συχνάκις δυστυχῶς οὐχ εὑρίσκουσιν, ἐν ᾧ τότε διὰ τὴ ἐγγύτητα τῶν πραγμάτων αὐτοῖς τοῖς ὀφθαλμοῖς ἠδύνατό τις αὐτὴν ἰδεῖν. Οὐ δεόμεθα δὲ παραδειγμάτων. Διότι ἡ φύσις πάντων σχεδὸν τῶν φιλολογικῶν ζητημάτων τοιαύτη ἐστίν.

Πρὸς δὲ ὁ Wolf [1]) ἐν τῷ ἤχῳ τῶν εἰρημένων ἐπιγραφῶν νοθείαν ἀνακαλύπτων παρακαλεῖ τοὺς ἀναγνώστας, ὅπως τὰ ὦτα ἐντείνωσιν. Ἡμεῖς γε, καίπερ Ἕλληνες καὶ τὸν ἦχον τῶν ἑλληνικῶν λέξεων φυσικώτερον δεχόμενοι, καίπερ ὅλην δεκαετηρίδα τὰ ὁμηρικὰ ἔπη μελετῶντες καὶ ἀναμελετῶντες, ὅμως οὐκ ἔχομεν οὕτως εὐαίσθητον ἀκοήν, ὅπως τοσαύτην διαφορὰν εὕρωμεν, ὅσην ὁ μέγας Wolf ᾐσθάνετο. Ὁμολογήσωμεν τὴν ἀσθένειαν τῶν ἡμετέρων ὤτων. Ἀλλ', εἰ οἱ στίχοι ἐκεῖνοι πάνυ ὁμοίως πρὸς τοὺς ἐν τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ ἤχουν, τοῦτο ἀπεδείκνυεν, ὅτι αὐτὸς ὁ Ὅμηρος τὰς ἐπιγραφὰς ἐχάραξεν, ὅπερ οὐδεὶς ἀποφαίνεται. Ἡρωικὸς αἰὼν οὐ σημαίνει ἕνα ἄνθρωπον, οὗ ὁμοίως αἱ λέξεις ἠχοῦσιν, ἀλλὰ πλείστας γενεὰς μερόπων ἀνθρώπων, ὧν ἑκάστου αἱ συνήθεις λέξεις οὕτω διάφοραι ἦσαν, ὡς διάφορος ἦν ὁ βίος, ἡ χώρα καὶ πάντα τὰ τὸν χαρακτῆρα καὶ τὴν γλῶσσαν ἑκάστου ἀτόμου μορφοῦντα. Ἡ δὲ τοῦ Wolf γνώμη ἦν πιθανή, εἰ ἡ διαφορὰ ἦν τοσαύτη, ὅση τὰς διαφόρους τῆς ἑλληνικῆς γλώσσης ἐποχὰς χαρακτηρίζει.

Ἀλλ', εἰ μόνον τὴν μαρτυρίαν τοῦ Ἡροδότου εἴχομεν, ἴσως καὶ μετὰ τὰ εἰρημένα ἀμφιβολία τις ὑπελείπετο. Ὅμως ἀγαθῇ τύχῃ καὶ ἄλλοι συγγραφεῖς, μάλιστα περιη-

---

1) Proleg. ad Homer. σελ. 56 „Nam acrius mihi, quaeso, animum intende ad illorum versuum sonum, eumque compara cum Homero."

γηταὶ (ὧν ἡ μαρτυρία διὰ τὴν ἐκ τῆς περιηγήσεως πεῖραν ἐν τοιούτοις ζητήμασι μέγα κῦρος ἔχει) μέμνηνται ἀρχαιοτάτων ἐπιγραφῶν, ἃς εἶδον καὶ ἀνέγνωσαν, ὡς Διόδωρος ὁ Σικελιώτης, ὁ Πλίνιος, ὁ Παυσανίας καὶ ἄλλοι. Ἐνταῦθα μνημονεύομεν μόνον τῆς ἐπὶ τοῦ κορινθιακοῦ ἰσθμοῦ ἱδρυμένης στήλης, ἐφ' ἧς ἦσαν τὰ κάτωθι δύο τρίμετρα. Κατὰ μὲν τὸν Πλούταρχον[1]) τὴν στήλην ὁ Θησεὺς ἀνίδρυσε, κατὰ δὲ τὸν Στράβωνα οἱ ἐκ τῆς Πελοποννήσου ἐξελαθέντες Ἴωνες[2]). Οὕτω δὲ σπουδαῖον συμβὰν οὐ δύναται θεωρηθῆναι πλάσμα, ὡς ὀρθῶς παρατηρεῖ ὁ Kreuser[3]). Ἐνταῦθα ὅμως τοῦ λόγου διατρίβοντας δύναταί τις ἐρωτῆσαι. Τί δή; Πιστεύετε, ὅτι τῆς μυθικῆς ἐποχῆς ἄνθρωποι τρίποδας ἀνέθηκαν καὶ στήλας μετ' ἐπιγραφῶν ἵδρυσαν; Ἐπειδὴ ἀποδείξεων εἰς ἄρνησιν στερούμεθα, μόνον τὸ τοῦ ἡμετέρου αἰῶνος πνεῦμα τὸ εἰς ἀρνήσεις τεῖνον κωλύει ἡμᾶς, ὅπως τοῦτο δεχθῶμεν. Ἂν δ' ἀρνηθῶμεν, ὀφείλομεν θεῖναι ταῦτα εἰς πολὺ προγενεστέραν τοῦ Σόλωνος ἐποχήν, ὅπως μήτε οἱ πλανήσαντες τῆς κοινῆς μομφῆς τύχωσι, μήτε οἱ πλανηθέντες σπουδαῖοι ἄνδρες τοσαύτην ἄνοιαν ὀφλισκάνωσιν, ὅσης ἐν τοῖς συγγράμμασιν αὐτῶν οὐ φαίνονται ἔνοχοι. Ὁ αἰὼν δ' οὗτος ὁ τοῦ Ὁμήρου ἐστίν.

Ἀλλ' ὁ ἱστορικὸς Grote[4]) ἐκ τῆς ἑπομένης αἰτίας ὁρμώμενος καταβιβάζει τὴν τῆς γραφῆς χρῆσιν εἰς πολὺ μεταγενεστέραν ἐποχήν. Κατὰ τὸν ἄνδρα τοῦτον αἱ μέχρις ἡμῶν περισωθεῖσαι ἐπιγραφαὶ μεταγενέστεραι τῆς 40ῆς

---

1) Βίος Θησ. XXV, „Προσκτησάμενος δὲ τῇ Ἀττικῇ τὴν Μεγαρικὴν βεβαίως, τὴν θρυλουμένην ἐν Ἰσθμῷ στήλην ἔστησεν, ἐπιγράψας τὸ διορίζον ἐπίγραμμα τὴν χώραν δυσὶ τριμέτροις, ὧν ἔφραζε τὰ μὲν πρὸς ἕω

Τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία·

τὰ δὲ πρὸς ἑσπέραν

Τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰωνία.“

2) III, 171 „Ἐπὶ τῷ Ἰσθμῷ Κορινθιακῷ μνημονεύεται στήλη τις ἱδρυμένη πρότερον, ἣν ἔστησαν κοινῇ οἱ τὴν Ἀττικὴν σὺν τῇ Μεγαρίδι κατασχόντες Ἴωνες, ἐξελαθέντες ἐκ τῆς Πελοποννήσου, καὶ οἱ κατασχόντες τὴν Πελοπόννησον, ἐπέγραψαν ...“ Παράβαλ. IX, 392. 3) Vorfragen über Homeros σελ. 132 „Es wäre wunderlich, wenn man eine so bestimmte Thatsache als erdichtet ansehen wollte, und zu welchem Zwecke? ...“ 4) II, σελ. 136.

Ὀλυμπιάδος εἰσί, καὶ ἡ τούτων κατασκευὴ ἀνεπιτηδεία καὶ ἀπειρόκαλος. Ἀναντιρρήτως ἡ εἴδησις Fourmont *τοῦ νεωτέρου, ὅστις ἐν τῇ περιηγήσει αὐτοῦ εἰς τὴν Ἑλλάδα* (1729—30) *λείψανα ἐπιγραφῶν κεχαραγμένων* 3000 *Π·Χ· εὗρεν, ἡμαρτημένη ἐστίν, ὡς ὁ σοφὸς ἡμῶν διδάσκαλος* Böckh *ἐν τῷ* Corpus inscriptionum *ἀπέδειξεν. Ὅμως ἐπιγραφαὶ κατὰ τὸν* Gräfenhan[1]) *πρὸ τῆς ἀρχῆς τῶν Ὀλυμπιάδων ἐχαράχθησαν. Ὁ δὲ* J. Franzius[2]) *ἐν τοῖς μάλιστα τὰς ἀρχαίας ἐπιγραφὰς μελετήσας ἀποφαίνεται, ὅτι ὁ ποιητὴς τῆς Ἰλιάδος καὶ Ὀδυσσείας τὴν γραφὴν ἐγίνωσκε καὶ ταύτῃ εὐκόλως ἐχρῆτο. Πρὸ πάντων ὅμως μνημονεύομεν τοῦ μεγάλου* Böckh, *ὅστις διὰ τὴν βαθυτάτην τῶν ἑλληνικῶν ἐπιγραφῶν σπουδὴν περὶ τοῦ ζητήματος τούτου, εἴ πέρ τις καὶ ἄλλος, δύναται ἀποφανθῆναι. Ὁ μέγας οὗτος ἀνὴρ ἐν ταῖς παραδόσεσι τῆς ἑλληνικῆς γραμματολογίας ὁμολογεῖ, ὅτι ἐν τῇ γενέσει τῶν ὁμηρικῶν ἐπῶν ἡ γραφὴ ἦν γνωστή. Πρὸς πᾶσι τούτοις ἡμῖν γε μένει ζήτημα, εἰ ἡ ἀνεπιτηδειότης καὶ ἀπειροκαλία ὁλοκλήρῳ ἐκείνῃ τῇ ἐποχῇ ἀνήκει, ἢ μόνον τοῖς τεχνίταις τοῖς ἐπὶ μαρμάρου χαράσσουσιν. Ἂν δ' ὑποτεθῇ τῷ πρῶτον (δηλαδὴ πάντες οἱ γράφοντες οὕτως ἀνεπιτηδείως καὶ ἀπειροκάλως ἔγραφον, ὡς καὶ οἱ ἐπὶ μαρμάρου), πάλιν ζητητέον, εἰ αἱ ἐπιγραφαὶ αὗται τὰ πρῶτα δοκίμια ἦσαν, ἢ ἐν ἐκείνῃ τῇ ἐποχῇ ἦν ὁ συνήθης τῆς γραφῆς τύπος. Οἱ δὲ νεώτεροι τὰ γράμματα ταῦτα πρὸς τὰ τῆς μεταγενεστέρας ἐποχῆς, ἥτις ἐν πᾶσι τὸ καλὸν ἐθήρευσεν, παραβαλόντες εὑρίσκουσι τὴν προτέραν ἀνεπιτηδείαν καὶ ἀπειρόκαλον.*

Ὁ δεχόμενος λοιπόν, ὅτι ἐν τοῖς ἀρχαιοτέροις χρόνοις ἐπιγραφαὶ ἐχαράσσοντο, ἀναγκαίως ὁμολογήσει, ὅτι καὶ οἱ νομοθέται, εἰ ἔθος ἦν, τοὺς αὐτῶν νόμους ἐπὶ ξύλου, λίθου, ἢ μετάλλου ἐχαράξαντο. Πρὸς ἀπόδειξιν δὲ τούτου οὐ λείπουσιν ἀρχαῖαι μαρτυρίαι. Ὁ Λυκοῦργος, ὅστις δὴ

---

1) Geschichte der class. Phil. I, *σελ.* 48. 2) Elementa epigraphices Graecae *σελ.* 30 „Quod si ita est, facile intelligitur, Homero vel quicumque is est a quo Rhapsodiae Iliadis et Odysseae profectae sunt, non solum cognitionem litterarum, sed etiam usum facultatemque tribui oportere."

λέγεται ἰδὼν τὸν Ὅμηρον, ἔγραψε τοὺς αὐτοῦ νόμους[1]). Ἐν δὲ τῷ κατὰ Νεαίρας λόγῳ τοῦ Ψευδοδημοσθένους γίνεται μνεία ἀρχαιοτάτου νόμου ἐπὶ λιθίνης στήλης γεγραμμένου[2]). Πρὸς δὲ ἀρχαιοτάτων δημοσίων ἐγγράφων μνεία γίνεται. Ὁ μὲν Τάκιτος[3]) ἱστορεῖ, ὅτι ἐπὶ Τιβερίου ἐσῴζοντο τὰ πρωτότυπα τῆς συνθήκης, καθ' ἣν οἱ Ἡρακλεῖδαι τὴν Πελοπόννησον διένειμαν, ὁ δὲ Συνέσιος, ὁ τῆς Πτολεμαΐδος ἐπίσκοπος, μνημονεύει τοιούτων δημοσίων ἐγγράφων[4]). Αἱ δὲ ἑλληνικαὶ πόλεις διετήρουν εἶδός τι χρονικῶν, ἀφ' ὧν οἱ λογογράφοι βραδύτερον, ὡς παραδίδωσι Διονύσιος ὁ Ἁλικαρνασσεὺς[5]), ἤντλησαν πολλὰς εἰδήσεις.

Ἀλλ' οἱ περὶ τὸν Wolf λέγουσιν, ὅτι ἐπιγραφαὶ ἐξ ὀλίγων λέξεων συνιστάμεναι, ἐπιγραφαὶ νομισμάτων καὶ μικρὰ δημόσια ἔγγραφα ἠδύναντο μὲν ἴσως γραφῆναι, ὅμως ὅλη Ἰλιὰς καὶ Ὀδύσσεια μείζονα ἱκανότητα καὶ μείζονα ἐμπειρίαν ἀπαιτοῦσιν. Οἱ ταῦτα ὅμως λέγοντες ζητοῦσιν, ὡς δοκεῖ, χειρόγραφα ἐκ τῆς ὁμηρικῆς ἐποχῆς καταρρέοντα, ὅπως πεισθῶσιν. Δυστυχῶς στερούμεθα τοιούτων, διὰ τὴν στέρησιν ὅμως μεμφώμεθα τὸν πανδαμάτορα χρόνον, τὸν φθείροντα τὰ ἐπὶ φθαρτῆς ὕλης γεγραμμένα. Μόνον οἱ λίθοι καὶ τὰ μέταλλα πρὸς τὰς τῆς φύσεως προσβολὰς ἀντέχουσι καὶ τύχῃ ἀγαθῇ διέσωσαν ἐπιγραφάς, ἃς εἶδον σπουδαῖοι ἄνδρες καὶ οἱ ἰδόντες ἐγγράφως ἐμαρτύρησαν. Ἀλλὰ καὶ ἔτι μείζονας ἀποδείξεις ἔχομεν. Ὁ Παυσανίας ἐν τῇ Ἵππου καλουμένῃ πηγῇ εἶδε τὰ Ἔργα τοῦ Ἡσιόδου ἐπὶ μολυβδίνων πλακῶν γεγραμμένα[6]). Πρὸς δὲ τέσσαρες μάρτυρες, Ἡρακλείδης ὁ Ποντικός[7]), Δίων ὁ Χρυσόστο-

---

1) Παυσαν. V, 4, 4 „Λυκοῦργον τὸν γράψαντα τοῖς Λακεδαιμονίοις νόμους.“ 2) Σελ. 1370 „Καὶ τοῦτον τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ ἔστησαν ἐν τῷ ἱερῷ τοῦ Διονύσου παρὰ τὸν βωμὸν ἐν Λίμναις …“ 3) Annal. IV, 43. 4) Ἐπιστολ. 57 „Ἀπ' Εὐρυσθένους τοῦ καταγαγόντος Δωριέας εἰς Σπάρτην μέχρι τοῦ ἐμοῦ πατρὸς αἱ διαδοχαὶ ταῖς δημοσίαις ἐνεκολάφθησαν κύρβεσιν.“ 5) Περὶ Θουκυδ. V, 3 „Ὅσαι διεσώζοντο παρὰ τοῖς ἐπιχωρίοις μνῆμαι κατὰ ἔθνη τε καὶ κατὰ πόλεις, ἐν ἱεροῖς, εἴτ' ἐν βεβήλοις ἀποκείμεναι.“ Παράβαλ. Nitzsch, De Historia Homeri σελ. 100. 6) IX, 31. 7) Περὶ Πολιτ. ὅρα Gron. Thes. σελ. 2823.

μος[1]), *ὁ Πλούταρχος*[2]) *καὶ ὁ Αἰλιανὸς*[3]) *ἱστοροῦσιν, ὅτι ὁ Λυκοῦργος τὰ τοῦ Ὁμήρου ἔπη παρὰ τοῖς ἐκγόνοις τοῦ Κρεωφύλου ἐντυχὼν καὶ ταῦτα ἀντιγράψας εἰς τὴν Σπάρτην ἐκόμισεν. Οἱ ἀρνούμενοι πάντα τὰ μυθικὰ πρόσωπα, ὡσεὶ οἱ τῶν ἱστορικῶν χρόνων ἄνθρωποι ἐκ τῆς ἱστορίας ἐγεννήθησαν, λέγουσιν, ὅτι Λυκοῦργος οὐδέποτε ὑπῆρξεν. Ἴσως· ὅμως ἄνθρωπός τις (ἔστω οἱονδήποτε τὸ ὄνομα αὐτοῦ) τὰ τοῦ Ὁμηρου ἔπη εἰς τὴν Σπάρτην ἐκόμισεν. Διότι ἐνταῦθα, ὡς ἔν τινι τῶν ἑπομένων κεφαλαίων δειχθήσεται, τὰ ὁμηρικὰ ἔπη λίαν πρωΐμως γνωστὰ ἦσαν. Πῶς δὴ οὗτος ταῦτα ἐκόμισεν; Ἡ μόνη γνωστὴ μέθοδος ἡ γραφή ἐστιν. Ἀλλ' οὐχὶ μόνον αὕτη. Διότι ὁ ἐφευρετικὸς τοῦ* Wolf *νοῦς ἐφεῦρε καὶ ἄλλην, ἐν κεφαλαῖς ἀνθρώπων. Ὢ τῆς ἐπινοίας! Ὁ σοφὸς ἀνὴρ λέγει, ὅτι ὁ Λυκοῦργος ἤγαγεν ἐκ τῆς Ἀσίας ῥαψῳδούς*[4]). *Ἀλλ' οἱ τέσσαρες ἐκεῖνοι ἄνδρες ὤφειλον εἰπεῖν ῥαψῳδούς, καὶ οὐχὶ γραπτὰ ἔπη. Ὁ Ἡρακλείδης, ὁ Αἰλιανὸς καὶ οἱ ἄλλοι οὔτε μυθοποιοί εἰσιν, οὔτε ἀλληγορίαις χρῶνται, ἀλλ' ἄνδρες τὰ γεγονότα διὰ τῶν ἰδίων λέξεων ἐκφράζοντες. Ἀλλ' ὁ* Wolf *ταῦτα προϊδὼν λέγει, ὅτι οἱ ἱστορικοὶ προστιθέασι τοιαῦτα ἐκ τοῦ ἰδίου πνεύματος, ὅπως μὴ φαίνωνται τὰ πράγματα διηγούμενοι ψιλῶς καὶ συντόμως*[5]). *Τοιαύτας ὅμως προσθήκας οὐδεὶς ἱστορικὸς ἐν τῇ αὐτοῦ ἱστορίᾳ παρεμβάλλει. Διότι τὰ τοιαῦτα οὐ προσθῆκαι, ἀλλὰ ψεύδη καλοῦνται. Εἰ δὲ τοιαύτη ἐκλογὴ τῶν ἀρχαίων μαρτυριῶν ἐπιτρέπεται, εἰ τὰ σχόλια τοῦ παρακμάσαντος Ἑλληνισμοῦ τοῦ Ἡρακλείδου, Πλουτάρχου καὶ Αἰλιανοῦ προτιμῶνται, εἰ ὁ Ἰώσηπος τοῦ Ἡροδότου, ἕκαστος δύναται συστρέφων καὶ πιέζων τὰς*

---

1) *Λόγ.* III, 87. 2) *Βίος Λυκούργ.* IV „*Ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἐντυχὼν πρῶτον, ὡς ἔοικε, παρὰ τοῖς ἐκγόνοις τοῦ Κρεωφύλου διατηρουμένοις, καὶ κατιδὼν . . . ἐγράψατο προθύμως καὶ συνήγαγεν ὡς δεῦρο κομιῶν.*“ 3) *Ποικίλ. Ἱστορ.* XIII, 14. 4) Proleg. ad Homer. *σελ.* 139 „Ejus (*δηλαδὴ τοῦ Κρεωφύλου*) conjicias fuisse familiam *ἀοιδῶν* sive *ῥαψῳδῶν*, qui Carmina rogatu Lycurgi docuerint Lacedaemonios, vel revertendi comitem dederint, qui ea temeret et caneret.“ 5) *Αὐτόθι* „Addunt talia historici ex ingenio suo, ne res nude et exiliter rarrare videantur.“

ἀρχαίας μαρτυρίας, καὶ οἱονεὶ βασανίζων καὶ ἀπειλῶν τοὺς μάρτυρας δημιουργῆσαι θεωρίας, οἷα ἡ τοῦ Wolf. *Ὁ δεχόμενος λοιπόν, ὅτι ὁ Λυκοῦργος ἠδύνατο ἀντιγράψαι τὰ ὁμηρικὰ ἔπη, ἀναγκαίως ὁμολογήσει, ὅτι καὶ ὁ σύγχρονος, ἢ ὀλίγῳ προγενέστερος Ὅμηρος, εἰ ἐβούλετο, τὰ αὐτοῦ ἔπη ἔγραψεν.*

Ἀλλ' ἴσως ταῦτα πιθανά. Ποῦ ὅμως ἡ γραφικὴ ὕλη; Καὶ εἰ μηδεμία τῆς ἀρχαιότητος μαρτυρία περὶ γραφικῆς ὕλης ἐσώζετο, καὶ εἰ μηδεμία εἰκασία πιθανὴ ἦν, πεισθέντες, ὅτι οἱ ἀρχαῖοι ἔγραφον καὶ ἀντέγραφον, ὠφείλομεν πιστεῦσαι, ὅτι καὶ ἐπιτηδείαν πρὸς τοῦτο ὕλην εἶχον. Ἀλλ' οὐ καταφεύγομεν εἰς τὸ τελευταῖον ὀχύρωμα. Διότι οἱ πολέμιοι δεινοί εἰσιν. Εἰ οἱ σύγχρονοι τοῦ Ὁμήρου ἐγίνωσκον τὴν γραφήν, ἔγραφον καὶ ἀντέγραφον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν οὔτε ἐν φύλλοις δένδρων, οὔτε ἐπὶ δένδρων, οὔτε ἐπὶ κηροῦ, οὔτε ἐπὶ ξύλων, εἰ καὶ ἦν δυνατόν, ἀλλ' ἐπὶ ἐπιτηδειοτέρας τούτων ὕλης. Ὑφάσματα δὴ ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οὐχὶ ὀλίγα μνημονεύονται. Ἐπὶ λινῶν δ' ὑφασμάτων ἐν τοῖς ἀρχαιοτέροις χρόνοις ἔγραφον οἵ τε Ἰουδαῖοι καὶ οἱ Ῥωμαῖοι. Τίνος δ' ἕνεκεν ὁ Wolf[1]) *ἀφαιρεῖ ἀπὸ τῶν Ἑλλήνων τὴν χρῆσιν τῶν λινῶν ὑφασμάτων, οὐκ οἴδαμεν. Πρὸς δὲ ἐν ἀρχαιοτάτοις χρόνοις ἦσαν γνωστὰ τοῖς Ἕλλησι τὰ τῶν μετάλλων ἐλάσματα. Διότι ὁ Παυσανίας, ὡς εἴρηται, εἶδε τὰ Ἔργα τοῦ Ἡσιόδου ἐπὶ μολυβδίνων πλακῶν κεχαραγμένα. Πρὸς τῇ πλουσίᾳ δὲ ταύτῃ ὕλῃ ὑπῆρχον καὶ τὰ δέρματα*[2]), *ὧν μαρτυροῦντος τοῦ Ἡροδότου μεγάλη χρῆσις ἐγίνετο „Καὶ τὰς βίβλους διφθέρας καλέουσι ἀπὸ τοῦ παλαιοῦ οἱ Ἴωνες, ὅτι κοτὲ ἐν σπάνι βίβλων ἐχρέωντο διφθέρῃσι αἰ-*

---

1) Proleg. ad Homer. *σελ.* 61 „Quod quum secus sit, idque genus solis Romanis tribuatur, ac si cui forte placebit ejus copiam praebere Mosi, ut ipse Pentateuchum contexat, ne linteam quidem Iliada nobis confingere licet.“
2) *Αποσπάσμ. Εὐριπίδ.*

Εἰσὶν γάρ, εἰσὶ διφθέραι μελεγγραφεῖς
πολλῶν γέμουσαι Λοξίου γηρυμάτων.

Παράβαλ. Welcker, Der epische Cyklus I, 381.

γέῃσί τε καὶ οἰέῃσι· ἔτι δὲ καὶ τὸ κατ' ἐμὲ πολλοὶ τῶν βαρβάρων ἐς τοιαύτας διφθέρας γράφουσι"[1]). Τὸ χωρίον δὲ τοῦτο τοῦ Ἁλικαρνασσέως σπουδαιότατόν ἐστιν. Διότι πρῶτον διδάσκει ἡμᾶς, ὅτι οἱ Ἴωνες ἐχρῶντο δέρμασιν ὡς γραφικῇ ὕλῃ, καὶ δεύτερον, ὅτι ἐχρῶντο τούτοις ἐν παλαιτάτοις χρόνοις. Ἐπειδὴ δ' ὁ ἱστορικὸς ἀναγκάζεται ἀρχαιολογεῖν, εἰκάζομεν, ὅτι τρεῖς αἰῶνας ἢ καὶ πλέον πρὸ αὐτοῦ τὰ δέρματα γνωστὰ τοῖς Ἴωσιν ὡς γραφικὴ ὕλη ἦσαν. Καὶ τρίτον τὸ ἡροδότειον χωρίον διδάσκει ἡμᾶς, ὅτι καὶ αὐτοὶ οἱ βάρβαροι τήν τε γρφὴν ἐγίνωσκον καὶ ὕλην πρὸς τοῦτο εἶχον, ὅπερ καὶ ὑπὸ ἄλλων συγγραφέων μαρτυρεῖται. Καὶ ὁ μὲν Πλίνιος ἱστορεῖ, ὅτι, καίπερ περὶ τὴν Βαβυλῶνα παρὰ τῷ Εὐφράτῃ παπύρου ὁμοίας πρὸς τὴν αἰγυπτιακὴν ἀνακαλυφθείσης, ὅμως οἱ Πάρθοι μέχρις αὐτοῦ τοῖς δέρμασιν ἐχρῶντο, ὁ δὲ Ἡσύχιος[2]) παραδίδωσιν, ὅτι καὶ οἱ Κέλται ἐπὶ δερμάτων ἔγραφον. Εἰ λοιπὸν οἱ Ῥωμαῖοι, οἱ ὀλίγον καὶ λίαν βραδέως τῆς γραφῆς ἐπιμεληθέντες, εἰ οἱ βάρβαροι λαοί, μηδ' αὐτῶν τῶν Πάρθων ἐξαιρουμένων, ἐπὶ δερμάτων ἔγραφον, πόσον βάρβαροι ἔμελλον εἶναι οἱ Ἕλληνες, εἰ μηδὲ τοὺς βαρβάρους γε ἐμιμοῦντο!

Ἀλλ' ὁ μέγας Wolf νομίζει[3]), ὅτι ἡ πρώτη τῆς γραφῆς ἀπόπειρα ἐγένετο ἐπὶ ξύλων, λίθων καὶ μετάλλων παράδειγμα φέρων τὴν ἐπὶ ξύλων χάραξιν τῶν νόμων τοῦ Σόλωνος[4]). Οὐχὶ δικαίως, ὡς νομίζομεν. Διότι οἱ νόμοι τούτου τοῦ νομοθέτου, ὡς καὶ τῶν ἄλλων, ἐχαράσσοντο ἐπὶ τοιούτων ὑλῶν οὐχὶ διὰ τὴν ἄγνοιαν πάσης ἄλλης γραφικῆς ὕλης, ἀλλὰ διὰ τὴν φύσιν τοῦ πράγματος. Διότι ἡ ἐπὶ τοιούτων ὑλῶν τῶν νόμων χάραξις ἦν ὁ συνήθης τῆς δημοσιεύσεως τρόπος. Οἱ δὲ νομοθέται ἐξέλεγον, ὅσον οἷόν τε, ἄφθαρτον ὕλην, ὅπως μὴ οἱ νόμοι τῇ φθειρομένῃ ὕλῃ συμφθείρωνται. Ἐπὶ τοιούτων δ' ὑλῶν χαραχθέντες οἱ νόμοι ἔν τε τοῖς δημοσίοις καθιδρύμασι καὶ ταῖς ὁδοῖς

---

1) V, 58. 2) Ἐν λ. Βαραχάκαι. 3) Prolegom. ad Homer. σελ. 60.
3) Πλουτ. Βίος Θησ. XXV.

ἐξετίθεντο, ὅπως προσιτοὶ τῷ λαῷ ὦσιν. Τοῦτο δ' ἧττον ἐπετυγχάνετο, εἰ ἐπὶ διφθερῶν ἐγράφοντο. Καὶ νῦν ἔτι, καίπερ τῆς γραφῆς ἐν μεγίστῃ χρήσει οὔσης καὶ ἐπιτηδειοτάτης γραφικῆς ὕλης εὑρεθείσης, ὅμως συχνάκις μικροὶ νόμοι, ὡς οἱ τοῦ Σόλωνος, καὶ μικρὰ διατάγματα, ἐπὶ τοιούτων ὑλῶν χαράσσονται. Ἡ δὲ ἐπὶ μολύβδου τῶν Ἔργων τοῦ Ἡσιόδου χάραξις οὐκ ἀποδεικνύει, ὅτι οἱ Βοιωτοὶ τὰ δέρματα ἠγνόουν. Διότι ταῦτα ἐπὶ μετάλλου ἐχαράχθησαν, ἵνα εἰς τὰς προσβολὰς τῆς φύσεως ἀντέχωσιν.

Ὡσαύτως οὐκ ὀρθῶς ἀποφαίνεται ὁ Wolf[1]), ὅτι ὁ πεζὸς λόγος ἤρξατο ἀπὸ τοῦ ἕκτου Π·Χ· αἰῶνος διὰ τοῦτο, ὅτι οὐδενὶ ἐπήρχετο εἰς τὸν νοῦν πεζὸν σύγγραμμα συντάξαι, ἅτε μηδεμίαν ἄλλην φρουρὰν τοῦ συγγράμματος, ἢ τὴν ἰδίαν μνήμην ἔχοντι. Διότι ἡ δυσχέρεια, ὡς νομίζομεν, οὔτε ἐν τῇ ἀγνοίᾳ τῆς γραφῆς, οὔτε ἐν τῇ ἀπορίᾳ τῆς γραφικῆς ὕλης ἔγκειται, ἀλλ' ἐν τῷ μεγάλῳ ἔργῳ αὐτοῦ τοῦ πεζοῦ λόγου. Ὅσῳ παρὰ τοῖς ἀνεπτυγμένοις λαοῖς ὁ πεζὸς λόγος εὐχερέστερος τῆς ποιήσεώς ἐστι, τοσούτῳ τὸ ἐναντίον συμβαίνει παρὰ τοῖς βίον παραπλήσιον πρὸς τὸν τῶν ἡρώων διάγουσιν. Διότι ἡ ποίησίς ἐστιν αὐτόματός τις τῆς ἀνθρωπίνης φύσεως κίνησις, πνευματικόν τι ἔνστικτον, μήτε δι' ἐπικαταλογισμοῦ ἔσωθεν γεννώμενον, μήτε ἐκ τῆς πείρας ἔξωθεν ἐπερχόμενον. Ἡ ποίησις ἐν τῇ ὑψηλῇ καὶ καθαρᾷ αὐτῆς σημασίᾳ κατὰ τὸν W. Müller ἐστὶ θαῦμα, ἡ δὲ πίστις εἰς αὐτήν ἐστι πίστις εἰς θαῦμα. Ὑπὸ ταύτην δὲ τὴν ἔννοιαν ἡ ἑρμηνεία τῆς δημιουργικῆς τοῦ ποιητοῦ δυνάμεως οὐκ ἔστι δυνατὴ ἄνευ ἀνατροπῆς τῆς πρὸς τὸ θαῦμα πίστεως. Ἡ ποίησις ἐστι δῶρον θεῖον τοῖς ἔχουσι πρόσφορον νοῦν καὶ ἐπιτηδείαν καρδίαν. Διὰ τοῦτο, ὅπως ᾖ τις ποιητής, δεῖται κατὰ

1) Proleg. ad Homer. σελ. 71 „Verum tamen non intelligo, quo tandem ratione cuiquam in mentem venire potuerit aliquid prosarium componere, nisi aliam custodiam compositi in promptu haberet quam memoriam suam.“
2) Cicer. De divinat. I, 37 „Atque etiam illa concitatio declarat vim in animis esse divinam. Negant enim sine furore quemquam poetam magnum esse posse.“

μὲν τὴν ἔκφρασιν τῶν ἀρχαίων τῆς φιλίας τῶν Μουσῶν[2]), *κατὰ δὲ τὴν τῶν νεωτέρων τοῦ θείου δώρου. Ὁ πεζὸς ὅμως λόγος κακῇ μοίρᾳ οὔτε θεῖον δῶρον, οὔτε προϊὸν θερμῆς φαντασίας ἐστίν, ἀλλὰ τελευταῖον πόνων καὶ μόχθων ἐπιγέννημα. Τοῦτο μαρτυρεῖ πάντων τῶν λαῶν ἡ ἱστορία καὶ πρὸς παράδειγμα ἔστω ὁ ἡμέτερος. Πρὸ τῆς ἡμετέρας ἀνεξαρτησίας οἱ πατέρες ἡμῶν διῆγον βίον κατά γε τὴν ἀνάπτυξιν ὅμοιον πρὸς τὸν τῶν ἡρώων. Καὶ ἐκείνοις γνωστὴ μὲν ἦν ἡ γραφή, ὅμως οὐδενὶ ἐπήρχετο εἰς τὸν νοῦν, ὅπως πεζὰ συγγράμματα συντάξῃ. Διότι ἐξαιροῦμεν τοῦ τότε ἑλληνικοῦ κόσμου τοὺς ἐν τῇ βορείῳ ἢ ἑσπερίᾳ Εὐρώπῃ σπουδάσαντας, οἵτινες ἐκεῖθεν ἰδέας ἀντλήσαντες, ἢ διὰ τὴν μεγάλην αὐτῶν εὐφυΐαν καὶ ἴδια τοὺς ἐν Εὐρώπῃ σοφοὺς μιμούμενοι συνέγραψαν. Ἐκ τούτων γε οὐ δύναταί τις κρίνειν περὶ τοῦ ἑλληνικοῦ λαοῦ. Τὸ δῶρον ὅμως τῆς ποιήσεως ἤκμαζε καὶ παρὰ τοῖς μηδεμίαν σελίδα πεζοῦ λόγου συγγράψαι δυναμένοις. Ἀλλ' ἐπανέλθωμεν. Οὕτω λοιπὸν ἀληθές ἐστιν, ὅτι ὁ πεζὸς λόγος δυσχερέστερος τῆς ποιήσεώς ἐστιν, ὥστε καὶ οἱ πρῶτοι πεζογράφοι ἦσαν λογογράφοι, δηλαδὴ μιμηταὶ τῶν ποιητῶν, ὡς αὐτοὶ οἱ ἀρχαῖοι εὐφυέστατα παρατηρήσαντες μαρτυροῦσιν*[1]). *Διὰ ταῦτα ἁμαρτάνουσιν, ὡς νομίζομεν, ὅ τε* Wolf *καὶ* Otfried Müller *πιστεύοντες*[2]), *ὅτι διὰ τὴν τῆς γραφῆς ἄγνοιαν ἡ τοῦ πεζοῦ λόγου ἔναρξις συμπίπτει τῇ ἐνάρξει τῆς γραφῆς. Ὅσοι δὲ μικράς τινας φράσεις ἔγραψαν, οὐκ ἠδύναντο ἀριθμηθῆναι ἐν τοῖς συγγραφεῦσιν.*

1) *Στράβ.* I, 18 *„Ὡς δ' εἰπεῖν, ὁ πεζὸς λόγος ὅγε κατεσκευασμένος μίμημα τοῦ ποιητικοῦ ἐστιν. Πρώτιστα γὰρ ἡ ποιητικὴ κατασκευὴ παρῆλθεν εἰς τὸ μέσον καὶ εὐδοκίμησεν. Εἶτα ἐκείνην μιμούμενοι, λύσαντες τὸ μέτρον, τἆλλα δὲ φυλάξαντες τὰ ποιητικά, συνέγραψαν οἱ περὶ Κάδμον καὶ Φερεκύδην καὶ Ἑκαταῖον. Εἶτα οἱ ὕστερον ἀφαιροῦντες ἀεί τι τῶν τοιούτων εἰς τὸ νῦν εἶδος κατήγαγον, ὡς ἂν ἀπὸ ὕψους τινὸς κτλ.“ „Πλουτ. Περὶ Πυθ. Χρησ. σελ.* 406 *„Οὕτω τοῦ λόγου συμμεταβάλλοντος ἅμα καὶ συναποδυομένου, κατέβη μὲν ἀπὸ τῶν μέτρων, ὥσπερ ὀχημάτων ἡ ἱστορία καὶ τῷ πεζῷ τοῦ μυθώδους ἀπεκρίθη τὸ ἀληθές.“*
2) Geschichte der griech. Literatur *σελ.* 63.

Διότι ἦσαν ἀνάξιοι τούτου τοῦ ὀνόματος, καὶ οὐχὶ ὅτι ἐπὶ βαρείας ὕλης, ὡς νομίζει ὁ Wolf, *ἔγραψαν.*

Μετὰ τὰ εἰρημένα ἐξετάζομεν καὶ τὰς τῶν ἀρχαίων μαρτυρίας, ὅπως ἴδωμεν, ἥντινα γνώμην καὶ οὗτοι περὶ τοῦ ζητήματος εἶχον. Πρὶν ὅμως τούτου ἐξετάζομεν, εἰ ἄλλοι λαοὶ πρὸ τῶν Ἑλλήνων τὴν γραφὴν ἐγίνωσκον. Πολλοὶ τῆς Ἀσίας λαοὶ ἐν παναρχαίοις χρόνοις καὶ ἔγραφον καὶ διετήρουν δημόσια ἔγγραφα. Ὁ Τερτυλλιανὸς μνημονεύει φοινικικῶν, χαλδαϊκῶν καὶ αἰγυπτιακῶν ἀρχείων. Παρὰ τοῖς Σίναις καὶ Ταρτάροις ἔτι καὶ νῦν σώζονται τοιαῦτα. Καὶ οἱ Ἑβραῖοι οὐκ ἐστεροῦντο τοιούτων δημοσίων ἐγγράφων, ὡς δὴ ἐκ πολλῶν τῆς ἁγίας γραφῆς χωρίων γινώσκομεν[1]. *Οἱ δ' Ἕλληνες πρὸ τῶν Τρωικῶν ἤδη μετὰ τῶν λαῶν τῆς Ἀσίας διὰ πολλῶν σχέσεων συνεδέοντο. Ὁ ἐν Λυκίᾳ οἰκῶν Γλαῦκος ὁ Ἱππολόχου ἕλκει τὸ γένος ἐκ τοῦ Αἰολίδου Σισύφου*[2], *τοῦ δὲ Προίτου ὁ πενθερὸς Ἰοβάτης οἰκεῖ ὡσαύτως ἐν Λυκίᾳ*[3]. *Οἱ δὲ πολυπαίπαλοι καὶ ναυσίκλυτοι Φοίνικες ἤδη πρὸ τῶν Τρωικῶν ἐμπορικὰς μετὰ τῶν Ἑλλήνων σχέσεις εἶχον*[4]. *Εἰ λοιπὸν μόνον τὰς μαρτυρίας ταύτας εἴχομεν, ἱκανὸν ἦν ἡμῖν εἰκάσαι, ὅτι οἱ Ἕλληνες ἐν τῇ πρώτῃ αὐτῶν σχέσει μετὰ τῶν λαῶν τῆς Ἀσίας τὴν γραφὴν παρὰ τούτων ἐδιδάχθησαν, καὶ διδαχθέντες λίαν πρωίμως ταύτῃ ἐχρήσαντο. Διότι ὁ τὴν εἰκασίαν ταύτην ἀπορρίπτων πιστεύει θαῦμα, ὅπερ μόνον οἱ τοὺς νόμους τῆς ἀναπτύξεως τῶν λαῶν ἀγνοοῦντες πιστεύουσιν. Εἰ ἐν τῷ πέμπτῳ, ἢ ἕκτῳ αἰῶνι Π·Χ· τοῖς Ἕλλησι γνωστὴ ἡ γραφὴ ἐγένετο, ὡς παρὰ φύσιν ὁ ἑλληνικὸς λαὸς ἀνεπτύχθη! Μόλις οὗτος τὴν γραφὴν πρὸς χρῆσίν γε μεγάλων συγγραμμάτων ἔμαθε, καὶ αἴφνης, ὡς ἀπὸ τῆς κεφαλῆς τοῦ Διός, ἐκ τῆς Ἑλλάδος*

---

1) *Βασιλ. βιβλ.* I, X, 25 „*Καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίωμα τοῦ βασιλέως καὶ ἔγραψεν ἐν βίβλῳ, καὶ ἔθηκεν ἐνώπιον Κυρίου.*" *Ἔζρα* II, 7, 5 „*Εὗρον βιβλίον τῆς συνοδίας, οἳ ἀνέβησαν ἐν πρώτοις· καὶ εὗρον γεγραμμένον ἐν αὐτῷ.*" *Παράβαλ. βιβλ.* I, 5, 17 *καὶ* VI, 1, 2. *Προφητ.* XXXII, 10, 14. *Τωβίτ.* VII, 13. IV, 1, 20. V, 3. 2) *Ἰλιάδ.* Ζ 154. 3) *Αὐτόθι* 170. 4) *Ὀδυσσ.* Ν 272. Ξ 288. Ο 415, 473, 419 *καὶ Ἰλιάδ.* Ψ 744.

τῆς τέως μηδὲ τὸν νοῦν ἐχούσης, ὅπως τὴν τοῦ γράφειν τέχνην διδαχθῇ, ἐξέθορον μεγάλοι λογογράφοι καὶ ἱστορικοί! Τοιαῦτα θαύματα ὁ ἡμέτερος αἰὼν οὐ πιστεύει. Ταῦτα λοιπὸν ἐξάγομεν ἐκ τῆς εἰκασίας, ἐκ τοῦ πνεύματος δηλαδὴ κατὰ τοὺς ἰδίους νόμους νοοῦντος. Οἱ δὲ τοῦ πνεύματος νόμοι, ὡς δὴ οἵτε φιλόσοφοι λέγουσι καὶ ἡ πεῖρα ἐπεκύρωσε, νόμοι τῆς φύσεώς εἰσιν. Ὑποτεθείσθω ὅμως, ὅτι αἱ εἰκασίαι αὗται ἡμαρτημέναι ἐλέγχονται. Ἀλλὰ καὶ αἱ ἱστορικαὶ μαρτυρίαι, καίπερ πρὸς τὰς εἰκασίας μὴ ἀντιφάσκουσαι, ἡμαρτημέναι; Ἴδωμεν.

Ὡς τὰ μεγάλα συμβάντα καὶ οἱ τῶν μεγάλων ἀνδρῶν βίοι ἐν μύθοις παρεδόθησαν, οὕτω καὶ ἡ ἱστορία τῆς εὑρέσεως, βελτιώσεως καὶ μεταδόσεως τῶν ὠφελίμων τεχνῶν. Καὶ δὴ οἱ ἀρχαῖοι μῦθοι παραδίδουσιν ὡς ἐφευρετὰς τῶν γραμμάτων θεούς, ὡς τὰς Μούσας[1]), τὸν Ἑρμῆν κτλ. ἢ μυθικὰ πρόσωπα. Οἱ δὲ μῦθοι οὗτοι διδάσκουσιν ἡμᾶς, ὅτι ἡ γραφὴ λίαν πρωίμως γνωστὴ ἐγένετο τοῖς Ἕλλησιν, οἵτινες κατὰ τὸ αὐτῶν ἔθος τὴν εὕρεσιν ταύτης τοῖς θεοῖς ἀπέδιδον. Νομίζομεν δὲ περιττόν, ἵνα ἐνταῦθα μνημονεύσωμεν πλείστων μύθων, οὓς ὁ Kreuser[2]) συνήθροισεν. Οὐ μνημονεύομεν οὔτε τοῦ Λίνου, οὔτε τοῦ Ὀρφέως, οὔτε τοῦ Χείρωνος, οὔτε τοῦ Ἀρκάδος Εὐάνδρου, τοῦ εἰς τὴν Ἰταλίαν τὴν γραφὴν μετενεγκόντος, ἀλλὰ μόνον τοῦ Φοίνικος Κάδμου, περὶ οὗ ὁ Ἡρόδοτος λέγει, „Οἱ δὲ Φοίνικες οὗτοι οἱ σὺν Κάδμῳ ἀπικόμενοι, τῶν ἦσαν οἱ Γεφυραῖοι, ἄλλα τε πολλὰ οἰκήσαντες ταύτην τὴν χώρην ἐσήγαγον διδασκάλια ἐς τοὺς Ἕλληνας καὶ δὴ καὶ γράμματα, οὐκ ἐόντα πρὶν Ἕλλησι ὡς ἐμοὶ δοκέειν, πρῶτα μὲν τοῖσι καὶ ἅπαντες χρέωνται Φοίνικες· μετὰ δὲ χρόνου προβαίνοντος, ἅμα τῇ φωνῇ μετέβαλον καὶ τὸν ῥυθμὸν τῶν γραμμάτων. Περιοίκεον δέ σφεας τὰ πολλὰ τῶν χώρων τοῦτον τὸν χρόνον Ἑλλήνων Ἴωνες, οἳ παραλαβόντες διδαχῇ παρὰ τῶν

---

1) Διόδωρ. Σικελ. V, 58 καὶ 74 Σχολ. εἰς Ὀδυσσ. Ψ 198. — 2) Vorfragen über Homeros σελ. 127 καὶ ἑξῆς.

Φοινίκων τὰ γράμματα, μεταρρυθμίσαντές σφεων ὀλίγα ἐχρέωντο, χρεώμενοι δὲ ἐφάτισαν ὥσπερ καὶ τὸ δίκαιον ἔφερε, ἐσαγαγόντων Φοινίκων, ἐς τὴν Ἑλλάδα, Φοινικήια κεκλῆσθαι"[1]). *Κατὰ μὲν τὴν παρ' Εὐσεβίῳ χρονολογικὴν εἴδησιν ὁ Κάδμος ἦλθεν εἰς τὰς Θήβας περὶ τὰ* 1479 *Π·Χ*, *κατὰ δὲ τὸ Πάριον χρονικὸν οὗτος ἐγεννήθη ἐν ἔτει* 1540 *Π·Χ*. *Τί δ' ἐκ τῆς ἡροδοτείου διηγήσεως δύναταί τις ἀρνηθῆναι; Ὁ* Wolf *νομίζει, ὅτι ὁ Ἡρόδοτος διηγεῖται ταῦτα οὐχὶ ὡς βέβαια καὶ κοινῶς πιστευόμενα, ἀλλ' ὡς φήμην τινὰ ὑπ' αὐτοῦ ἐπιδοκιμαζομένην* „quum se non certam et vulgo creditam rem, sed famam quandam sibi probatam affere significat"[2]). *Τὴν ἀμφιβολίαν δὲ ταύτην ὁ μέγας* Wolf *ἐξάγει ἐκ τῆς φράσεως καὶ γράμματα οὐκ ἐόντα πρὶν Ἕλλησι, ὡς ἐμοὶ δοκέειν. Ἀλλ' οἱ δυνάμενοι μόνον ἀναγνῶναι τὸν Ἡρόδοτον ἐννοοῦσιν, ὅτι ἡ φράσις ὡς ἐμοὶ δοκέειν ἐν τῷ μέσῳ τῆς προτάσεως τεθειμένη οὐχὶ εἰς τὴν ὅλην διήγησιν, ἀλλὰ μόνον εἰς τὴν ἐγγὺς φράσιν οὐκ ἐόντα πρὶν Ἕλλησι ἀναφέρεται. Ὁ ἱστορικὸς δηλονότι πιστεύων, ὅτι οἱ Ἕλληνες ὑπὸ τοῦ Κάδμου τὰ γράμματα ἐδιδάχθησαν, ἀποδοκιμάζει διὰ τοῦ ὡς ἐμοὶ δοκέειν τὴν πάνυ μυθικήν, ὡς ὀρθῶς παρατηρεῖ ὁ* Nitzsch[3]), *εἴδησιν, ὅτι οὗτοι πρὸ τοῦ Κάδμου παρὰ τοῦ Δαναοῦ τὰ γράμματα ἐδιδάχθησαν. Τί ἄλλο ἐκ τῆς ἡροδοτείου μαρτυρίας ἀπίθανον φαίνεται; Ἢ ὅτι Κάδμος οὐδόλως ὑπῆρξεν, ἢ ὅτι οὐκ ἦλθεν εἰς τὴν Ἑλλάδα οὕτω πρωίμως, ὡς παρά τε τοῦ Εὐσεβίου καὶ τοῦ Παρίου χρονικοῦ ἐμάθομεν. Εὐτυχῶς ὅμως ὁ Ὅμηρος γινώσκει Καδμείους καὶ Καδμείωνας*[4]) *καὶ ταῦτα ὡς κατοίκους τῶν Θηβῶν, ὅπου ἦτε παράδοσις αὐτοὺς τίθησι*

---

1) V, 58. *Ἐπειδὴ οἱ Ἕλληνες παρὰ τῶν Φοινίκων ἐδιδάχθησαν τὰ γράμματα, ἐθεώρουν αὐτοὺς ἐφευρετάς, ὡς καὶ οἱ Ῥωμαῖοι* Lucan. Pharsal. XXX, 220

Phoenices primi, famae si credimus ausi,
Musarum rudibus vocem signare figuras.

2) Proleg. ad Homer. *σελ.* 58. 3) De Historia Homeri *σελ.* 78. 4) *Ἰλιάδ.* *Ε* 804, 806. *Δ* 785. *Ψ* 680. *Ὀδυσσ.* *Λ* 276.

καὶ ἡ τῶν Θηβῶν ἀκρόπολις μονονουχὶ φωνὴν ἀφιεῖσα μαρτυρεῖ. Πρὸς δὲ ὁ Ὅμηρος γινώσκει τὴν τοῦ Κάδμου θυγατέρα Ἰνώ [1]. *Ἴσως ὁ Κάδμος οὐκ ἐγένετο ἐν τῷ* 15 *αἰῶνι Π·Χ, ὅμως πρὸ τῶν Τρωικῶν ἀναντιρρήτως. Διότι ἡ τῆς θυγατρὸς αὐτοῦ μνήμη ἐν τοῖς μύθοις, οὓς πολὺ βραδύτερον παρέλαβεν ὁ Ὅμηρος, φαίνεται ἀπηρχαιωμένη.*

Ἀλλ' οὐκ ἔστιν ὁ Ἡρόδοτος ὁ μόνος μάρτυς. Διότι τὰ τοῦ Ἡροδότου ἐπικυροῦσι καὶ ἄλλοι συγγραφεῖς, ὡς Ἔφορος ὁ Κυμαῖος, ὁ Ἀναξίμανδρος, ὁ Ἀριστοτέλης, ὁ Διονύσιος, ὁ Ἑκαταῖος καὶ πλεῖστοι ἄλλοι [2]. *Εἰ δ' ἡ γραφὴ οὕτω βραδέως εἰς τὴν Ἑλλάδα εἰσήχθη, ὡς ὁ* Wolf *ἀποφαίνεται, ὁλόκληρος ὁ ἀρχαῖος ἑλληνικὸς κόσμος οὐδὲν ἄλλο ἦν, ἢ μέγα ψεύδους ἐργαστήριον προωρισμένον, ὅπως τοὺς μεταγενεστέρους πλανήσῃ. Διότι αἱ ὑπὸ τοῦ* Nitzsch *καὶ* Kreuser *συναθροισθεῖσαι μαρτυρίαι οὕτω πολλαί εἰσιν, ὥστε σχεδὸν πάντες οἱ ἐπισημότεροι τῆς ἀρχαιότητος ἄνδρες ἐνέχονται. Ἀλλά, καὶ ἂν πάντα ταῦτα ἡμαρτημένα θεωρηθῶσιν, οἱ Ἴωνες, οἱ πρὸ μιᾶς χιλιετηρίδος εἰς τὴν μικρὰν Ἀσίαν μετοικήσαντες, οἱ Ἴωνες, λέγομεν, οἱ τῶν ἀλλοτρίων ἀεὶ ὀρεγόμενοι, ἐστεροῦντο τοσούτου νοός, ὅπως παρὰ τῶν Φοινίκων τὴν γραφὴν διδαχθῶσιν, ὡς ὑπὸ τῶν ἀρχαίων μαρτυρεῖται* [3]; *Ὁ γε* Welcker [4]) *ὁμολογεῖ, ὅτι τὸ γράφειν καὶ ἀναγινώσκειν γνωστὰ τοῖς Ἴωσιν ἦσαν ἐν ταῖς ἀρχαιοτάταις σχολαῖς τῆς ὁμηρικῆς ποιήσεως.*

Τί ἄρά γε πρὸς ταῦτα ὁ μέγας Wolf *ἀντιλέγει; Καὶ κατὰ τούτων οὐ λείπουσιν ὅπλα. Διότι κατ' αὐτόν, καὶ ἂν ἀποδειχθῇ, ὅτι πρὸ τῶν Τρωικῶν ἡ γραφὴ γνωστὴ τοῖς Ἕλλησιν*

---

1) *Ὀδυσσ. Ε* 333. 2) *Ἀνεκδ.* Bekk. 783 „*Τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασίν. Οἱ δὲ τῆς Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκτορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις καὶ Ἀριστοτέλης λέγει. Φασὶ γάρ, ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δὲ ὡς ἐν τῷ περὶ στοιχείων καὶ Φίλλις ὁ Δήλιος ἐν τῷ περὶ χορῶν πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά φασιν. Ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς, Ἀναξίμανδρος, καὶ Διονύσιος καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ παρατίθεται.*" 3) *Ἡσύχ. ἐν λ. Φοινικίοις* „*Λυδοὶ καὶ Ἴωνες ἀπὸ Φοίνικός τινος (ἔλαβον).*" 4) Der epische Cyklus I, 370.

ἐγένετο, ὅμως πρὸς γραφὴν βιβλίων ἀπαιτοῦνται ἓξ αἰῶνες. Διότι λέγει, ὅτι οὗτοι πρῶτον ὤφειλον, ἵνα τὰ ξένα στοιχεῖα τοῖς πατρίοις ἤχοις προσαρμόσωσι, καὶ σημεῖα ταῖς φωναῖς, ὧν ἡ φοινικικὴ γλῶσσα ἐστερεῖτο, δώσωσιν. Τούτου δὲ τοῦ ἔργου τελεσθέντος ἤρξατο κατὰ τὸν Wolf ἡ γραφὴ εἰς ἐπιγραφὰς λίθων καὶ τοιούτων ὑλῶν [1]). Ἀλλ' οὐ σπουδάζων, ὡς νομίζομεν, ὁ ἀνὴρ λέγει ταῦτα. Οὐ δεόμεθα ἀνθρώπων ἓξ αἰώνων. Διότι ἱκανός ἐστιν ὁ πρῶτος παρὰ Φοίνικος τὴν γραφὴν διδαχθείς. Οὗτος βεβαίως ἐδιδάχθη τι, ὅπερ ἔμελλε χρήσασθαι καὶ πρὸς τῆς ἐλαχίστης ἀνάγκης πλήρωσιν, ἣν ὁ Wolf ἐπιτρέπει. Διότι, εἰ οὐκ ἔμελλε χρήσασθαι, οὐδὲ ὅλως ἐμάνθανεν. Ὁ πρῶτος λοιπὸν Ἕλλην, ἢ ὤφειλε τὰ φοινικικὰ σημεῖα τοῖς πατρίοις ἤχοις προσαρμόσαι καὶ κατὰ μίμησιν ὀλίγα νέα ἐπινοῆσαι (ἢ ὁπωσδήποτε ταύτην τὴν ἔλλειψιν πληρῶσαι), ἢ οὗτος οὐδὲν παρὰ τοῦ Φοίνικος ἐδιδάχθη. Εἰ δ' ἐδιδάχθη τι, βεβαίως τὴν φοινικικὴν γλῶσσαν, περὶ ἧς οὐκ ἔστι λόγος. Ἄρα οὐχὶ ἓξ αἰώνων ἄνθρωποι ὤφειλον τοῦτο διαπράξασθαι, ἀλλ' ὁ πρῶτος διδαχθεὶς Ἕλλην. Ἂν δ' ὑπολανθάνῃ μυστήριόν τι, ὅπερ οὔτε ἡμεῖς δυστυχῶς ἐννοοῦμεν, οὔτε ὁ ἡμέτερος Ἡρόδοτος „μεταρρυθμίσαντές σφεων ὀλίγα ἐχρέωντο", πάλιν ἓξ αἰῶνες οὐκ ἀπαιτοῦνται. Διότι τέχνη, ἧς ἡ ὠφέλεια πρόδηλος ἦν, πῶς ἠδύνατο ἓξ αἰῶνας ἄχρηστος μένειν, ἀφ' οὗ οὐδεμία τῶν ὠφελίμων τεχνῶν ἓξ μακροὺς αἰῶνας ἐν σπαργάνοις διέμεινεν; Ἀλλά, καὶ εἰ ἓξ αἰῶνες ἀπῃτοῦντο, ἀπὸ Κάδμου μέχρις Ὁμήρου παρεμπίπτουσιν ἑπτά. Ἐξ ἴσου ἡμαρτημένη φαίνεται ἡμῖν ἡ τοῦ Wolf κρίσις, ὅτι τοῦ εἰρημένου ἔργου τελεσθέντος ἡ γραφὴ εἰς ἐπιγραφὰς λίθων μετηνέχθη. Διότι αἱ ἀπόπειραι

---

1) Proleg. ad Homer. σελ. 58 „Itaque maneo in ea sententia, ut, etiamsi ista omnia tempore praecedant Homerum ..., ... tamen inde nihil constare de vulgato usu artis putem. Nam superato operoso labore, ut peregrinae notae patriis sonis aptarentur, novaeque subderentur vocalibus et iis litteris, quibus Phoenicum scripura caruisset: quo negotio perfecto demum res ad inscriptiones lapidum similisve materiae traduci potuit ..."

(δηλαδὴ, ἡ ἀσχολία τοῦ ἑλληνικοῦ κόσμου πρὸς προσάρμοσιν τῶν ξένων σημείων τοῖς πατρίοις ἤχοις) αὐτοῦ δὴ τοῦ ἔργου ἐπὶ τίνος ὕλης ἐγίνετο; Ἐπὶ τοῦ ἀέρος οὐχὶ βεβαίως. Ἆρα ἢ ἐπὶ δερμάτων καὶ ὑφασμάτων, ἢ ἐπὶ λίθων. Εἰ μὲν ἐπὶ τῶν πρώτων, οἱ Ἕλληνες εὐθὺς ἐν ἀρχῇ εἶχον ἐπιτηδείαν γραφικὴν ὕλην, εἰ δ' ἐπὶ τῶν δευτέρων, ὁ Wolf πρὸς ἑαυτὸν ἀντιφάσκει.

Ἀλλ' ἡ εἰς τοσαύτας πλάνας δόξα τοῦ Wolf ἄγουσα κυροῦται ὑπὸ μάρτυρος, ἔστω καὶ ἀναιδής, ὡς ὁ μέγας ἀνὴρ τοὺς Ἕλληνας συγγραφεῖς ὠνόμασεν; Οὗτος ἐπιδείκνυσι τὸν Ἰώσηπον[1]), ὃν ὅμως παρανοεῖ. Ἀποδίδωσι δὲ μέγα κῦρος τῇ τοῦ Ἰουδαίου μαρτυρίᾳ ἅτε γράφοντος κατὰ τοῦ σοφωτάτου ἑρμηνευτοῦ τοῦ Ὁμήρου, τοῦ Ἀπίωνος. Ἀλλὰ τοῦτο οὐδὲν κῦρος προστίθησιν. Διότι πολλοὶ κατὰ σοφῶν ἀνδρῶν γράφουσιν, ἀλλ' οἱ σώφρονές γε οὐ στεροῦνται τοῦ δικαιώματος, ὅπως κρίνωσι, τί ἐκεῖνοι κατὰ τούτων λέγουσιν. Ἡ δὲ πολυθρύλητος τοῦ Ἀπίωνος σοφία ἦν Charlatanerie[2]), ὡς ὀρθῶς ὀνομάζει αὐτὴν ὁ Gräfenhan. Πρὸς δὲ λέγει ὁ Wolf, ὅτι οὐδεὶς ὑπέρμαχος διαφόρου ἢ ἐναντίας γνώμης ὑπάρχει. Ἀλλὰ τοῦτο οὐ μόνον οὐκ ἀποδείκνυσιν, ὅτι ὁ Ἰώσηπος λέγει τι ἀληθές, ἀλλὰ

---

1) Κατὰ Ἀπίων. I, 2, σελ. 439 „Ὀψὲ καὶ μόλις ἔγνωσαν οἱ Ἕλληνες φύσιν γραμμάτων. Οἱ γὰρ ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες, παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μαθεῖν· οὐ μὴν οὐδ' ἀπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφήν, οὔτ' ἐν ἱεροῖς, οὔτ' ἐν δημοσίοις ἀναθήμασιν. Ὅπου γε καὶ περὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο· καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν. Ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον. Οὗτος δὲ καὶ τῶν Τρωικῶν ὕστερον φαίνεται γενόμενος. Καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν ᾀσμάτων ὕστερον συντεθῆναι, καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας.“ 2) Geschichte der class. Phil. III, 255. Ἐπὶ Καλιγούλα οἱ Ἀλεξανδρεῖς ἔπεμψαν εἰς Ῥώμην τὸν Ἀπίωνα, ὅπως τὴν ἐκδίωξιν τῶν Ἰουδαίων ἐκ τῆς αὐτῶν πόλεως αἰτήσωσιν, ὁ δ' Ἀπίων μετὰ ζήλου τὸ ἔργον ἀναδεξάμενος ἔγραψε καὶ βιβλίον κατὰ τῶν Ἰουδαίων. Ἀπολογία δὲ τούτου ἐστὶ τὸ τοῦ Ἰωσήπου.

πολλῷ μᾶλλον τὸ ἐναντίον. Διότι τοῦθ', ὅπερ εἶπεν, οὕτως ἄτοπον ἐθεωρήθη, ὥστε οὔτε κατηγόρου, οὔτε συνηγόρου ἔτυχεν. Πρὸς δὲ ὁ Ἰώσηπος Ἰουδαῖος ὢν οὐ μόνον οὐκ ἐκέκτητο ἐντελῆ τῆς ἑλληνικῆς ἀρχαιότητος γνῶσιν, ἀλλὰ καὶ προσωπικὸς τοῦ τε Ἀπίωνος καὶ τοῦ Ἑλληνισμοῦ καθ' ὅλου ἐχθρὸς ἦν. Οἱ δ' ἀναγνόντες τὸ σύγγραμμα τοῦ Ἰουδαίου γινώσκουσιν, ὅτι τοῦτο οὐδὲν ἄλλο ἐστίν, ἢ ὕβρεις κατὰ τοῦ Ἀπίωνος τοῦ εἰς Ῥώμην κατὰ τῶν Ἰουδαίων πρεσβεύσαντος καὶ τοῦ Ἑλληνισμοῦ. Ἔρις λοιπὸν Ἰουδαϊσμοῦ καὶ Ἑλληνισμοῦ. Τοιαῦτα δὲ βιβλία οὔτε ἱστορικὸν κῦρος κέκτηνται, οὔτε ἐπιστημονικὴν ἀξίαν ἔχουσιν. Πόσον ἄτοπος φαίνεται ἡ κρίσις τοῦ μεγάλου Wolf*! Πάντες μὲν οἱ Ἕλληνες ψεύδονται, μόνος δ' ὁ Ἰουδαῖος τὰ ἀληθῆ λέγει! Εἶτα φαίνεται ἡμῖν ὁ* Wolf *τῆς τάσεως τῶν χρόνων ἐκείνων ἐπιλήσμων. Ἂν πιστεύσῃ τις τῷ Τατιανῷ, δύναται δημιουργῆσαι πλείστας θεωρίας ἀναλόγους πρὸς τὴν τῶν Προλεγομένων. Ἀλλὰ καὶ αὐτὸς ὁ Ἰώσηπος δειλότερος τοῦ* Wolf *δείκνυται. Διότι λέγων, ὅτι παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον, οὐκ ἀρνεῖται τὴν ὕπαρξιν τοιούτων, ἀλλὰ μόνον ἀμφιβολίας ὑπαινίσσεται. Τελευταῖον προστίθησι „Καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην.“ Λοιπὸν ὁ ἐχθρὸς τοῦ Ἑλληνισμοῦ Ἰώσηπος οὐ τολμᾷ τῷ Ὁμήρῳ τὴν γνῶσιν τῆς γραφῆς ἀρνηθῆναι, ἀλλ' ἐκφράζεται ἀορίστως διὰ τοῦ φ α σ ι ν. Πρὸς πᾶσι δὲ τούτοις ὁ* Wolf *τὴν κοινὴν τῆς γραφῆς χρῆσιν εἰς τοὺς χρόνους τοῦ Πεισιστράτου καταβιβάζων ὤφειλεν ἀποδεῖξαι, ὅτι οἱ πρὸ τοῦ τυράννου ἀκμάσαντες ποιηταὶ τὰ αὐτῶν ποιήματα οὐκ ἔγραψαν. Ἀλλὰ τοὐναντίον καὶ ὑπ' αὐτῶν τῶν τῷ Ὁμήρῳ τὴν γνῶσιν τῆς γραφῆς ἀρνουμένων θεωρεῖται ὡς πιθανώτατον μὲν περὶ τοῦ ἐν ἀρχῇ τῶν Ὀλυμπιάδων ζήσαντος Ἀρκτίνου, ὡς βέβαιον δὲ περὶ τοῦ Ἀρχιλόχου* (700 *Π·Χ*)*, Ἀλκμᾶνος καὶ Πεισάνδρου, ὅτι ἔγραψαν τὰ αὐτῶν ποιήματα*[1]).

1) Geschichte der class. Phil. I, 47.

Τελευταῖον δὲ φράξωμεν καὶ τὸ τελευταῖον καὶ ἀσθενὲς καταφύγιον, εἰς ὃ ὁ Wolf *ὀχυροῦται λέγων*[1]), *ὅτι, καὶ εἰ ὁ Ὅμηρος ἐγίνωσκε γράμματα, ἡ τῆς παπυρίνης ἀθανασίας ἐπιθυμία οὐκ ὤθησεν αὐτόν, ὅπως διὰ γραπτῶν μνημείων τὸ ὄνομα αὐτοῦ ἀθάνατον καταστήσῃ. Διότι κατὰ τὸν ἄνδρα τοιαύτη ἐπιθυμία οὐδαμοῦ ἐκφράζεται. Ἀλλ' ἡ ἀπόδειξις αὕτη ἐλέγχει λήθην τῆς ἀνθρωπίνης φύσεως. Διότι ὁ ἄνθρωπος, ἐν οἱᾳδήποτε βαθμῖδι τοῦ πολιτισμοῦ καὶ ἂν ᾖ, τῆς δόξης ὀρέγεται. Τὸν ἀρνούμενον παραπέμπομεν εἰς τὴν σπουδὴν τῶν μὴ ἀνεπτυγμένων λαῶν, παρ' οἷς οὗτος τὴν φιλοδοξίαν μείζονα, ἢ παρὰ τοῖς ἀνεπτυγμένοις εὑρήσει. Διότι παρ' ἐκείνοις λείπει ὁ τὴν φιλοδοξίαν ἐν τοῖς φυσικοῖς ὅροις περιστέλλων ἐπικαταλογισμός. Εἴ τις ὅμως πρὸς τοιούτους λαοὺς οὐ δύναται ἀποδημῆσαι, ἔχει πρόχειρα αὐτὰ δὴ τὰ ὁμηρικὰ ἔπη. Ἐν τούτοις δείκνυται, ὅτι αἱ πλεῖσται τῶν μαχῶν οὐχὶ διὰ τοῦ κελεύσματος τοῦ στρατηγοῦ, ἀλλὰ διὰ τῆς φιλοδοξίας τῶν ἡρώων συνάπτονται. Τὸ αἰώνιον δὴ τοῦ Ἕκτορος ὄνειρόν ἐστιν ἡ διαιώνισις τοῦ κλέους, καὶ ἐπὶ τούτῳ τὸν ἄριστον τῶν Ἀχαιῶν εἰς μονομαχίαν καλεῖ. Ἡ Ἀθηνᾶ παροτρύνει τὸν Τηλέμαχον, ἵνα τοὺς μνηστῆρας κολάσας εὐκλεὴς τοῖς ὀψιγόνοις γένηται*[2]). *Τοιούτου κλέους ἄξιος ἐγένετο ὁ Ὀρέστης*[3]). *Ἡ μὲν Ἑλένη θεωρεῖται δυστυχής, ὅτι ἡ ἀδοξία αὐτῆς ἔσται αἰωνία*[4]), *ἡ δὲ Πηνελόπη εὐτυχής, ὅτι ἡ τιμὴ αὐτῆς διαιωνισθήσεται*[5]). *Ἐν γένει οἱ ὁμηρικοὶ ἄνθρωποι ἐπίστευον, ὅτι τὰ ἐν τῷ κόσμῳ διαπράττονται, ὅπως τοῖς ἀοιδοῖς ποιητικὴ ὕλη χορηγῆται*[6]). *Αἱ ἰδέαι αὗται ἢ περιείχοντο ἐν τοῖς μύθοις, οὓς παρέλαβεν ὁ Ὅμηρος, ἢ εἰσιν ἰδέαι αὐτοῦ τοῦ ποιητοῦ. Εἰ μὲν τὸ πρῶτον, οἱ ἐπὶ τῶν*

---

1) Proleg. ad Homer. σελ. 94 „Quid? quod ne nominis quidem immortalitas tam quemquam impellere potuit, ut ei duraturis monumentis prospiceret; idque de Homero credere, optare est, non fidem facere. Nam ubi is tali studio se teneri significat? ubi professionem ejus modi, ceteris poetis tam frequentem, edit, aut callide dissimulat?“ 2) Ὀδυσσ. Α 302. 3) Αὐτόθι 298. 4) Ἰλιάδ. Ζ 358. 5) Ὀδυσσ. Ω 196. 6) Ὀδυσσ. Θ 579.

Τρωικῶν ἄνθρωποι τοιαύτας ἰδέας ἐκφράζοντες εἶχον ὑπ' ὄψιν καὶ τὰ μέσα τῆς διατηρήσεως τῶν ποιημάτων, εἰ δὲ τὸ δεύτερον, ὁ ποιητὴς τὰ ἔπη αὐτοῦ ποιῶν τὴν μακροβιότητα αὐτῶν ἐκ σπουδαίων αἰτίων προεγίνωσκεν. Εἰ λοιπὸν οἵ τε ἥρωες καὶ αἱ ἡρωίδες πρὸς τοὺς ὀψιγόνους ἀφορῶσι, διὰ τί ὁ Wolf *ταύτην τὴν φιλοδοξίαν οὐκ ἀποδίδωσι τοῖς ποιηταῖς, οἵτινες καὶ τότε καὶ νῦν καὶ ἀεὶ ἔσονται φιλόδοξοι ὑπὲρ πάντας τοὺς ἄλλους ἀνθρώπους; Ἀλλ', ἐν ᾧ ὁ μέγας* Wolf *ταύτης τῆς ἀσθενείας τῶν ποιητῶν ἀμνήμων ἐγένετο, ὁ πολύμητις Ὀδυσσεύς, ὁ εἰς τὰ ἀνθρώπινα ἐλατήρια εἰσδύων, γινώσκει, ἵνα ἐκ τῆς φιλοδοξίας τῶν συγχρόνων ἀοιδῶν ὠφεληθῇ. Διότι παρακαλῶν τὸν Δημόδοκον, ἵνα τὸν δούρειον ἵππον ᾄσῃ, ὑπισχνεῖται αὐτῷ, ὅτι πᾶσι τοῖς ἀνθρώποις τὴν θείαν αὐτοῦ ἀοιδὴν διηγήσεται*[1]. *Ὁ αὐτὸς ἥρως λέγει, πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ τιμῆς ἔμμοροι εἰσι καὶ αἰδοῦς*[2]. *Ταῦτα πάντα οὐ διδάσκουσιν ἡμᾶς, ὅτι καὶ οἱ ποιηταὶ τῶν τότε χρόνων φιλόδοξοι ἦσαν;*

Ἀλλ' ἴσως ὁ Wolf *ἀπαιτεῖ τὴν ὁμολογίαν αὐτοῦ τοῦ ποιητοῦ, ὅπως πεισθῇ. Τοιαύτη ὅμως ἀπαίτησις τολμηρά ἐστιν. Διότι ὁ τοιαῦτα ἀπαιτῶν ἀναξίαν τῷ Ὁμήρῳ ματαιότητα ἀποδίδωσιν. Ἀλλά, καὶ εἰ οὕτω μάταιος ἦν ὁ Ὅμηρος, διὰ τὴν φύσιν τῆς αὐτοῦ ποιήσεως οὐκ ἠδύνατο ἐμβαλεῖν τὴν αὐτοῦ φιλοδοξίαν. Διότι τὰ ὁμηρικὰ ἔπη, ὡς εἴρηται, ἔχουσι θέμα πολὺ ἀρχαιοτέρους μύθους. Ἀρχαιοτέρους δὲ μύθους ποιῶν πῶς ἠδύνατο περὶ ἑαυτοῦ εἰπεῖν τι; Καὶ νῦν οἱ ἀρχαιοτέρους δῆθεν μύθους πλάσσοντες, εἰ οὗτοι τῶν πρώτων τῆς μυθοποιίας κανόνων γνῶσταί εἰσιν, οὐ πληροῦσι φιλοδόξους σκοπούς. Πρὸς πᾶσι τούτοις μόνη ἡ φιλοδοξία κινεῖ τὸν κάλαμον τῶν γραφόντων; Ἀλλ' ἱκανὰ τὰ εἰρημένα ἔστωσαν.*

Διότι καὶ τὰ τοῦ Wolf *ὅπλα ἐξηντλήθησαν, καὶ οὐ τοῦ παρόντος, ἵνα εὐρύτερον τὸ ζήτημα ἀναπτύξωμεν, ἀλλὰ τὴν τελευταίαν ἡμῶν πεποίθησιν ἐκφράσωμεν. Αἱ ὑπὸ τοῦ*

1) Ὀδυσσ. Θ 496. 2) *Αὐτόθι* 480.

μεγάλου ἀνδρὸς κατὰ τῆς γραφῆς τῶν ὁμηρικῶν ἐπῶν φερόμεναι ἀποδείξεις οὐ μόνον οὐχ ἱκαναί εἰσιν, ὅπως πείσωσιν ἡμᾶς, ἀλλὰ καὶ οὕτω μεμιγμέναι μετὰ μεγάλων ἁμαρτημάτων εἰσίν, ὥστε εἰκάζομεν, ὅτι αὗται ἐν τῇ νεανικῇ τοῦ συγγραφέως ἡλικίᾳ δημιουργηθεῖσαι καὶ ἐπὶ μακρὸν χρόνον ἐν αὐτῷ ῥιζωθεῖσαι κατέστησαν αὐτὸν ἀνεπιτήδειον, ὅπως ἐν τῇ προκεχωρηκυίᾳ ἡλικίᾳ, καθ' ἣν τὰ Προλεγόμενα ἐξέδω, ταύτας ἀκριβέστερον βασανίσῃ. Ἐκ τῶν Προλεγομένων λοιπὸν οὐκ ἀποδείκνυται, ὅτι ἐφ' Ὁμήρου ἡ γραφὴ ἦν ἄγνωστος. Λέγοντες δ', ὅτι ἐφ' Ὁμήρου ἡ γραφὴ γνωστὴ ἦν, οὔτε βιβλιοθήκας χειρογράφων, οὔτε τὰ παραπλήσια νοοῦμεν, ἀλλὰ μόνον, ὅτι βιβλία, ὡς τὰ ὁμηρικὰ ἔπη, ἠδύναντο (βεβαίως οὐχ οὕτω ῥᾳδίως, ὡς ἐπὶ Σωκράτους) γραφῆναι καὶ ἀντιγραφῆναι. Οὐχὶ δ' ὀρθῶς, ὡς νομίζομεν, ὁ μέγας Wolf *τὸ τῆς γραφῆς τῶν ὁμηρικῶν ἐπῶν ζήτημα λίαν στενῶς μετὰ τῆς ὑπάρξεως τοῦ ποιητοῦ αὐτῶν συνέδεσεν. Διότι ἡ γραφὴ μόνον ἐπὶ τῆς τῶν ἐπῶν τύχης ἐπιδρᾷ, οὐχὶ δὲ καὶ ἐπὶ τῆς ὑπάρξεως τοῦ ποιητοῦ αὐτῶν, ὡς ἐν τῷ ἑπομένῳ κεφαλαίῳ δῆλον ἔσται.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Εἰ τὰ τοῦ Ὁμήρου ἔπη ἄνευ γραφῆς ἠδύναντο συλληφθῆναι, ποιηθῆναι καὶ διατηρηθῆναι.

Ἐν ἑκάστῃ σχεδὸν ἐπιστήμῃ ὑπάρχουσι ζητήματά τινα ἐν τῇ ὁδῷ ταύτης οὕτω μεγάλους ὄχθους προβάλλοντα, ὥστε οἱ ἀπειρότεροι ὁδοιπόροι νομίζουσιν, ὅτι πρὸς τούτους προσκρούσουσιν. Οἱ ἐμπειρότεροι ὅμως τὴν μίαν, ἢ τὴν ἑτέραν τοῦ ζητήματος λύσιν δεχόμενοι πάνυ ῥᾳδίως τούτους λειαίνουσιν. Τούτους καὶ ἡμεῖς μιμηθῶμεν. Καὶ ἐδείξαμεν μέν, ὅτι αἱ πολυθρύλητοι κατὰ τῆς γραφῆς τῶν ἐπῶν ἀποδείξεις οὐχ ἱκαναί εἰσιν, ὅπως ταύτην τῷ τε Ὁμήρῳ καὶ τοῖς συγχρόνοις αὐτοῦ ἀρνηθῶμεν, ὅμως οἱ

πλεῖστοι τῶν φιλολόγων δέχονται τὰς τοῦ Wolf ἀποδείξεις. Τούτου δ' οὕτως ἔχοντος ἀντὶ τῆς γνώσεως αὐτὴν τὴν ἄγνοιαν τῆς γραφῆς ὑποθῶμεν. Διότι ἄλλως τὸ ἡμέτερον οἰκοδόμημα ἐρειδόμενον ἐπὶ κρηπῖδος ὑπὸ πλείστων σοφῶν σαθρᾶς νομιζομένης εἰς φαινομένους κινδύνους ὑπόκειται. Ὑποτεθείσθω λοιπόν, ὅτι ἐφ' Ὁμήρου ἡ γραφὴ ἄγνωστος ἦν, ἢ ὅτι καὶ γνωστὴν οὖσαν ὁ ἡμέτερος ποιητὴς ἠγνόει. Μετὰ τὴν ἐπιεικεστάτην ταύτην συνθήκην, ἣν μετὰ τοῦ Wolf συνάπτομεν, νέα ὀχυρώματα ἐγείρονται, καὶ νέα ὅπλα προτείνονται. Ἐνταῦθα δὴ τῷ νικήσαντι ἔσται πλουσία λεία, ἡ τοῦ Ὁμήρου κεφαλή.

Ὁ μέγας Wolf λέγει[1]· Δῶμεν τῷ Ὁμήρῳ πνεῦμα ἐξ οὐρανοῦ καταπεμφθέν, ἔστω ἡμῖν ὁ Ὅμηρος, ὡς λέγει ὁ Vellejus[2], ἄνευ παραδείγματος καὶ ἄνευ μιμητοῦ μέγιστος, ὅμως οὐ δύναται ἀποδοθῆναι αὐτῷ τοῦθ', ὅπερ τὴν ἀνθρωπίνην νόησιν ὑπερβαίνει. Καὶ ὁ τοσοῦτος Ὅμηρος κατὰ τὸν Wolf οὐκ ἠδύνατο ποιῆσαι ἔπη, ὧν τὸ σχέδιον οὔτε ὑπὸ τῆς ψυχῆς ὑποτυπωθῆναι, οὔτε ἐκτελεσθῆναι ἄνευ τεχνητῆς βοηθείας τῆς μνήμης ἠδύνατο. Ἀλλ' ἕκαστος δύναται δοῦναι τῷ Ὁμήρῳ τοσοῦτον πνεῦμα καὶ τοσοῦτον μέγεθος, ὅσον ἡ θερμότης τῆς φαντασίας αὐτοῦ ἐπιτρέπει. Οὗτος ὅμως, ὡς καὶ ἐν τῷ τρίτῳ βιβλίῳ ἔσται λόγος, τοσοῦτον μέγας, ἢ τοσοῦτον μικρός ἐστιν, ὅσον τὰ ἔπη αὐτοῦ δεικνύουσιν. Τῇ ἀληθείᾳ θαυμάζομεν τοὺς περὶ τὸν Wolf καὶ Lachmann, οἵτινες ἀφ' ἑνὸς μὲν τῷ Ὁμήρῳ ὑπερφυσικὸν μέγεθος ἀποδίδουσιν, ἀφ' ἑτέρου δὲ καταψηφίζουσιν αὐτοῦ ὡς ἐνόχου μεγέθους, ὃ αὐτοὶ ἀποδίδουσιν. Μετὰ τὴν εἰρημένην παρατήρησιν λέγομεν, ὅτι ἡ δυσχέρεια, ἣν ὁ Wolf προτείνει ἡμῖν, ἔδει ὑφ' ἡμῶν ἐκείνῳ προταθῆναι. Διότι αὕτη ἐστὶ προϊὸν τῆς ἀγνοίας τῆς γραφῆς. Ἀλλ' ἔστω.

Πῶς λοιπὸν τὸ ἐν τοῖς ὁμηρικοῖς ἔπεσι σχέδιον παρήχθη; Τέσσαρες ὑποθέσεις δυναταί εἰσιν· α') ὅτι τοῦτο (ἢ τὰ σπουδαιότερα αὐτοῦ σημεῖα) ἐν τῷ Τρωικῷ μύθῳ

1) Proleg. ad Homer. σελ. 109. 2) Κεφ. V.

περιείχετο, (β') ὅτι βραδύτερον τοῦτο εἰς τοὺς μύθους εἰσήχθη ὑφ' ἑνός, ἢ (γ') πλειόνων ποιητῶν τῶν τοὺς μύθους εἰς ἔπη μεταμορφωσάντων, ἢ (δ') ὅτι ἐποιήθησαν μὲν μικρὰ ᾄσματα ἄνευ γενικοῦ ποιητικοῦ σχεδίου, ὅμως βραδύτερον τὰ ᾄσματα ὑπὸ τοῦ Σόλωνος, Πεισιστράτου (ὡς ὁ Wolf *νομίζει), ἢ ἄλλου τινὸς συναρμοσθέντα σχέδιον ἐκτήσαντο. Ἀλλ' ἐκ τῶν τεσσάρων τούτων ὑποθέσεων μόνον ἡ πρώτη οὐ μόνον πιθανή, ἀλλὰ καὶ ἀποδεικτή ἐστιν, ὡς μετ' ὀλίγον δειχθήσεται. Καὶ δὴ ὄντως ὑπεράνθρωπόν ἐστιν, εἰ ὁ Ὅμηρος ἄνευ βοηθείας τῆς γραφῆς τήν πρώτην τοῦ μύθου (διότι ἕκαστος μῦθος ἔχει ἑνότητά τινα καὶ ποιητικὸν σχέδιον) ἑνότητα ἔλυε, καὶ ἄλλην ὅλως νέαν ἐπενόει. Ὑπερφυσικώτερον ὅμως ἦν, εἰ πολλοὶ ἀοιδοί, ὅσαι γε ῥαψῳδίαι ἔν τε τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ, οὕτως ὁμοίαν φαντασίαν εἶχον, ὥστε τὰ ᾄσματα αὐτῶν εἰς ἓν ποιητικὸν σχέδιον ἠδύναντο συναρμοσθῆναι. Τοιαύτην δ' ὑπόθεσιν οὐ δυνάμεθα δέξασθαι, ἂν μὴ δημιουργήσωμεν σχολὰς ἐπὶ μακρὸν χρόνον τὴν αὐτῶν φαντασίαν ἐξ ἴσου θερμαινούσας καὶ ἀφομοιούσας ἐπὶ τῷ πλανῆσαι τοὺς ὀψιγόνους. Διότι οἱ σύγχρονοι, εἰ μὴ ἦσαν ἥρωες, ὅμως πρὸς τούτους παρεμφερεῖς, οἱ δ' οὕτω διάγοντες τὰ τοιαῦτα ἐργαστήρια οὐ τιμῶσιν, ἀλλὰ ψέγουσιν, εἰ παρὰ φύσιν παρ' ἑαυτοῖς ἐγεννῶντο. Τελευταῖον τὸ ποιητικὸν σχέδιον τῶν ὁμηρικῶν ἐπῶν οὔτε ὑπὸ τοῦ Σόλωνος, οὔτε ὑπὸ τοῦ Πεισιστράτου, οὔτε ὑπὸ ἄλλου τινός ἠδύνατο βραδύτερον δοθῆναι, ὡς ἔν τε τῷ βιβλίῳ τούτῳ καὶ τῷ ἑπομένῳ ἱστορικῶς καὶ αἰσθητικῶς ἀποδείκνυται.*

Εἰ λοιπὸν τὸ σχέδιον τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας κεῖται ἐν αὐτῷ τῷ Τρωικῷ μύθῳ, οὐ δεόμεθα Ὁμήρου θεόπεμπτον πνεῦμα ἔχοντος, ἀλλ' ἀνθρώπου ἀθρώπινον νοῦν κεκτημένου. Ὁ Ὅμηρος, ἄνθρωπος ἄξιος τοῦ ὀνόματος τοῦ ὑπὸ τῆς ἀρχαιότητος ἀποδιδομένου αὐτῷ, ἠδύνατο καὶ ἄνευ μακρᾶς σκέψεως ποιῆσαι μέρος τι τοῦ Τρωικοῦ μύθου κατὰ τὸ ἐν αὐτῷ ὑπάρχον σχέδιον, εἰ μὴ μείζονα νοῦν εἶχεν, ὅπως τοῦτο μᾶλλον διασκευάσῃ καὶ διακοσμήσῃ. Πόσον δ' ἐπέτυχεν αὐτοῦ, εἰ δῆλον ἦν, ὅτι τὰ ὁμηρικὰ ἔπη

οὐχ οὕτω λίαν ἐβλάβησαν, ἢ οὐχ οὕτω λίαν ἐβελτιώθησαν, ὥστε ἀπώλεσαν ἢ ἐκτήσαντο ἑνότητα, ἴσως δικαιότερον ἀπεφαινόμεθα. Ἀλλὰ δυστυχῶς οἱ πιστεύοντες, ὅτι ἀνευρίσκουσι τὸ κείμενον τῆς Ἀρισταρχείου ἐκδόσεως κολακεύουσί πως ἑαυτούς, οἱ δὲ νομίζοντες, ὅτι κέκτηνται τὴν Πεισιστράτειον ἔκδοσιν, πλανῶνται, οὐδεὶς δὲ τολμᾷ εἰπεῖν, ὅτι τὰ ἔπη οὕτω τέλεια, ἢ οὕτως ἀτελῆ ἔχομεν, ὡς ἐκ τοῦ στόματος τοῦ ποιητοῦ αὐτῶν ἐξέρρευσαν.

Ἀλλ' ἐπειδὴ οἱ περὶ τὸν Lachmann *νομίζουσιν, ὅτι ἐκ τοῦ πολλάκις ἐπισκευασθέντος οἰκοδομήματος δύνανται κρίνειν περὶ τῆς τέχνης τοῦ πρώτου ἀρχιτέκτονος, τολμηρότεροι καὶ ἡμεῖς γενόμενοι τούτοις ἀκολουθήσωμεν. Ἔχουσι λοιπὸν τὰ ὁμηρικὰ ἔπη τοιοῦτον ποιητικὸν σχέδιον, οἷον ὑπὸ ποιητοῦ ἄνευ βοηθείας τῆς γραφῆς ὑποτυποῦται, ἢ οὔ; Ὁ* Wolf *ἀποκρίνεται καὶ ναὶ καὶ οὔ. Διότι προκειμένου ἀποφανθῆναι, εἰ εἷς ποιητὴς ἄνευ τῆς βοηθείας τῆς γραφῆς ἠδύνατο ὑποτυπῶσαι σχέδιον, οἷον τὸ τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας, ἀποκρίνεται ἀποφατικῶς. Διὰ τῆς ἀρνήσεως ὅμως ταύτης ὁ μέγας ἀνὴρ ὁμολογεῖ, ὅτι ἐν τούτοις τοῖς ἔπεσιν ὑπάρχει ποιητικὸν σχέδιον, οἷον ὑφ' ἑνὸς ποιητοῦ βοηθὸν τὴν γραφὴν ἔχοντος διαγράφεται. Ὅταν ὅμως ἐκ τῶν ἐπῶν αὐτῶν ἀποφαίνηται, εἰ εἷς ἦν ὁ ποιητής, ἢ πλείονες, τότε δὴ ἐπιλήσμων γενόμενος, ὅτι ἡ πρώτη αἰτία τῆς ἀρνήσεως τοῦ ἑνὸς ποιητοῦ ἦν τὸ ἐντελὲς σχέδιον, καταψηφίζει αὐτοῦ. Ἀλλ', ἐπειδὴ τὰ ἀντιφάσκοντα οὐδέποτε ἀληθῆ εἰσιν, οἱ περὶ τὸν* Wolf *ἓν τῶν δύο ὀφείλουσιν ἐκλέξαι. Ἐρωτῶμεν λοιπὸν αὖθις, εἰ τὸ σχέδιον τῶν ὁμηρικῶν ἐπῶν κατὰ τοὺς νόμους τῆς ἐποποιίας ἐντελές ἐστιν, ἢ οὔ. Ἀποκρίνονται οὐχί. Τότε δὴ λέγομεν, ὅτι ὁ ποιητὴς διὰ τὴν ἄγνοιαν (ὡς δὴ αὐτὸς ὁ* Wolf *ἀποφαίνεται) τῆς γραφῆς τοσοῦτον ἀτελὲς σχέδιον (ὅσον δὴ αὐτὸς ὁ* Wolf *ἀνευρίσκει) δυνάμενος ὑποτυπῶσαι ἴσως δικαίως ὑπὸ τοῦ* Wolf *καὶ ἰδίως ὑπὸ τοῦ* Lachmann *ψέγεται. Μάτην λοιπὸν ὁ* Wolf *τῷ Ὁμήρῳ θεόπεμπτον πνεῦμα ὑποβάλλει, ὅπως ὑποτυπώσῃ σχέδιον, ὅπερ κατὰ τὰς παρατηρήσεις τοῦ* Lachmann *μάλιστα ἡμαρτημένον ἐστίν. Ἀλλ' ὁ* Wolf *μετανοῶν*

λέγει ναί. Τότε λέγομεν, ὅτι δεκτῆς γενομένης τῆς τοῦ σχεδίου τελειότητος, ἥτις κατὰ τοὺς αὐτοὺς δὴ κριτικοὺς ὑφ᾽ ἑνὸς ποιητοῦ ἐπιτυγχάνεται, ὀφείλομεν εὑρεῖν τὰ αἴτια ταύτης. Ἡμεῖς γε τὸ σχέδιον εὑρίσκομεν ἔν τε τῷ μύθῳ καὶ τῇ ἀγαθῇ τοῦ ποιητοῦ φύσει. Ὁ Μάρων, ὁ Μίλτων, ὁ Τάσσος καὶ οἱ ἄλλοι τῶν νεωτέρον χρόνων ἐπικοὶ ποιηταὶ καὶ μακρὸν χρόνον κατέτριψαν, καὶ ποιητικοὺς νόμους ἐμελέτησαν, ὅπως τοὺς ὑπ᾽ αὐτῶν δημιουργηθέντας μύθους εἰς σχέδιον ὑποβάλωσιν, ὁ Ὅμηρος ὅμως, ὡς μὴ δημιουργῶν νέον μῦθον, πάντων τούτων ἀπηλλάσσετο.

Πρὸς δὲ λίαν πιθανὸν φαίνεται, ὅτι ὑπὸ τῶν προγενεστέρων ἀοιδῶν καὶ ποιητῶν οὐ μόνον οἱ μῦθοι διεκοσμήθησαν, ἀλλὰ καὶ τὸ σχέδιον αὐτὸ προπαρεσκευάσθη. Λέγεται δὴ ἐν αὐτῇ τῇ Ὀδυσσείᾳ περὶ τοῦ Δημοδόκου, ὅτι οὗτος κατὰ κόσμον[1]) ᾄδει τὸ νεῖκος τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως. Ὁ δὲ Φήμιος ὀνομάζων ἑαυτὸν αὐτοδίδακτον[2]) ὑπαινίσσεται, ὅτι ἐν τοῖς ὁμηρικοῖς χρόνοις οἱ ποιηταὶ ἐδιδάσκοντό πως παρ᾽ ἄλλων. Τοῦτο ὅμως νοητέον κατὰ τὴν ἁπλότητα τῆς ἐποχῆς ἐκείνης. Ἐντεῦθεν ἴσως ἐπήγασε καὶ ὁ μῦθος, ὅτι ὁ Προναπίδης[3]), ἢ ὁ Ἀριστέας[4]) ἦσαν διδάσκαλοι τοῦ Ὁμήρου. Πλὴν τούτων μνημονεύονται ὡς ἀρχαιότεροι τοῦ Ὁμήρου ποιηταὶ ὅ τε Κόριννος[5]) καὶ ὁ Σύαγρος[6]). Ὁ δὲ Σταγειρίτης δικαίως νομίζει, ὅτι πολλοὶ ποιηταὶ πρὸ τοῦ Ὁμήρου ὑπῆρχον[7]). Ὅσῳ δ᾽ ἡμαρτημένον ἐστίν, ὅτι ὁ Ὅμηρος ἐμιμήθη τὸν Ὀρφέα[8]), καὶ ὅτι δῆθεν σφετερισάμενος τὰ τῆς Δελφικῆς Σιβύλλης[9]) ἐκόσμησε τὴν ἰδίαν ποίησιν, τοσούτῳ πιθανὸν φαίνεται, ὅτι ἐκαρπώσατο τῶν προγενεστέρων ποιητῶν, ὡς δὴ ὁ Ἀσκραῖος ἀοιδὸς παρενέβαλεν ἐν τοῖς Ἔργοις γνώμας παρὰ τῷ λαῷ φερομένας[10]).

Πρὸς πᾶσι δὲ τούτοις οὐκ ἀποκλείεται καὶ ἡ ὑπόθε-

---

1) Ὀδυσσ. Θ 489. 2) Ὀδυσσ. Χ 347. 3) Διόδωρ. Σικελ. III, 16. 4) Στράβ. XIV, 639. 5) Σουίδ. ἐν λ. 6) Αἰλιαν. Ποικίλ. ἱστορ. XIV, 21. 7) Περὶ ποιητ. IV, 9. 8) Κλήμ. Ἀλεξ. Στρωμ. VI, 738. Τζέτζ. Ἐξηγ. 26. Lobeck, Aglaoph. σελ. 592. 9) Διόδωρ. Σικελ. IV, 66. 10) Πλουτ. Βίος Θησ. κεφ. II.

σις, ὅτι ὁ Μελησιγενὴς οὐκ ἐποίησεν ὅλην Ἰλιάδα καὶ Ὀδύσσειαν συγχρόνως, ἀλλὰ κατ' ὀλίγον τὸ ὑπὸ τοῦ μύθου διαγεγραμμένον σχέδιον τηρῶν. Τοῦτο δὴ καὶ οἱ ἀρχαῖοι, ὡς παραδίδωσιν ὁ Σουίδας, καίπερ γινώσκοντες, ὅμως οὐκ ἐνόμισαν, ὅτι οὕτω ποιητικὸν σχέδιον οὐκ ἐπιτυγχάνεται. Ἀλλὰ δεκτῆς τῆς τελειότητος τοῦ σχεδίου τῶν ὁμηρικῶν ἐπῶν γενομένης, καὶ εἰ μηδεμία εἰκασία ἦν πιθανή, ὀφείλομεν ὁμολογῆσαι τὴν ἡμετέραν ἀσθένειαν. Διότι προϊόντος τοῦ χρόνου ὁ τῶν ἀνθρώπων βίος μεταβάλλεται, τούτου δὲ μεταβαλλομένου καὶ αἱ πρὸς ἀλλήλας τῶν ψυχικῶν δυνάμεων σχέσεις συμμεταβάλλονται. Ὁ κριτικὸς θαυμάζει τὸ ὕψος τῆς φαντασίας τοῦ Ὁμήρου, ὡς οὗτος ἔμελλεν, εἰ ἔζη, θαυμάσαι τὸ βάθος τῆς κρίσεως τοῦ κριτικοῦ. Καὶ ταῦτα μὲν περὶ τῆς ὑποτυπώσεως τοῦ σχεδίου τῶν ὁμηρικῶν ἐπῶν.

Ἀλλὰ πῶς ἦν δυνατὸν ἄνευ γραφῆς μακρὰ ἔπη ἐν τῇ τοῦ ποιητοῦ, τῇ τῶν συγχρόνων καὶ τῇ τῶν μεταγενεστέρων μνήμῃ διατηρηθῆναι; Ἀποκρινόμεθα ἐρωτηματικῶς· πότερόν ἐστιν εὐκολώτερον, τὸ διατηρηθῆναι μῦθον, δηλαδὴ ἔπεα πτερόεντα, ἄνευ μέτρου, ἄνευ δεσμοῦ, ἢ τὸ διατηρηθῆναι δεδεμένον τῷ μέτρῳ ἔπος; Αὐτὸς ὁ Wolf ἀποκρίνεται τὸ δεύτερον, πάντες οἱ ἄνθρωποι ὁμολογοῦσι καὶ ἡ πεῖρα τοῦτο ἐπεκύρωσεν. Ἀλλὰ πάντες σχεδὸν οἱ φιλολόγοι ὁμολογοῦσιν, ὅτι ὁ Τρωικὸς μῦθος πολὺ βραδύτερον τῆς γενέσεως αὐτοῦ εἰς ἔπη μετεμορφώθη. Πῶς λοιπὸν ὁ μέγας καὶ πολυσύνθετος οὗτος μῦθος, καίπερ μὴ δεδεμένος διὰ τοῦ μέτρου, διετηρήθη; Εἰ οἱ μῦθοι πολλοὺς αἰῶνας λυτοὶ διετηροῦντο, δεδεμένοι ἴσους ἢ ὀλιγωτέρους φύσει πολὺ κρεῖττον. Ἀλλὰ δύναταί τις εἰπεῖν, ὅτι οἱ μῦθοι οὐκ ἀσφαλῶς ἐν τῷ ῥεύματι τῶν αἰώνων διετηρήθησαν, ἀλλὰ στοιχεῖα ἀπώλεσαν, πλείονα ἐκτήσαντο καὶ πολλαχῶς μετεβλήθησαν. Τίς ὅμως ἡ ἀπόδειξις, ὅτι τὰ ἔπη οὐ τὴν αὐτὴν ἔσχον τύχην; Ἂν πιστεύσωμεν τῷ Lachmann συχνάκις ἐν τῇ Ἰλιάδι προσκρούοντι, ἔχομεν πρόχειρον μάρτυρα, ὅτι τὸ ἔδαφος τῶν ἐπῶν περιέχει ὄχθους καὶ χαίνοντα ῥήγματα, ἐν οἷς ἂν μὴ τὸν Ὅμηρον παρὰ τὸ δίκαιον καὶ τοὺς νόμους

τῆς λογικῆς ῥίψωμεν, δυνάμεθα τὰ τῆς λήθης ἔργα διιδεῖν.

Ἀλλ' εὐτυχῶς καὶ μείζονες τούτων ἀποδείξεις ὑπάρχουσιν. Οἱ τὸν Φαῖδρον 1) τοῦ Πλάτωνος ἀναγνόντες μέμνηνται, ὅτι ὁ Θεῦθ τῷ τῶν Αἰγυπτίων βασιλεῖ τὰ γράμματα δεικνύων ὠνόμαζε ταῦτα φάρμακα τῆς μνήμης. Ἀλλ' ὁ σοφώτερος τοῦ θεοῦ βασιλεὺς δικαίως λήθης πρόξενα ταῦτα ἐθεώρησεν. Τοῦθ', ὅπερ ὁ ἀρχαῖος φιλόσοφος εἶπεν, ἡ πεῖρα καθ' ἑκάστην ἀποδεικνύει. Διότι ὄντως ἡ μνήμη διὰ τὴν μεγάλην τῆς τε γραφῆς καὶ ἀναγνώσεως χρῆσιν καὶ διὰ τὸν εὐρύτατον κύκλον τῶν σπουδῶν τῶν ἡμετέρων χρόνων μέγα ἐβλάβη. Ἐπὶ Σωκράτους ὅμως, ὅτε ὁ τῶν σπουδῶν κύκλος στενὸς ἦν, νέοι, ὡς ὁ Νικήρατος 2), τῇ αὑτῶν μνήμῃ ὁλόκληρον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν παρέδιδον. Ὁ Κικέρων διηγεῖται, ὅτι ὁ ῥήτωρ Hortensius ἠδύνατο διὰ τῶν αὐτῶν λέξεων εἰπεῖν πάνθ', ὅσα καθ' ἑαυτὸν ἐμελέτησεν, ὁ δὲ Ἰούλιος Καῖσαρ ἱστορεῖ, ὅτι οἱ Δρουίδαι μέγαν ἀριθμὸν στίχων ἐκ στήθους ἐμάνθανον 3). Ὁ δὲ Καρύστιος παρ' Ἀθηναίῳ 4) παραδίδωσιν, ὅτι Κάσσανδρος ὁ τῆς Μακεδονίας βασιλεὺς οὕτω φιλόμηρος ἦν, ὥστε διὰ στόματος εἶχε τὰ πολλὰ τῶν ἐπῶν τοῦ Ὁμήρου. Ἀλλὰ μὴ τοὺς ἀρχαίους συγγραφεῖς ἀναδιφῶμεν. Διότι τῶν συγχρόνων οἱ μὴ γράμματα διδαχθέντες μαρτυροῦσι τοῦτο. Ἐν τῇ Ἀμε-

---

1) 274 E „Ἐπειδὴ δὲ ἐπὶ τοῖς γράμμασιν ἦν, Τοῦτο δέ, ὦ βασιλεῦ, τὸ μάθημα, ἔφη ὁ Θεῦθ, σοφωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους παρέξει· μνήμης τε γὰρ καὶ σοφίας φάρμακον εὑρέθη. Ὁ δ' εἶπεν, Ὦ τεχνικώτατε Θεῦθ, ἄλλος μὲν τεκεῖν δυνατὸς τὰ τῆς τέχνης, ἄλλος δὲ κρῖναι, τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι. Καὶ νῦν σύ, πατὴρ ὢν γραμμάτων, δι' εὔνοιαν τοὐναντίον εἶπες, ἢ δύναται. Τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς παρέξει μνήμης ἀμελετησίᾳ .... Οὔκουν μνήμης, ἀλλ' ὑπομνήσεως φάρμακον εὗρες. 2) Ξενοφ. Οἰκονομ. III, 5. 3) De bell. Gall. VI, 14 „Magnum ibi numerum versuum ediscere dicuntur itaque annos nonnulli vicenos in disciplina permanent. Neque fas esse existimant ea litteris mandare, quam in reliquis fere rebus, publicis privatisque rationibus, Graecis litteris utantur ..." 4) XIV, 12. Παράβαλ. καὶ Εὐστάθ. εἰς Ἰλιάδ. Ω 486 σελ. 1360.

ρική ζῶσιν ἄνθρωποι, οἵτινες ἀπὸ μνήμης ἐγχώρια ᾄσματα ὑπαγορεύοντες πολλοὺς μῆνας τὸν ταχύτατον γραφέα ἀσχολοῦσιν. Γνωστοί εἰσιν οἱ Ἰταλοὶ αὐτοσχεδιάζοντες (improvisatori), *οἵτινες παρὰ τοῦ βουλομένου θέμα λαβόντες καὶ ταχέως τοῦτο εἰς ποίημα μεταμορφώσαντες ᾄδουσιν. Τοῦ δ' ᾄσματος μακρὸν χρόνον μέμνηνται. Ἀλλ' ἐπειδὴ οἱ σύγχρονοι Ἕλληνες συχνάκις ὁρῶσι τοιαῦτα φαινόμενα, οὐ δέονται πλειόνων παραδειγμάτων. Διότι ἄνθρωποι τὴν αὐτῶν μνήμην διὰ τῶν γραμμάτων μὴ φθείραντες οὕτω πιστὴν ταύτην ἔχουσιν, ὥστε διεγείρουσι τὸν θαυμασμὸν ἐκείνων, οἵτινες τὴν τοῦ Θεῦθ ἀνακάλυψιν ἐπιδοκιμάσαντες τὰ τοῦ Κάδμου δῶρα ἐδέξαντο. Διὰ ταῦτα μνησθῶμεν αὖθις, ὅτι αἱ τῆς ψυχῆς δυνάμεις ἀλλοιοῦνται. Ὁ τὴν μνήμην ἀσθενὴς ἡμέτερος αἰὼν θαυμάζει τὸ μέγεθος τοῦ ἔργου, ὡς θαυμάζει ὁ νεώτερος στρατιώτης, ὅτι ὁ μαθητὴς τοῦ Σταγειρίτου ἄνευ πυρίτιδος πόλεις καὶ φρούρια ἐξεπόρθει· ἀπιστεῖ δ' ὁ ναύτης, ὅτι οἱ ἀρχαῖοι ἄνευ πυξίδος εὐρείας θαλάσσας διέπλεον, ἴσως ἀπιστήσουσι καὶ οἱ μεταγενέστεροι, ὅτι ὁ ἐθνικὸς ἡμῶν ἥρως ἄνευ ῥαβδωτῶν τηλεβόλων καὶ ἄνευ θαρακωτῶν ἀτμοπλόων δι' ἑνὸς δαλοῦ τῶν ἀνατολικῶν τῆς Μεσογείου θαλασσῶν ἦρχεν. Ὅσα οἱ αἰῶνες οὐ δύνανται ποιῆσαι, ταῦτα καὶ οὐ πιστεύουσιν. Ὁ Ὅμηρος λοιπόν, εἰ μὴ ἐγίνωσκεν, ἢ μὴ ἤθελε τὰ ὑπ' αὐτοῦ ποιηθέντα ἔπη γράψαι, ἠδύνατο ταῦτα διατηρῆσαι. Διότι πρὸς τοῖς εἰρημένοις, οὕτως εἰπεῖν, νηπιόθεν ἀνετράφη μετὰ τῶν μύθων, οὓς βραδύτερον εἰς ἔπη μετεμόρφωσεν. Πρὸς πᾶσι δὲ τούτοις ῥᾳδίως ὁ ποιητὴς τῶν αὐτοῦ ποιημάτων μέμνηται.*

Ἀλλὰ τὰ μέχρι τοῦδε περὶ τοῦ ζητήματος τούτου εἰρημένα εἰσὶν εἰκασίαι (καθ' ὅσον ἐκ τῶν ἱστορικῶν χρόνων κρίνομεν περὶ τῶν ὁμηρικῶν), σπουδαιόταται μέν, ὅμως στενὴν ἀτραπὸν καταλιμπάνουσαι τοῖς ὀρεγομένοις διολισθαίνειν ἐν τοῖς τοιούτοις τῆς ἐπιστήμης ζητήμασιν. Ἕκαστος ὁρᾷ μέν, ὅτι αὗται ἔχουσι μεῖζον βάρος τῶν εἰκασιῶν τῶν ἐκ τῆς ἀσθενείας τῆς ἰδίας μνήμης κρινόντων, ὅμως ἑδραιοτέρας ἀποδείξεως ἐπιθυμεῖ. Ἐπειδὴ λοιπὸν οὕτως ἔχει, πόσον ἆρά γε τιμαλφὴς ἔμελλεν εἶναι ἡ

μαρτυρία, εἰ ὁμηρικός τις ἄνθρωπος οἱονεὶ τὴν τοῦ ἡμετέρου αἰῶνος φιλομάθειαν προγινώσκων ἔλεγέ τι ἡμῖν περὶ τούτου τοῦ ζητήματος. Ἀλλ' εὐτυχῶς καὶ παρὰ προσδοκίαν τῶν ἀμελέστερον τὰ ὁμηρικὰ ἔπη ἐρευνησάντων ἔχομεν τοιαύτην. Ὁ ὁμηρικὸς Δημόδοκος τὸ ἔργον ἀναδεξάμενος λύει τὴν ἀπορίαν ἡμῶν.

Διότι οὗτος οὐ μόνον ὁλόκληρον τὸν Τρωικὸν μῦθον ἀπὸ μνήμης γινώσκει, ἀλλὰ καὶ ἄλλα ᾄσματα, ὡς τὴν μίξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης. Καὶ πρῶτον ὁ ἀοιδὸς τὸ τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως νεῖκος ᾄδει[1]). Ὁ δ' Ὀδυσσεὺς παρὼν καὶ ἀκούσας ὁμολογεῖ, ὅτι ὁ Δημόδοκος οὕτω καλῶς γινώσκει τὰ γεγονότα, ὥστε νομίζει[2]), ὅτι ἡ Μοῦσα ἢ ὁ Ἀπόλλων αὐτὸν ἐδίδαξεν. Διότι ᾄδει ταῦτα, ὡσεὶ ἦν παρών. Ἂν κρίνωμεν ἐκ τοῦ τρόπου τῆς ἀρχαίας ἐπικῆς ποιήσεως, ἂν κρίνωμεν ἐξ αὐτοῦ τοῦ χαρακτῆρος τοῦ Δημοδόκου τοῦ ἐν ἑκατὸν στίχοις τὴν μίξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης ᾄσαντος, ἂν κρίνωμεν ἐκ τῆς εἰρημένης φράσεως τοῦ Ὀδυσσέως, εὑρίσκομεν, ὅτι ὁ ἀοιδὸς μακρὸν ἔπος ᾖσεν. Ἡ δὲ μνήμη τοῦ ἀοιδοῦ οὕτως ἰσχυρὰ ἦν, ὥστε οὐ μόνον αὐτόπτης τῶν γεγονότων μάρτυς, ἀλλὰ καὶ δρῶν ἥρως, ὁ Ὀδυσσεύς, βεβαιοῖ ἡμᾶς, ὅτι ὁ Δημόδοκος πιστῶς ταῦτα εἰκόνισεν. Ἀφ' οὗ λοιπὸν ὁ ἥρως περὶ τῆς ἐπιτηδειότητος τοῦ ἀοιδοῦ ἐπείσθη, λέγει αὐτῷ, Ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον[3]). Ταῦτα δ' εἰπόντος τοῦ Ὀδυσσέως, ὁ ἀοιδὸς ἄρχεται τῆς ᾠδῆς ἔνθεν ἑλὼν ὡς οἱ μὲν ἐϋσσέλμων ἐπὶ νηῶν βάντες ἀπέπλειον[4]).

Τὸ μέρος τοῦτο τῆς Ὀδυσσείας θεωροῦμεν σπουδαιότατον ὡς συμβαλλόμενον πρὸς λύσιν μεγάλων ζητημάτων τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν. α') Ὁ Δημόδοκος διατηρεῖ

---

1) Ὀδυσσ. Θ 75. 2) Αὐτόθι 488
ἢ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἢ σέ γ' Ἀπόλλων.
Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
ὅσσ' ἔρξαν τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί,
ὥστε που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας.

3) Ὀδυσσ. Θ 492. 4) Αὐτόθι 500.

ἐν τῇ μνήμῃ ὁλόκληρον τὸν Τρωικὸν μῦθον. Διότι οὐ μόνον ᾄδει, ὡς εἴδομεν, τὸ τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως νεῖκος, ἀλλὰ καὶ ἔστιν ἕτοιμος, ἵνα κατὰ τὴν τοῦ ἥρωος βούλησιν οἱονδήποτε μέρος τοῦ Τρωικοῦ μύθου ᾄσῃ. Τίνα ἆρά γε ἀναίρεσιν τῆς ὁμηρικῆς ταύτης μαρτυρίας οἱ περὶ τὸν Wolf δύνανται ἡμῖν προβαλεῖν; Ἴσως δύο· ἢ ὅτι ὁ Τρωικὸς μῦθος ἐπὶ τοῦ ποιητοῦ τῆς Ὀδυσσείας οὐκ εἶχε τοσαύτας διαστάσεις, ὅσας ἐκ τοῦ ἐπικοῦ κύκλου γινώσκομεν. ἢ ὅτι ὁ Δημόδοκος τὰς κυριωτέρας μόνον γραμμὰς τοῦ μύθου ἐγίνωσκεν. Ἀλλὰ τὸ μὲν πρῶτον μόνον οἱ ἐριστικώτεροι τῶν ὀπαδῶν τοῦ Wolf δύνανται εἰπεῖν. Διότι πάντες σχεδὸν δέχονται, ὅτι ὁ Τρωικὸς μῦθος ἐπὶ τοῦ ποιητοῦ τῆς Ὀδυσσείας ἦν ἤδη μεμορφωμένος. Διότι ἀπὸ τῶν Τρωικῶν μέχρι τῆς ποιήσεως τούτου τοῦ ἔπους κατὰ τὰ ἀλλαχόθι εἰρημένα παρεμπίπτουσιν αἰῶνες. Πρὸς δὲ καὶ αὐτὸς ὁ ποιητὴς μαρτυρεῖ, ὡς ἐν τοῖς κατωτέρω δῆλον ἔσται. Ἀλλ' οὔτε ἡ ἀντίρρησις, ὅτι ὁ Δημόδοκος τὰς κυριωτέρας μόνον γραμμὰς τοῦ Τρωικοῦ μύθου ἐγίνωσκεν, πιθανή ἐστιν. Διότι ὁ ποιητὴς τῆς Ὀδυσσείας, ὁ τὸν νόστον ἑνὸς ἥρωος ἐν πολλαῖς χιλιάσι στίχων περιγράψας καὶ φύσει εἰς λεπτομερεῖς περιγραφὰς τείνων, οὐκ ἠδύνατο ἐπαινέσαι τὸν Δημόδοκον, εἰ οὗτος συνεπτυγμένως τό τε νεῖκος τῶν ἡρώων καὶ τὰ τοῦ δουρείου ἵππου ᾖδεν. Κυροῖ δὲ πάντα τὰ εἰρημένα τὸ ἑξῆς. Ἐν ᾧ ὁ ἥρως παρακαλεῖ τὸν ἀοιδόν, ἵνα τὸν δούρειον ἵππον ᾄσῃ, οὗτος ᾄδει τὸν ἐμπρησμόν τῶν σκηνῶν τῶν Ἀχαιῶν, τὸν ἀπόπλουν αὐτῶν, τὴν τοῦ δουρείου ἵππου κομιδὴν εἰς τὴν ἀγορὰν τῆς πόλεως τοῦ Πριάμου, τὰς ἀκρίτους τῶν Τρώων ἀγορεύσεις περὶ τῆς τύχης τοῦ ἵππου, τὴν ἐκπόρθησιν τῆς πόλεως καὶ τελευταῖον τὴν εἰσβολὴν τοῦ Ὀδυσσέως καὶ Μενελάου εἰς τὰ τοῦ Δηιφόβου δώματα, ἐν οἷς σφοδρὰ μάχη συνάπτεται[1]). Ἀλλ' οὐ μόνον ταῦτα· διότι ὁ ἀοιδὸς ἔμελλεν ἐξακολουθῆσαι, εἰμὴ τὰ τοῦ Ὀδυσσέως δάκρυα διέκοπτον αὐτόν. Τὰ εἰρημένα λοιπὸν δεικνύουσιν, ὅτι ὁ Δημόδοκος οὔτε τῆς

1) Ὀδυσσ. Θ 500—539.

ὁμηρικῆς, οὔτε τῆς καθ' ὅλου ἰωνικῆς μακρηγορίας ἐστερεῖτο. Τὸ Δημοδόκειον τοῦτο ἔπος, ὡς δοκεῖ, ἦν λίαν μέγα, καὶ διὰ τοῦτο ἴσως ὁ τῆς Ὀδυσσείας ποιητής, καίπερ ὁλόκληρον τὸ ᾆσμα τῆς μίξεως τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης εἰς τὸ ἔπος ἐμβαλών, ὅμως τούτου μόνον περίληψιν ἡμῖν ἔδω. Χαίρομεν δ', ὅτι καὶ ὁ Welcker, καίπερ πρὸς ἄλλον σκοπὸν τείνων, ὅμως τὰ τοῦ Δημοδόκου ᾄσματα λίαν ἐκτενῆ ἐθεώρησεν[1]. Ἐνταῦθα οὐκ ἐξετάζομεν, εἰ ὄντως ὁ Δημόδοκος ἠδύνατο ἐν οὕτω βραχεῖ χρόνῳ ᾆσαι μακρὰ ᾄσματα. Διότι τὸ ζήτημα τῆς ἐν βραχεῖ χρόνῳ περιστολῆς τῶν γεγονότων ἐξετάζομεν ἔν τινι τῶν κεφαλαίων τοῦ ἑπομένου βιβλίου. Ὁ Δημόδοκος λοιπὸν γινώσκει ἀπὸ μνήμης ὁλόκληρον τὸν Τρωικὸν μῦθον. Ἂν δὲ κρίνωμεν ἐκ τῆς ὁμηρικῆς φράσεως Μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν[2]), εἰκάζομεν, ὅτι ὁ Τρωικὸς μῦθος μόνον ἓν μέρος τῶν γνώσεων τοῦ ἀοιδοῦ ἦν, καὶ ὅτι οὗτος κέκτηται καὶ ἄλλους, ὡς τὴν μίξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης. Ἀλλ', εἰ ὁ Δημόδοκος ὁλόκληρον τὸν Τρωικὸν μῦθον καὶ ἄλλα ᾄσματα ἐν τῇ μνήμῃ εἶχε, τί ἀποροῦσιν οἱ περὶ τὸν Wolf, ὅτι ὁ Ὅμηρος μόνον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἐν τῇ αὐτοῦ μνήμῃ διετήρει; Πόσον μέρος τοῦ μεγάλου Τρωικοῦ μύθου ἀποτελοῦσι τὰ δύο ὁμηρικὰ ἔπη;

β') Τὸ μέρος τοῦτο τῆς Ὀδυσσείας ἀποδεικνύουσιν ἐναργῶς, ὅτι τὸ τῶν ὁμηρικῶν ἐπῶν σχέδιον ἐν αὐτῷ τῷ Τρωικῷ μύθῳ ἔκειτο. Τοῦτο δ' ἐγίνωσκον οὐ μόνον οἱ ἀοιδοί, ἀλλὰ καὶ οἱ τούτων ἀκροαταί. Διότι ὁ μὲν Ὀδυσσεύς, ὡς εἴδομεν, λέγει πρὸς τὸν Δημόδοκον, Ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον, ὁ δὲ ποιητὴς τῆς Ὀδυσσείας λέγει, φαῖνε δ' ἀοιδὴν ἔνθεν ἑλὼν ὡς οἱ μὲν ἐϋσσέλμων ἐπὶ νηῶν. Ἀλλ', εἰ τὸ σχέδιον τῶν ὁμηρικῶν ἐπῶν ἐν αὐτῷ τῷ μύθῳ περιείχετο, θαυμάζομεν,

1) Der epische Cyklus I, 398 „Es ist also glaublich genug, dass z. B. schon Demodokos die Theile, Streit am Mahl, Untergang der Achäer, des Achilleus Tod, das Ross, die Nachtschlacht und Zerstörung ausführlich genug erzählte, um eine ganze Folge von Mahlzeiten zur Vollendung des Ganzen zu bedürfen.“ 2) Ὀδυσσ. Θ 73.

ὅτι οἱ περὶ τὸν Wolf, καίπερ τῷ Ὁμήρῳ θεόπεμπτον πνεῦμα ἀποδιδόντες, ὅμως τὴν τοῦ ποιητοῦ μνήμην ἀνεπιτηδείαν ἀποφαίνονται, ὅπως σχέδιον μακρῶν ἐπῶν ὑποτυπώσῃ.

Ἀλλ' οἱ περὶ τὸν Wolf[1]) προβάλλουσι καὶ ἄλλας ἀντιῤῥήσεις, αἵτινες, σπουδαῖαι ἐν τῇ πρώτῃ ὄψει φαίνονται. Ἐρωτῶσι δηλαδή. Πῶς ἦν δυνατόν, ἵνα ἐν τοῖς ὁμηρικοῖς χρόνοις Ἰλιὰς καὶ Ὀδύσσεια ποιηθῶσιν; Τίς ἠδύνατο ταῦτα τὰ ἔπη ποιῆσαι; Χάριν τίνος ἐποιήθησαν; Πῶς ἠδύνατο ὁ ποιητὴς τόσας χιλιάδας στίχων ᾆσαι; Τοῦτο οὐκ ἠδύνατο ποιῆσαι, καὶ εἰ δέκα γλώσσας, σιδηρᾶν φωνὴν καὶ χάλκεον ἦτορ εἶχεν. Τὸ τοσοῦτον μέγεθος πνίγει, ὡς λέγει ὁ W. Müller[2]). Ἀλλὰ πασῶν τούτων τῶν ἀντιῤῥήσεων μία μόνη φαίνεται ἡμῖν σπουδαιοτέρα καὶ ἀναιρέσεως δεομένη. Αἱ δὲ λοιπαὶ οὐδεμίαν δυσχέρειαν παρέχουσιν. Διότι ἤδη ἀπεδείχθη, ὅτι εἷς ποιητὴς χρώμενος, ἢ μὴ τῇ γραφῇ τὸ σχέδιον τῶν ἐπῶν ὑποτυπῶσαι καὶ διατηρῆσαι ἠδύνατο. Ὅτι δ' ὁ Ὅμηρος ῥᾳδίως ἠδύνατο ποιῆσαι πολλὰς χιλιάδας στίχων, οὐδεὶς δύναται ἀρνηθῆναι. Διότι ποιηταὶ καὶ ἐποχῇ ἧττον ποιητικῇ τῆς ὁμηρικῆς, καὶ λαῷ ἧττον ποιητικῷ τοῦ ἑλληνικοῦ ἀνήκοντες ἐποίησαν στίχους πολὺ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας πλείονας. Εἰ δ' ἐν τοῖς Γερμανοῖς, οἵτινες δὴ ἧττον ποιητικὸς λαὸς διὰ τὴν τῆς χώρας φύσιν ὁμολογοῦνται, ὁ Göthe πλείονας τῶν ἐν τοῖς ἔπεσι τοῦ Ὁμήρου στίχους ἐπιδεικνύει, ἄτοπος φαίνεται ἡμῖν ἡ ἀπορία, ὅτι ἐν τῷ ἑλληνικῷ λαῷ, καίπερ οὕτω ποιητικὴν χώραν οἰκοῦντι, ὥστε πλείονας ποιητάς, ἢ πεζογράφους παρήγαγεν, ἐν τῷ ἑλληνικῷ, λέγομεν, λαῷ ἐπὶ τῆς γονιμωτάτης αὐτοῦ ἐποχῆς ἀνεφάνη ποιητὴς μὴ πλείονας τῶν τοῦ Göthe στίχους ποιήσας. Ἄλλως ὁ Σοφοκλῆς καὶ ὁ Εὐριπίδης τόσας τραγῳδίας ἐποίησαν, ὥστε ἠδύνατό τις ἐκ τῶν τραγῳδιῶν

---

1) Proleg. ad Homer. σελ. 112 „Id Hemerus efficere non potuisset decem linguis, ferrea voce et aeneis lateribus; hic ipsi graphium opus erat et tabulae ...“ 2) Homerische Vorschule σελ. 32 „Wie konnten eine Ilias und eine Odyssee in dieser Zeit und in diesem Volke entstehen? Wer konnte sie dichten? Für wen konnten sie gedichtet werden? Vierundzwanzig Gesänge in bestimmter Aufeinanderfolge ... Sie erdrückt es.“

ἑκατέρου πολλὰς Ἰλιάδας καὶ Ὀδυσσείας ἀποτελέσαι. Τῇ ἀληθείᾳ πνίγει καὶ ἡ Ἰλιὰς μόνη, εἴ τις τὸν Ὅμηρον μόνον καὶ συνεχῶς ἠνάγκαζεν αὐτὴν ᾆσαι. Ἀλλὰ μὴ συγχέωμεν τὸν ποιητὴν μετὰ τοῦ ἀοιδοῦ. Διότι ὁ Ὅμηρος κατά γε τὸ ὄνομα διαστέλλεται τούτου. Οὗτος ᾖδεν, ὅσα καὶ ἐποίει, ἐκεῖνος ὅμως ἠδύνατο ποιεῖν καὶ ὅσα οὐκ ἔμελλεν ᾆσαι. Καὶ ταῦτα μὲν περὶ τοῦ ποιητοῦ. Οἱ δ' Ὁμηρίδαι καὶ ῥαψῳδοὶ καὶ ἠσκημένον στῆθος εἶχον, καὶ κατὰ διαδοχὴν ᾖδον[1], ὡς ἐν τῷ ἑπομένῳ κεφαλαίῳ ἔσται λόγος.

Σπουδαιοτέρα ὅμως ἀπορία ἐστὶν ἡ ἑξῆς. Πῶς ἦν δυνατόν, ἵνα ἐν τοῖς ὁμηρικοῖς χρόνοις μακρὰ ποιήματα ποιηθῆναι, εἰ οἱ ἀκροαταὶ μακρᾶς ἀνοχῆς ἐστεροῦντο. Ἀλλ' ὁ Otfr. Müller[2]) κατ' ἀναλογίαν κρίνων ἀποφαίνεται, ὅτι τοιαύτην εἶχον. Διότι οἱ Ἀθηναῖοι ἐν μιᾷ μόνῃ ἑορτῇ συνεχῶς ἠκροῶντο ἐννέα τραγῳδιῶν, τριῶν σατυρικῶν δραμάτων καὶ ἄλλων τόσων κωμῳδιῶν μὴ σκεφθέντες, ὅτι ἦν κρεῖττον, εἰ τὴν ἀπόλαυσιν καθ' ὅλον τὸ ἔτος ἐμέριζον. Ἡμῖν γε ἡ ἀπορία αὕτη τοῦ Wolf φαίνεται οὐχὶ ἑδραία. Διότι πότε οἱ Ἕλληνες μᾶλλον ἠγάπων τὴν ἀκρόασιν ποιημάτων ἐφ' Ὁμήρου, ἢ ἐπὶ Σόλωνος καὶ τῶν Πεισιστρατιδῶν; Οὐδεὶς τὰς διαφόρους ἐποχὰς τῆς ἑλληνικῆς ἱστορίας μελετήσας δύναται ἀποφανθῆναι τὸ δεύτερον. Διότι ἐπὶ τῶν Τρωικῶν ἤδη οἱ μὲν μνηστῆρες ἐν τοῖς ἀνακτόροις τοῦ Ὀδυσσέως πολλὰ ἔτη εὐωχούμενοι καθ' ἑκάστην ἀκροῶνται τοῦ Φημίου, οἱ δ' ἄριστοι τῶν Φαιάκων καθ' ὅλον τὸν βίον ἀκροῶνται τοῦ Δημοδόκου. Οὐδεὶς δὲ τῶν ἀκροατῶν τὸν ἀοιδόν, καίπερ κατὰ τὰ ἀλλαχοῦ εἰρημένα μακρὸν ᾆσμα ᾄδοντα, διακόπτει, ἢ τῆς ἀκροάσεως ἀφίσταται. Εἰ δ' ἐπὶ τῶν Τρωικῶν μέγας ὁ ζῆλος ἦν πρὸς ἀκρόασιν ἐπῶν, ἐφ' Ὁμήρου ἦν μείζων. Διότι καὶ ἡ φαντασία τὰ γεγονότα ηὔξησε, καὶ οἱ ἐκ τῆς Πελοποννήσου καὶ τῶν ἄλλων χωρῶν τῆς Ἑλλάδος εἰς τὴν μικρὰν Ἀσίαν μετοικήσαντες Ἴωνες μετὰ ζωηροῦ ἐνθουσιασμοῦ ὤφειλον ἀκροᾶσθαι τῶν ἐπῶν,

---

1) Welcker, Der epische Cyklus I, 372. 2) Geschichte der griech. Literatur σελ. 109. Παράβαλ. Welcker αὐτόθι I, 389.

ἅπερ εἰκόνιζον τά τε ἆθλα καὶ τὰς συμφορὰς τῶν προγόνων τῶν πολεμησάντων ἐπὶ τῆς χώρας, ἣν ὁρῶντες ἐκείνων ἐμιμνήσκοντο. Ἐπὶ μὲν Ὁμήρου ὁ μῦθος ἔτι ἔζη, ἐπὶ δὲ τῶν Πεισιστρατιδῶν ἦν νεκρά τις ἀνάμνησις. Ἀλλὰ καὶ οὕτως οἱ Ἕλληνες καὶ ἐπὶ τῶν Πεισιστρατιδῶν, πρὸ αὐτῶν καὶ μετ' αὐτοὺς ἐν μιᾷ ἑορτῇ ἤκουον καὶ διήκουον τῶν ὁμηρικῶν ἐπῶν. Οὐδένα δὲ λανθάνει, ὅτι ἐφ' Ὁμήρου μόνον ἐπικὴ ποίησις ὑπῆρχεν, ἐπὶ δὲ τῶν Πεισιστρατιδῶν καὶ μετ' αὐτοὺς πλεῖστα ἄλλα τῆς ποιήσεως εἴδη, ὧν τὸ θέλγητρον τοὺς Ἕλληνας ἀνεπιτηδειοτέρους πρὸς ἀκρόασιν μακρῶν ἐπῶν ἀπεδείκνυεν. Λέγοντες ὅμως ταῦτα ἐννοοῦμεν, ὅτι οἱ ἀκροαταὶ τῶν ὁμηρικῶν ἐπῶν ἠκροῶντο αὐτῶν ἐπὶ πολλὰς ἡμέρας, ὡς διαρρήδην γραμματικός τις λέγει[1]).

Ἀλλ' ἴσως ὁ ποιητὴς ἠδύνατο καὶ τὸ σχέδιον τῶν ἐπῶν ὑποτυπῶσαι καὶ τὰ ἔπη αὐτὰ ἐν τῇ ἰδίᾳ μνήμῃ διατηρῆσαι, πῶς ὅμως οἱ σύγχρονοι παραλαβόντες ταῦτα διέσωσαν; Εἶχον καὶ οὗτοι ἰσχυράν, ὡς ὁ Ὅμηρος, μνήμην; Οἱ περὶ τὸν Wolf δέχονται μέν, ὅτι ἐνίοτε ἔκτακτά τινα φαινόμενα ἰσχυρᾶς καὶ πιστῆς μνήμης ἀναφαίνονται, ὅμως παρατηροῦσιν, ὅτι ταῦτά εἰσι σπάνια καὶ ἐκ σπανίων φαινομένων οὐ δυνάμεθα κανόνα ποιῆσαι. Πρὸς δὲ ἐρωτῶσι, τίς δεσμὸς τὸν ποιητὴν μετὰ τῶν πολυμνημόνων συνέδεσεν; Τὰς ἀπορίας ὅμως ταύτας οὐχὶ ἡμεῖς, ἀλλ' οἱ τὴν γνῶσιν τῆς γραφῆς ἀρνούμενοι ὤφειλον λῦσαι. Ἀλλ' ἔστω. Κατὰ πρῶτον παρατηροῦμεν, ὅτι ἐν τοῖς ὁμηρικοῖς χρόνοις ἡ ἰσχυρὰ καὶ πιστὴ μνήμη οὐχὶ ἔκτακτον φαινόμενον, ἀλλὰ φυσικὸν ἦν. Τοὐναντίον ἡ ἀμνημοσύνη ἦν ἀσυνήθης καὶ παρὰ φύσιν. Διότι ἡ τῶν λαῶν ἀνάπτυξις ὁμοιάζει πρὸς τὴν τῶν ἀτόμων. Ὡς τὸ ἄτομον ἐν τῇ παιδικῇ ἡλικίᾳ ἐστὶ πολυμνῆμον, οὕτω καὶ οἱ λαοὶ τὴν αὐτὴν ἡλικίαν διάγοντες. Εἰ δ' ἐν τῇ ἱστορίᾳ τῆς ἀναπτύξεως τῶν λαῶν δεχόμεθα ἐποχὴν φαν-

---

1) Εἰς Ὀδυσσ. Γ 267 „Ἔν τε ταῖς ἑορταῖς, ἔν τε ταῖς ἀναπαύσεσιν ἐπὶ πολλὰς ἡμέρας συλλεγόμενοι τούτων ἤκουον, εἶπου γέγογεν ἐπιφανὲς ἢ καλὸν ἔργον.“ Παράβαλ. Welcker, Der epische Cyklus I, 371.

τασίας, νοήσεως, κρίσεως, ἀκρισίας κτλ., τί οὐ δεχόμεθα καὶ ἐποχὴν ἰσχυρᾶς καὶ πιστῆς μνήμης; Ἆρά γε μόνον αἱ ἄλλαι ψυχικαὶ δυνάμεις προωρίσθησαν, ἵνα ἀναπτύσσωνται, μόνη δ' ἡ μνήμη τὸν φυσικὸν τοῦτον νόμον παρέβη;

Εἶτα τὰ πλεῖστα τῶν παραδειγμάτων, ὧν ἐν τοῖς ἔμπροσθεν ἐμνημονεύσαμεν, οὐ περιορίζονται ἐν ἐκτάκτοις φαινομένοις, ἀλλὰ ὁλοκλήρους τάξεις, ἢ ὁλόκληρον την ὁμηρικὴν ἐποχὴν χαρακτηρίζουσιν. Ἐν ᾧ ὁ Δημόδοκος παρὰ τοῖς Φαίαξι καὶ ὁ Φήμιος παρὰ τοῖς μνηστῆρσι πολλὰ ἔτη ᾄδουσιν, ὅμως οὐδεμία φράσις, οὐδεὶς ὑπαινιγμός, ὅτι ἡ μνήμη αὐτῶν προσέκρουσέ που. Ὁ δ' Ὀδυσσεύς, καίπερ παρακαλῶν τὸν Δημόδοκον, ἵνα ἐκ τῆς ἀρχῆς εἰς τὸ τέλος τοῦ μεγάλου Τρωικοῦ μύθου μεταβῇ, ὅμως οὐκ ἐρωτᾷ αὐτὸν πρότερον, εἰ ἐν τῇ μνήμῃ τοῦτον διετήρει[1]. *Ἐν ᾧ ὁ αὐτὸς ἥρως ἐν τοῖς ἀνακτόροις τοῦ Ἀλκινόου διηγεῖται μακρὰν διήγησιν, ἣν ὁ ποιητὴς ἐν χιλιάσι στίχων περιγράφει, ὅμως οὐδαμοῦ ἐκφράζει μικρὸν ὑπαινιγμόν, ὅτι οὐ μέμνηται τῶν γεγονότων. Οἱ περὶ τὸν* Wolf *τὰ ὁμηρικὰ ἔπη διατρέχοντες λέγουσιν, ὅτι ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οὐχ εὑρίσκουσιν ἴχνη γραφῆς, παρακαλοῦμεν ὅμως αὐτούς, ἵνα δείξωσιν ἡμῖν ἴχνη ἀμνημοσύνης, ἥτις ἐν τῷ ἡμετέρῳ αἰῶνι συχνάκις ἐπαναλαμβάνεται, καὶ ὑπὲρ ἧς πολλαὶ φράσεις ἐδημιουργήθησαν. Οὐδεὶς τῶν ὁμηρικῶν ἡρώων, εἰς ὧν τὸ στόμα μακραὶ διηγήσεις τίθενται, μέμφεται τὴν ἰδίαν μνήμην, οὐδεὶς οὐ διηγεῖται τὰ γεγονότα, ὡς εἶδεν, ἢ ἤκουσεν αὐτά. Πρὸς πᾶσι δὲ τούτοις, εἰ μὴ οἱ ὁμηρικοὶ ἀκροαταὶ ἰσχυρὰν καὶ πιστὴν μνήμην εἶχον, πόσον ἆρά γε γελοῖα ἔμελλον εἶναι τὰ ἔπη τοῦ Ὁμήρου, ὅστις, καίπερ πάνυ παλαιὰ γεγονότα διηγούμενος, ὅμως οὕτως ἀκριβῶς αὐτὰ περιέγραφεν, ὡσεὶ ἦν παρών; Τῇ ἀληθείᾳ ἡ ἀκρίβεια αὕτη οὐκ ἠδύνατο ἡδέως εἰς τὰ ὦτα τῶν ὁμηρικῶν ἀκροατῶν ἠχεῖν, εἰ μὴ οὗτοι ἐκ τῆς ἰδίας μνήμης ἔκρινον.*

Ἀλλά, καὶ εἰ οἱ περὶ τὸν Wolf *ἠδύναντο ἡμῖν ἀποδεῖξαι, ὅτι οἱ πολυμνήμονες ἐν τῷ ὁμηρικῷ αἰῶνι ἦσαν ἔκτακτα*

---

1) Ὀδυσσ. Θ 492.

φαινόμενα, πάλιν οὐκ ἔστι δυσχερές, ἵνα ταῦτα μετὰ τοῦ ποιητοῦ συνδέσωμεν. Διότι ἀείποτε οἱ μεγάλοι νόες εὗρον θερμοὺς θαυμαστὰς καὶ ὀπαδούς. Ὁ μὲν Σωκράτης ἔσχε τὸν Πλάτωνα, ὁ δὲ Πλάτων τὸν Ἀριστοτέλη. Ἐπειδὴ ἡ ἕλξις οὐκ ἔστι νόμος μόνον τοῦ ὑλικοῦ, ἀλλὰ καὶ τοῦ ἠθικοῦ κόσμου, οἱ μεγάλοι νόες ἕλκουσι περὶ ἑαυτοὺς τοὺς μικροτέρους. Ἀλλά, καὶ εἰ παρὰ φύσιν οὔτε ὁ ὁμηρικὸς αἰὼν πολυμνήμων ἦν, οὔτε τὰ ἔκτακτα τῆς ἰσχυρᾶς μνήμης φαινόμενα τὸν Ὅμηρον περιέβαλλον, πάλιν τοῦ ἔργου μερισθέντος τὰ ὁμηρικὰ ἔπη ἠδύναντο διαιωνισθῆναι. Διότι τὸ διαδέχεσθαι ἀλλήλους ἐπὶ τῶν Τρωικῶν ἤδη γνωστὸν ἦν, ὡς αὐτοῦ τοῦ Ὁμήρου μαρτυροῦντος ἐν τῷ τετάρτῳ κεφαλαίῳ δειχθήσεται.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ Ὁμηριδῶν καὶ ῥαψῳδῶν.

Τίς ἡ τῶν Ὁμηριδῶν πρὸς τὸν Ὅμηρον σχέσις; Πόθεν οὗτοι τὸ ὄνομα ἔσχον; Τὰ ζητήματα ταῦτα ἠγέρθησαν ἐν τῇ ἀρχαιότητι, καὶ ἐν τοῖς νεωτέροις χρόνοις. Ἀλλὰ δυστυχῶς οὔτε τότε, οὔτε νῦν τὸν ἐρευνητὴν εἰς βέβαια καὶ ἀναμφίλεκτα συμπεράσματα ἄγουσιν. Διότι ἡ μὲν ἐτυμολογία τοῦ ὀνόματος αὐτῶν παρεδόθη ἡμῖν ἐν μύθοις, αἱ δὲ περὶ τούτων εἰδήσεις εἰσὶ φειδωλαί. Κατά τινα ὑπὸ τοῦ Σχολιαστοῦ[1]) τοῦ Πινδάρου παραδεδομένον μῦθον οἱ Ὁμηρίδαι ἦσαν ἀπόγονοι τοῦ Ὁμήρου. Τοῦτο ἐπίστευεν ὁ Κράτης, ὃν ἐλέγχει ὁ Σέλευκος. Κατ' ἄλλον οἱ Ὁμηρίδαι ἔσχον τὸ ὄνομα οὐχὶ ἐκ τοῦ Ὁμήρου, ἀλλ' ἐκ τῶν ὁμήρων. Διότι αἱ γυναῖκες τῶν Χίων παραφρονήσασαι ἦλθον εἰς

---

1) *Εἰς Νέμ.* II, 1 *„Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοί, οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες."*

ἔριδας πρὸς τοὺς ἄνδρας, ἀλλ' ἀλλήλοις ὅμηρα δόντες, νυμφίους καὶ νύμφας, ἐπαύσαντο, ὧν οἱ ἀπόγονοι ἐκλήθησαν Ὁμηρίδαι[1]). *Οἱ μῦθοι οὗτοι διδάσκουσι μὲν ἡμᾶς, ὅτι οἱ Ὁμηρίδαι ὑπῆρχον ἤδη ἐν παναρχαίοις χρόνοις, καθ' οὓς τοιοῦτοι μῦθοι ἐπλάσσοντο, ὅμως οὐ δυνάμεθα ἀνακαλύψαι, εἰ οὗτοι μετὰ τοῦ ποιητοῦ διά τινος συγγενείας συνεδέοντο. Πιθανὸν δὲ φαίνεται, ὅτι οὐδεμίαν ἄλλην πρὸς τὸν Ὅμηρον σχέσιν εἶχον, ἢ ὅτι οὗτοι τὰ ὁμηρικὰ ἔπη ᾄδοντες καὶ ἴδια ποιοῦντες τοῦτον ὡς μέγαν ποιητὴν καὶ τῆς ἰδιάς τέχνης ἥρωα ἐτίμων*[2]).

Οἱ Ὁμηρίδαι τὸ κατ' ἀρχὰς ἦσαν ποιηταί, ἢ ἀοιδοί, βραδύτερον ὅμως τῆς ποιητικῆς γονιμότητος ἐκλιπούσης ψιλοὶ ῥαψῳδοὶ κατὰ τὴν μεταγενεστέραν τῆς λέξεως σημασίαν κατέστησαν. Ἐν τοῖς πρώτοις χρόνοις τοῖς μεθ' Ὅμηρον οἱ Ὁμηρίδαι ἦσαν φύλακες τῶν ὁμηρικῶν ἐπῶν[3]), *ἀλλὰ δυστυχῶς οὐχὶ πιστοί. Διότι πολλὰ ὑποβαλόντες πρῶτοι τὰ ὁμηρικὰ ἔπη διέφθειραν. Καὶ δὴ ὁ τελευταῖος τῶν Ὁμηριδῶν, ὁ Κύναιθος, ἐλέγχεται διὰ τοῦτο*[4]). *Παρὰ τὸν Κύναιθον γινώσκομεν μὲν ἐκ τοῦ Σουίδα καὶ ἄλλον Ὁμηρίδην, τὸν Παρθένιον, ἀλλὰ δυστυχῶς μόνον ἐκ τοῦ ὀνόματος. Ἄξιον δὲ σημειώσεως νομίζομεν, ὅτι ἤδη ὁ πατὴρ τῆς ἱστορίας ὑποβολὰς ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εὕρισκεν. Διότι λέγει*[5]) *„οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα, Ὅμηρον δὲ ἤ τινα τῶν πρότερον γενομένων ποιητέων δο-*

---

1) *Ἀρποκρ. ἐν λ. „Ὁμηρίδαι· γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν γ', Ἑλλάνικος ἐν τῇ Ἀτλαντίδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι. Σέλευκος δὲ ἐν β' Περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ· ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν."* 2) Nitzsch, De Historia Homeri *σελ.* 128. *Παράβαλ.* Gräfenhan, Geschichte der class. Phil. I, *σελ.* 53. 3) *Πλάτ. Φαῖδρ.* 252 B. 4) *Σχολ. Πινδ. Νεμ.* II, 1 *„Ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὕς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν." Εὐσταθ. σελ.* 6 *„Ἐλυμήναντο δέ, φασίν, αὐτῇ πάμπολλα οἱ περὶ τόν Κύναιθον καὶ πολλὰ τῶν ἐπῶν αὐτοὶ ποιήσαντες παρενέβαλον.* 5) II, 23.

κώ τὸ οὔνομα εὑρόντα ἐς τὴν ποίησιν ἐσενείκασθαι.“ Λοιπὸν νομίζει ὁ Ἁλικαρνασσεύς, ὅτι τὰ περὶ Ὠκεανοῦ οἱ πρότερον ποιηταὶ εἰς τὴν ποίησιν εἰσήνεγκον. Ἐνταῦθα ὅμως γεννᾶται τὸ ζήτημα, τίνας ποιητὰς νοεῖ ὁ ἱστορικός, τοὺς προομηρικούς, ὧν ἴσως ᾄσματα ὁ Μελησιγενὴς ἐν τοῖς ἔπεσιν ἐνύφανεν, ἢ τοὺς μεθ' Ὅμηρον ποιητάς, ὡς τοὺς Ὁμηρίδας, οἵτινες εἰς τὰ ὁμηρικὰ ἔπη στίχους ὑπέβαλον. Εὐτυχῶς αὐτὸς ὁ Ἡρόδοτος ἑρμηνεύει ἑαυτόν. Διότι κατ' αὐτὸν οἱ προομηρικοὶ λεγόμενοι ποιηταὶ ἦσαν τοῦ τε Ὁμήρου καὶ Ἡσιόδου μεταγενέστεροι „οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν (τοῦ Ὁμήρου καὶ Ἡσιόδου) γενέσθαι ὕστερον, ἔμοιγε δοκέειν, ἐγένοντο“ 1). Τὸ σημειωθὲν χωρίον ἐστὶ σπουδαῖον καὶ κατὰ τοῦτο, ὅτι κατὰ τῆς Πεισιστρατείου συναρμογῆς μαρτυρεῖ. Εἰ ὁ πατὴρ τῆς ἱστορίας Πεισιστράτειον συναρμογὴν ἐγίνωσκεν, ἆρά γε οὐκ ὤφειλεν ἐνταῦθά γε μνείαν ταύτης ποιήσασθαι καὶ τοὺς συναρμογεῖς διὰ τὰ περὶ Ὠκεανοῦ εἰρημένα ἐλέγξαι; Πρὸς δὲ λέγεται, ὅτι οἱ Ὁμηρίδαι σχολὰς ἀπετέλουν. Ὁ Leutsch 2) δέχεται δύο ἐπικὰς σχολάς, ὧν ἡ μὲν πρεσβυτέρα, ἡ δὲ νεωτέρα ἦν. Ἡ μὲν πρώτη ὡς ἀρχηγὸν καὶ πρότυπον τὸν Ὅμηρον ἔχουσα ἐπί τε τῆς μικρᾶς Ἀσίας καὶ τῶν νήσων ἤκμαζεν. Ἡ δὲ νεωτέρα, ἧς ἀρχηγός ὁ Ἡσίοδος, ὑπῆρχεν ἐν τῇ εὐρωπαϊκῇ Ἑλλάδι. Καὶ ἡ μὲν ὁμηρικὴ ἦν ζωηρὰ καὶ δραματική, ἡ δὲ ἡσιόδειος σπουδαία καὶ διδακτική. Τὰ τοιαῦτα ὅμως εἰσὶν εἰκασίαι καὶ πλέον οὔ. Ὁμολογοῦμεν, ὅτι τὸ ἐν Σμύρνῃ Ὁμήρειον εὐνοεῖ τὴν τοιαύτην εἰκασίαν, ἀλλὰ πόσον ἀρχαῖον ἦν τοῦτο; Διὰ ταῦτα οὐχὶ ἀδίκως τὰ περὶ τοιούτων σχολῶν λεγόμενα ἀπορρίπτει ὁ G. Hermann 3).

Κατ' ὀλίγον τὸ τῶν Ὁμηριδῶν ἐπιτήδευμα ἐπεξετάθη εἰς πολλούς, οἵτινες ῥαψῳδοὶ ὠνομάσθησαν. Τὸ ὄνομα τοῦτο ἦν μὲν ἄγνωστον ἐν τοῖς ὁμηρικοῖς χρόνοις (ἐν γε τοῖς ὁμηρικοῖς ἔπεσιν οὐ γίνεται μνεία τούτου), ὅμως οἱ

1) II, 53. 2) Thebaidis cycl. reliquiae Gott. 1830 κεφ. III. 3) Dissertatio de interpolationibus Homeri.

ῥαψῳδοὶ οὕτω πρωΐμως ὑπῆρχον, ὥστε ὁ Welcker[1]) *τίθησιν (οὐχὶ ἄνευ ὑπερβολῆς) αὐτοὺς παραλλήλως πρὸς τοὺς ἀοιδούς. Καὶ ἐν τῇ ἀρχαιότητι αἱ γνῶμαι ἦσαν διῃρημέναι περὶ τῆς παραγωγῆς τούτου τοῦ ὀνόματος. Καὶ δὴ ἐν τοῖς ἀνεκδότοις τοῦ* Villoison *εὑρίσκομεν δύο παραγωγάς. Κατὰ μὲν τὴν πρώτην ἐκ τοῦ ῥ ά β δ ο ς καὶ ᾄ δ ε ι ν παράγεται*[2]). *Διότι κατὰ τὴν μαρτυρίαν τοῦ Σχολιαστοῦ οἱ μεθ' Ὅμηρον ᾖδον τὰ ἔπη δαφνίνην ῥάβδον ὡς σύμβολον τοῦ Ἀπόλλωνος ἐν χερσὶν ἔχοντες. Τὴν αὐτὴν παραγωγὴν δίδωσιν ἡμῖν καὶ ὁ τοῦ Πινδάρου Σχολιαστὴς τὸν Καλλίμαχον μάρτυρα ἐπικαλούμενος*[3]). *Κατὰ δὲ τὴν δευτέραν ἐκ τοῦ ῥάπτειν ᾠδὴν παράγεται. Διότι κατὰ τὸν ἐν τοῖς ἀνεκδότοις τοῦ* Villoison *Σχολιαστὴν οἱ μεθ' Ὅμηρον ᾖδον τὰ ἔπη οὐχὶ συνεχῶς, ἀλλὰ στίχους ἔνθεν κἀκεῖθεν λαμβάνοντες καὶ τούτους εἰς νέον ᾆσμα συρράπτοντες ᾖδον αὐτὸ ἐν γάμοις, γενεθλίοις καὶ τοιαύταις ἑορταῖς*[4]). *Ἐκ τῶν δύο τούτων παραγωγῶν ἡ δευτέρα φαίνεται πιθανωτέρα. Διότι ἡ πρώτη καὶ γραμματικὰς δυσκολίας, ὡς ἕκαστος παρατηρεῖ, παρέχει καὶ ἐπουσιῶδές ἐστιν, ὅτι οἱ ῥαψῳδοὶ ῥάβδους ἐν χερσὶν ἔφερον. Διότι καὶ πολλοὶ ἄλλοι, ὡς οἱ ἱρεῖς, καίπερ ῥάβδους φέροντες, οὐκ ἔλαβον τὸ ὄνομα ἐκ τούτου.*

Τῇ δευτέρᾳ ὅμως παραγωγῇ δίδονται δύο ἑρμηνεῖαι. Κατὰ μὲν τὴν πρώτην τῶν ὁμηρικῶν ἐπῶν διασπασθέντων

---

1) Der epische Cyklus I, 359. 2) Anecd. Vill. II, 182 „*Ῥαψῳδία δὲ εἴρηται ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιτικὸν (δ. Ἀπολλωνιακόν).* 3) *Εἰς Νέμ.* II, 1 „*Τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος ...*“ 4) Anecd. Vill. II, 182 „*Ἢ ἀπὸ τοῦ ῥάπτειν, ὅπέρ ἐστι τὰ διεστῶτα καὶ διακεχωρισμένα εἰς ἓν συνάπτοντα ὑγιάζειν ... Ἀπὸ τοῦ ῥάπτω οὖν τούτου ὁ μέλλων γίνεται ῥάψω, ἀφ' οὗ παρήγαγον ῥαψῳδία. Οἱ γὰρ μεθ' Ὅμηρον, ὡς προείρηται, περιερχόμενοι καὶ ᾄδοντες τὰ αὐτοῦ, οὐκ ἐφεξῆς, ὡς νῦν κεῖνται οἱ στίχοι, οὕτως ἔλεγον ἀκολούθως ἐπιδεικνύμενοι, ἀλλ' ἐντεῦθεν κἀκεῖθεν, λόγου χάριν ἀπὸ τοῦδε τοῦ σελιδίου ἕνα στίχον καὶ ἀφ' ἑτέρου σελιδίου ἕνα καὶ ἀπ' ἄλλου ἄλλον λαβόντες, καὶ οὕτω συνάγοντες τοὺς διεστῶτας στίχους εἰς ἓν ....*“

οἱ ῥαψῳδοὶ συρράπτοντες ταῦτα ᾖδον[1]). *Κατὰ δὲ τὴν δευτέραν, ἣν δίδωσιν ἡμῖν ὁ Φιλόχορος, οἱ ῥαψῳδοὶ ἔσχον τὸ ὄνομα ἐκ τοῦ συντιθέναι καὶ συρράπτειν τὴν ᾠδήν*[2]). *Ἡ δευτέρα ἑρμηνεία ἐστὶ πιθανωτέρα. Διότι ἐν τοῖς ἀρχαιοτέροις χρόνοις, καθ᾽ οὓς τὸ ὄνομα τοῖς ῥαψῳδοῖς ἐδόθη, οὗτοι ποιητικήν τινα φαντασίαν ἔχοντες καὶ μικράς τινας ᾠδάς, ὡς τοὺς καλουμένους ὁμηρικοὺς ὕμνους, ποιοῦντες προὔτασσον μερῶν τινων ἢ ὁλοκλήρου τῆς Ἰλιάδος καὶ Ὀδυσσείας. Ταύτην δὲ τὴν εἰκασίαν κυροῦσιν ὅ τε Ἡσίοδος (;) καὶ Πίνδαρος*[3]). *Διὰ τὴν ποιητικὴν δὲ ταύτην ἀξίαν οἱ ῥαψῳδοὶ ἐν τοῖς ἀρχαιοτέροις χρόνοις οὐ σμικρὸν ἐτιμῶντο. Ἐν τοῖς χρόνοις ὅμως τοῦ Σωκράτους ὡς ἠλίθιοι*[4]) *ψέγονται, ἅτε γινώσκοντες μὲν ἀπὸ μνήμης τὰ ὁμηρικὰ ἔπη, ὅμως τῆς ἐν τούτοις ἐννοίας ὀλιγωροῦντες*[5]). *Ἀλλ᾽ οὐ δικαίως ψέγονται ὑπὸ τῶν φιλοσόφων Πλάτωνος καὶ Ξενοφῶντος. Διότι οἱ ῥαψῳδοὶ οὔτε φιλόσοφοι, οὔτε διδάσκαλοι τῆς ἠθικῆς ἦσαν. Εἰρήσθω δ᾽, ὅτι καὶ αἱ ὑπόνοιαι, δι᾽ ἃς οἱ φιλόσοφοι ἐκεῖνοι ἐσεμνύνοντο, μάλιστα ἡμαρτημέναι εἰσίν. Ἡ αἰτία ἔγκειται τὸ μὲν τοῖς*

---

1) *Εὐστάθ. σελ.* 6 „*Σποράδην γάρ, φασί, κειμένης καὶ κατὰ μέρος διῃρημένης τῆς ὁμηρικῆς ποιήσεως, οἱ ᾄδοντες αὐτὴν συνέρραπτον οἷον τὰ εἰς ἓν ὕφος ᾀδόμενα.*“ *Σχολ. Πινδ. εἰς Νέμ.* „*Οἱ δέ φασι τῆς Ὁμήρου ποιήσεως μὴ ὑφ᾽ ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτήν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας.*“ 2) *Σχολ. Πινδ. εἰς Νεμ.* II, 1 „*Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων*

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

3) *Πίνδ. Νέμ.* II,

Ὅθεν περ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πολλ᾽ ἀοιδοὶ
ἄρχονται Διὸς ἐκ προοιμίου.

4) *Ξενοφ. Ἀπομνημ.* IV, 2, 10 „*Τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας.*“ 5) *Ὁ αὐτὸς ἐν Συμποσίῳ* III, 6 „*Οἶσθά τι οὖν ἔθνος ἠλιθιώτερον ῥαψῳδῶν ... Δῆλον γάρ, ὅτι τὰς ὑπονοίας οὐκ ἐπίστανται.*“ *Παράβαλ. Πλ. Ἴων.* 530 C.

ἀκροαταῖς, τὸ δὲ τοῖς ῥαψῳδοῖς. Διότι ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ὁ τῶν Ἑλλήνων ζῆλος πρὸς ἀκρόασιν ῥαψῳδῶν ἐψυχράνθη. Διότι οὗτοι τότε μᾶλλον ἐκ τῶν συγχρόνων πολιτικῶν γεγονότων, ἢ ἐκ τῆς ἀκροάσεως ἀρχαίων μύθων ἐθερμαίνοντο. Οἱ δὲ ῥαψῳδοὶ οὔτε ἐξ ἐνθουσιασμοῦ πρὸς τὸν θεσπέσιον ποιητήν, οὔτε, ὅπως ὑπὸ τοῦ πλήθους χειροκροτηθῶσιν, ἀλλὰ κέρδους ἕνεκεν τὰ ὁμηρικὰ ἔπη ᾖδον[1].

Μέχρις ἡμῶν περιεσώθησαν ὀνόματά τινα ἐξόχων ῥαψῳδῶν, τοῦ σχεδὸν μυθικοῦ Κρεωφύλου τοῦ Σαμίου, τοῦ καὶ Ὁμηρίδου ὀνομαζομένου Κυναίθου, καὶ τοῦ Νικοκλέους τοῦ πρῶτον τὸν Ἡσίοδον ῥαψῳδήσαντος. Ὁ μὲν Πλάτων μνημονεύει Μητροδώρου τοῦ Λαμψακηνοῦ, Στησιμβρότου τοῦ Θασίου, τοῦ Γλαύκωνος ἢ Γλαύκου καὶ τοῦ φερωνύμου τοῦ διαλόγου Ἴωνος, ὁ δὲ Ἀριστοτέλης[2]) τοῦ Σωσιστράτου, τὰ δὲ ἐνετικὰ σχόλια[3]) τοῦ Ἑρμοδώρου καὶ ὁ Σουΐδας[4]) τοῦ Κνωσίου Θαλήτα. Ἀλλ' ἀμφίβολον, εἰ ἔστιν ὁ αὐτὸς τῷ ὑπὸ Πλουτάρχου μνημονευομένῳ, ὅστις ἦν σύγχρονος τοῦ νομοθέτου Λυκούργου.

Λοιπὸν πρῶτον οἱ Ὁμηρίδαι καὶ εἶτα οἱ ῥαψῳδοὶ ἦσαν οἱ διάδοχοι τῶν ἀρχαίων ἀοιδῶν, πρὸς οὓς οὐ μόνον ἐσωτερικῶς, ἀλλὰ καὶ ἐξωτερικῶς διέφερον. Διότι, ἐν ᾧ τῷ ᾄσματι τοῦ ἀρχαίου ἀοιδοῦ ὑπεβοήθει τετράχορδος λύρα, ὁ ῥαψῳδὸς οὐδὲν ἄλλο εἶχεν ἐν χερσίν, ἢ τὴν δαφνίνην ῥάβδον. Εἰ καὶ οὐ δυνάμεθα ὁρίσαι τὴν ἐποχὴν ταύτης τῆς μεταβολῆς, ὅμως φαίνεται πιθανόν, ὅτι ἐπὶ Τερπάνδρου (660 Π·Χ), ὡς ὁ Grote[5]) εἰκάζει, ἡ ἀρχαία μουσικὴ ἀπήρεσκεν. Διότι οὗτος οὐ μόνον τὰ αὑτοῦ ποιήματα περιέβαλε μέλεσιν, ἀλλὰ καὶ τὰ ὁμηρικὰ ἔπη[6]). Ἡ δὲ μεταβολὴ συνεβάλετο ἴσως πρὸς ἐντελῆ τῆς μουσικῆς κατάλειψιν. Ὡπωσδήποτε οἱ ῥαψῳδοὶ τὴν λύραν τοῦ ἀρχαίου

1) Παράβαλ. Gräfenhan, Geschichte d. class. Phil. I, 56. 2) Περὶ ποιητ. XXXII, 16. 3) Εἰς Ἰλιάδ. Φ 26. 4) Ἐν λ. Θαλ. 5) II, 134. 6) Πλουτ. Περὶ μουσικ. „Καὶ γὰρ τὸν Τέρπανδρον, ἔφη, κιθαρῳδικῶν ποιητὴν ὄντα νόμων, κατὰ νόμον ἕκαστον τοῖς ἔπεσι τοῖς αὑτοῦ καὶ τοῖς Ὁμήρου μέλη περιτιθέντα, ᾄδειν ἐν τοῖς ἀγῶσιν."

ἀοιδοῦ καταλιπόντες εἰς χειρονομίας ἐτράπησαν, μέχρις ὅτου τοὺς τρόπους τῶν δραματικῶν ὑποκριτῶν προσεπέλασαν[1]. *Καὶ ἐν τούτοις ζητητέαι αἱ πρῶται ἀρχαὶ οὐ μόνον τοῦ δράματος, ἀλλὰ καὶ τῆς ῥητορικῆς.*

Βραδύτερον οἱ ῥαψῳδοὶ καὶ ἐν τοῖς θεάτροις τὰ ὁμηρικὰ ἔπη ὑπεκρίνοντο, ὡς ἔκ τινων ἀρχαίων μαρτυριῶν μανθάνομεν[2]. *Διὰ τοῦτο ἁμαρτάνει ὁ* B. Thiersch *νομίζων, ὅτι ἡ δραματικὴ τῶν ὁμηρικῶν ἐπῶν παράστασις ἐν τοῖς χρόνοις τῶν Ὁμηριδῶν καὶ ῥαψῳδῶν πίπτει, καὶ ὅτι δῆθεν ὁ Εὐστάθιος διὰ τῆς φράσεως οἱ ὕστερον τούτους νοεῖ*[3]. *Διότι οὐ μόνον ὁ Εὐστάθιος ἀλλαχοῦ ἑρμηνεύει*[4], *ὅ, τι διὰ τῆς φράσεως ἐκείνης ἐννοεῖ, ἀλλὰ καὶ ὁ Ἀθήναιος, ἐξ οὗ οὗτος τὴν εἴδησιν ἤντλησε, μαρτυρεῖ*[5]. *Ὁ δὲ* Gräfenhan[6] *τὴν δραματικὴν ταύτην παράστασιν ὑπ' ὄψιν ἔχων καὶ παρατηρῶν, ὅτι βραδύτερον μὲν τὸ ὄνομα ῥαψῳδία αὐθαιρέτως ἐσήμαινε τὸ νῦν καλούμενον βιβλίον, ἐν τοῖς ἀρχαιοτέροις ὅμως χρόνοις ὅλον τι, ὡς τὰ Νίπτρα, τὰ ἐν Λακεδαίμονι κτλ. εὑρίσκει ἄπορον, ὅτι ὁ αὐτὸς ῥαψῳδὸς ἠδύνατο οὕτω μεγάλα ᾄσματα ᾆσαι. Ἐπειδὴ ὅμως τὴν δραματικὴν τῆς ὁμηρικῆς ποιήσεως παράστασιν μεταγενεστέραν ἐδείξαμεν, ἡ ἀπορία κατὰ τὸ πλεῖστον τοὺς*

---

1) *Πλάτ. Ἴων* 535 E *„Καθορῶ γὰρ ἑκάστοτε αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλαίοντάς τε καὶ δεινὸν ἐμβλέποντας καὶ συνθαμβοῦντας τοῖς λεγομένοις. Δεῖ γάρ με καὶ σφόδρ' αὐτοῖς τὸν νοῦν προσέχειν· ὡς ἐὰν μὲν αὐτοὺς κλαίοντας καθίσω, αὐτὸς γελάσομαι ἀργύριον λαμβάνων, ἐὰν δὲ γελῶντας, αὐτὸς κλαύσομαι ἀργύριον ἀπολλύς."* 2) *Εὐστάθ. εἰς Ἰλιάδ. σελ.* 6 *„Εἰ δὲ καὶ τὴν Ὁμηρικὴν ποίησιν οἱ ὕστερον ὑπεκρίνοντο δραματικώτερον, τὴν μὲν Ὀδύσσειαν ἐν ἁλουργοῖς ἐσθήμασι, τὴν δὲ Ἰλιάδα ἐν ἐρυθροβαφέσιν … Ὁ δὲ ποιητὴς εἰ καὶ δραματικῶς ἔγραψεν, ἀλλ' οὐκ ἐδραματούργησε σκηνικῶς." Παράβαλ. Σουίδ. ἐν λ. Μέγα. Ἐτυμ. σελ.* 708, 33. 3) Ueber das Zeitalter und Vaterland des Homer *σελ.* 104 „Wenn dies richtig ist, so fiele die Zeit der scenischen Darstellung des Homer in die Zeit der Homeriden und Rhapsoden, und diese selbst wären die spätern (*οἱ ὕστερον*)." 4) *Εἰς Ἰλιάδ. Ω* 486 *σελ.* 1360 *„Καὶ ὁ Φαληρεὺς Δημήτριος, ὃς πρῶτος εἰς θέατρον παρήγαγε, φασί, ῥαψῳδοὺς τοὺς καὶ ὁμηριστὰς καλουμένους."* 5) XIV, 12 *„Τοὺς δὲ νῦν ὁμηριστὰς ὀνομαζομένους πρῶτος εἰς τὰ θέατρα παρήγαγε Δημήτριος ὁ Φαληρεύς."* 6) Geschichte der class. Phil. I, 56.

μεταγενεστέρους χρόνους ἀφορᾷ. Ἀλλὰ καὶ ἂν μέχρι τῶν ὁμηρικῶν χρόνων προβαίνῃ, οὐδὲν τὸ ἄπορον. Διότι τὸ ἀλλήλους διαδέχεσθαι ἐπὶ τῶν Τρωικῶν ἤδη γνωστὸν ἦν, ὡς ἐν τῷ ἑπομένῳ κεφαλαίῳ δῆλον ἔσται.

Τελευταῖον ἐξετάζομεν τὴν παρὰ τοῖς ῥαψῳδοῖς τῶν ὁμηρικῶν ἐπῶν τύχην. Εἴτε διὰ τῆς γραφῆς ταῦτα παρεδίδοντο, εἴτε διὰ στοματικῆς παραδόσεως ἀπὸ γενεᾶς εἰς γενεὰν κατέρρεον, εἰκάζομεν, ὅτι καὶ πολλὰς μεταβολὰς ὑπέστησαν, καὶ πολλὰ ἀλλότρια ἐν τούτοις εἰσέρρευσαν. Διότι, ἂν μὲν δεχθῶμεν τὸ πρῶτον, ἡ ἄνευ κριτικῆς ἐπιτηρήσεως καὶ παραβολῆς τῶν διαφόρων χειρογράφων ἀντιγραφὴ πολλῶν μεταβολῶν πρόξενος ἐγένετο. Ἂν δὲ τὴν διάδοσιν, πρόδηλον, ὅτι αἱ μεταβολαί εἰσι πλείονες. Καὶ δὴ ὡς μεταβολῆς τεκμήριον δείκνυται τὸ δίγαμμα. Διότι ἐν τοῖς χρόνοις, καθ' οὓς τὰ ὁμηρικὰ ἔπη ἐποιήθησαν, τὸ δίγαμμα ἦν σύμφωνον, καὶ ὡς τοιοῦτον ἐν τῇ κατασκευῇ τῶν στίχων ἐλαμβάνετο. Τοῦτο ὅμως οἱ Ἀλεξανδρινοὶ κριτικοὶ ἐν οὐδενὶ τῶν ἀρχαίων χειρογράφων εὑρόντες οὐκ ἀνεγνώριζον ἐν τῷ Ὁμήρῳ, ἐν ᾧ ἀνεγνώριζον αὐτὸ ἐν τοῖς μεταγενεστέροις τούτου ποιηταῖς.

Ὁ δὲ ἱστορικὸς Grote ἀνευρίσκει πολλὰ αἴτια εἰς τὴν ἀλλοίωσιν τῶν ὁμηρικῶν ἐπῶν συμβαλόντα. Καὶ τὰ μὲν τούτων ἐν τοῖς ῥαψῳδοῖς, τὰ δὲ ἐν τοῖς τούτων ἀκροαταῖς κεῖνται. Διότι ἥ τε συνείδησις δημιουργικῆς τινος δυνάμεως παρώτρυνε τοὺς ῥαψῳδούς, ὅπως πολλὰ μέρη τῶν ὁμηρικῶν ἐπῶν διὰ πλειόνων χρωμάτων κοσμῶσι, καὶ φιλοτιμία τις ἐν τούτοις διηγείρετο, ὅπως μνημεῖα τοῦ ἰδίου πνεύματος ἐν τοῖς ἀθανάτοις τοῦ Ὁμήρου ἔπεσι παρεμβάλλωσιν[1]). Ἀλλ' οἱ τούτων ἀκροαταὶ παρεῖχον πλείονας ἀφορμάς. Διότι συνήθως ἐν ταῖς διαφόροις συναθροίσεσι τοῦ λαοῦ ᾖδον κατ' ἐκλογήν. Ἐπὶ τῶν Τρωικῶν ἤδη οἱ ἀοιδοὶ ᾄδουσι τὸν Τρωικὸν μῦθον οὐχὶ κατὰ σειράν, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν τῶν ἰδίων ἀκροατῶν. Ἐν τῇ Ὀδυσ-

---

1) Παράβαλ. L. Friedländer, Die Homerische Kritik von Wolf bis Grote σελ. 20.

σείᾳ γε ὁ Δημόδοκος, ἀφ' οὗ ᾖσε τὰ κατὰ τὸ νεῖκος τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως, μεταβὰς κατὰ τὴν ἐπιθυμίαν τοῦ πλανωμένου ἥρωος ᾄδει τὸν δούρειον ἵππον (Ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον). Τὸ αὐτὸ λοιπὸν ἐποίουν καὶ οἱ ῥαψῳδοί. Καὶ ἐν μὲν τοῖς χαλκείοις καὶ ταῖς λέσχαις ᾖδον ἴσως τὰ κατὰ τὸν Θερσίτην, παρὰ δὲ τοῖς ἀνειμένῃ διαίτῃ χρωμένοις ἡγεμόσι καὶ πλουσίοις τὴν μίξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης, παρὰ δὲ τοῖς ναύταις τὰς πλάνας τοῦ Ὀδυσσέως, παρὰ δὲ τοῖς ποιμέσι τὰ τοῦ Εὐμαίου, παρὰ δὲ τοῖς Ἀργείοις τὰ μέρη, ἐν οἷς οὗτοι ἐπαινοῦνται, παρὰ δὲ τοῖς Ἀθηναίοις τὰ χωρία, ἐν οἷς οὗτοι ὀνομάζονται καὶ τὰ λοιπὰ καθ' ὅμοιον τρόπον. Οὕτω λοιπὸν ὑπὸ τὸν σφοδρὸν τῶν ἀκροατῶν ἔπαινον, ὡς ὀρθῶς ὁ Mützell[1]) *παρατηρεῖ, ἡ ᾠδὴ διάφορος ἐν τῷ στόματι τῶν ῥαψῳδῶν διεπλάσσετο, καὶ εἰκόνες καὶ ἐπεισόδια ἴσως δὲ καὶ ἀρεστοὶ τῷ λαῷ στίχοι ἐξ ἄλλων ἐπῶν παρενεβάλλοντο, ὅπως οἱ κολακευόμενοι ῥαψῳδοὶ τὸ κολακεῦον ἀκροατήριον ἀντικολακεύσωσιν. Διὰ τοῦτο δικαίως ἴσως οἱ Ἀλεξανδρινοὶ τὰς ὑπ' αὐτῶν εὑρισκομένας διαφωνίας τοῖς ῥαψῳδοῖς ἀπεδίδον*[2]). *Ἀλλὰ διὰ ταῦτα οὐ δυνάμεθα εἰκάσαι, ὅτι ὅλως τὰ ὁμηρικὰ ἔπη ἠλλοιώθησαν. Διότι ἄλλα αἴτια πολλοὺς νεωτερισμοὺς καὶ μεγάλας μεταβολὰς ἀπέκρουον. Τὰ τοῦ Ὁμήρου ἔπη ἐπλήρουν ὁλόκληρον τὴν ψυχὴν τοῦ ῥαψῳδοῦ, καὶ ὁ εὔρυθμος τῶν ὁμηρικῶν λέξεων καὶ στίχων τόνος πᾶν ἀλλότριον ἐξώθει. Ἡ δ' ἀτομικὴ τοῦ ῥαψῳδοῦ ὕπαρξις ἐν τῇ μακρᾷ σπουδῇ τῶν ὁμηρικῶν ἐπῶν, οὕτως εἰπεῖν, κατανηλίσκετο εἰς τὸ μέγεθος τοῦ πνεύματος, οὗ διερμηνεὺς ἦν, ὁ δὲ τρόπος τῆς τε σκέψεως καὶ τῆς αἰσθήσεως αὐτοῦ κατὰ τὸν ὁμηρικὸν ἐμορφοῦτο. Τὰ μεγάλα λοιπὸν τῶν ὁμηρικῶν ἐπῶν διαγράμματα, τὸ τῆς γλώσσης ὕφος καὶ καθ' ὅλου αἱ πλεῖσται λέξεις τὴν τῶν ῥαψῳδῶν διαφθορὰν διέφυγον καὶ μέχρις ἡμῶν περιῆλθον.*

---

1) De emendat. Theogon. Hesiod. I σελ. 127. 2) Welcker, Der epische Cyklus I, 404.

Οἱ ῥαψῳδοὶ ᾖδον οὐ μόνον τὰ ὁμηρικὰ ἔπη, ἀλλὰ καὶ ἄλλα, ὡς τὰ τοῦ Ἡσιόδου, τὰ τοῦ Ἀρχιλόχου[1]), τὰ τοῦ Μιμνέρμου, τὰ τοῦ Φωκυλίδου καὶ ἄλλων, δηλαδὴ ᾖδον οὐ μόνον ἔπη, ἀλλὰ καὶ λυρικὰ καὶ ἰαμβικὰ ποιήματα. Οἱ δ' Ἀθηναῖοι ἐψήφισαν σὺν τοῖς ὁμηρικοῖς ἔπεσι τὴν Περσηίδα τοῦ Χοιρίλου ἀναγνώσκεσθαι[2]). Ἀλλ' ὅμως τὸ κύριον τῶν ῥαψῳδῶν μέλημα ἦσαν τὰ τοῦ ἀρίστου καὶ θειοτάτου τῶν ποιητῶν ἔπη[3]).

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς Λυκουργείου ἀντιγραφῆς καὶ Πεισιστρατείου ἐκδόσεως τῶν ὁμηρικῶν ἐπῶν.

Ἐν τῷ πρώτῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου εἴδομεν, ὅτι ὁ Λυκοῦργος κατὰ τὴν μαρτυρίαν τεσσάρων Ἑλλήνων συγγραφέων τὰ ὁμηρικὰ ἔπη ἐκ τῆς Ἀσίας εἰς τὴν Ἑλλάδα ἐκόμισεν. Ἀλλ' ὁ W. Müller ἀρνεῖται τὴν ὑπὸ τοῦ νομοθέτου εἰσαγωγὴν τῆς ὁμηρικῆς ποιήσεως εἰς τὴν Σπάρτην διὰ δύο αἰτίας· πρῶτον, ὅτι δῆθεν οἱ Σπαρτιᾶται οὔτε γράφειν, οὔτε ἀναγινώσκειν ἐγίνωσκον[4]), καὶ εἶτα ὁ τῶν Σπαρτιατῶν νομοθέτης τὴν Ὀδύσσειαν ὡς εἰκονίζουσαν οἰκιακὴν ἠθικὴν οὐκ ἠδύνατο κομίσαι[5]). Ὁ συγγραφεὺς νοεῖ, ὅτι ἐν ᾧ οἱ ἄλλοι Ἕλληνες τήν τε γραφὴν καὶ ἀνάγνωσιν ἐγίνωσκον, οἱ Σπαρτιᾶται ἠγνόουν ταῦτα. Τοῦτο ὅμως ὑπερβολή ἐστιν. Διότι οἱ Σπαρτιᾶται οὐ συνέγραφον μέν, ὅμως καὶ ἔγραφον καὶ ἀντέγραφον, ὡς πολλαὶ μαρτυρίαι τοῦτο βεβαιοῦσιν[6]). Ἡ δὲ Σπάρτη, ὡς πάνυ

---

1) Ἀθην. XIV, 420 C. 2) Ἡσύχ. ἐκδ. Orell. σελ. 58. 3) Πλάτ. Ἴων. 530. 4) Homerische Vorschule σελ. 67 „Was hätte Lycurgos mit einem geschriebenen Homeros in seinem Sparta anfangen sollen, das weder lesen noch schreiben konnte?" 5) Αὐτόθι σελ. 68. 6) Πλούταρχ. ἐν βίῳ Λυκούργ. XVI, 4 „Γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον." Παράβαλ. XXIX, 2. Στράβ. X σελ. 482 „Γράμματα μανθάνειν καὶ τὰς ἐκ τῶν νόμων ᾠδὰς καί τινα εἴδη τῆς μουσικῆς." Πανσαν. V, 4, §. 4. Ἴδὲ καὶ Kreuser, Vorfragen über Homeros σελ 293 καὶ 294.

ὀρθῶς ὁ Otfr. Müller[1]) παρατηρεῖ, πρὸ τῶν Περσικῶν ἦν ἡ ἕδρα τοῦ ἑλληνικοῦ πολιτισμοῦ. Διὰ τοῦτο καὶ οἱ ἐξοχώτεροι τῶν ποιητῶν καὶ φιλοσόφων, ὡς ὁ Ἀρχίλοχος, ὁ Κύναιθος, ὁ Τέρπανδρος, ὁ Θαλήτας, ὁ Θέογνις, ὁ Ἀναξίμανδρος καὶ πλεῖστοι ἄλλοι εἰς τὴν Σπάρτην συνέρρεον. Διότι κατὰ τὸν Σταγειρίτην[2]) „οἱ Λάκωνες. . . οὐ μανθάνοντες, ὅμως δύνανται κρίνειν ὀρθῶς, ὥς φασι, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν.“

Περὶ δὲ τῆς Ὀδυσσείας λέγομεν, ὅτι οἱ ἀρχαῖοι, ὡς δείκνυται ἐν τοῖς διαλόγοις τοῦ Πλάτωνος, διέστελλον τὰ δύο ὁμηρικὰ ἔπη οὐχὶ ὡς οἱ νεώτεροι, ἀλλ' ἔλεγον, ὅτι ἡ Ἰλιὰς ἔχει πρὸς τὴν Ὀδύσσειαν, ὃν λόγον ἔχει ὁ Ἀχιλλεὺς πρὸς τὸν Ὀδυσσέα. Οἱ δὲ Σπαρτιᾶται ἠγάπων μὲν τὸν χαρακτῆρα τοῦ Ἀχιλλέως, ὅμως οὐχ ἧττον καὶ τὸν τοῦ Ὀδυσσέως, ὡς δῆλον ἐν τοῖς παιδεύμασιν αὐτῶν γίνεται. Τοῦτο ὅ τε Λύσανδρος καὶ οἱ ἄλλοι αὐτῶν στρατηγοὶ ἐν ἔργοις ἀπέδειξαν. Δικαίως δ' ὁ Lauer[3]) οὐδόλως ἀμφιβάλλει, ὅτι τὰ ὁμηρικὰ ἔπη διὰ τοῦ Λυκούργου εἰς τὴν Πελοπόννησον εἰσήχθησαν. Διότι ὁ χαρακτὴρ τούτων ἥρμοζε τῇ Λυκουργείῳ πολιτείᾳ[4]). Ὅ γε Κλεομένης, ὁ υἱὸς τοῦ Ἀναξανδρίδου, ἔλεγεν, ὅτι ὁ μὲν Ὅμηρός ἐστι ποιητὴς τῶν Λακεδαιμονίων, ὁ δὲ Ἡσίοδος τῶν εἱλώτων[5]).

Πρὸς πᾶσι τούτοις καὶ ἐξ ἄλλων τεκμαιρόμεθα, ὅτι τὰ ὁμηρικὰ ἔπη λίαν πρωΐμως γνωστὰ τοῖς Σπαρτιάταις ἐγένοντο. Λέγει μὲν Μάξιμος ὁ Τύριος[6]) „πολλαὶ καὶ πολιτευθεῖσαι ὑγιῶς καὶ συνοικισθεῖσαι νομίμως ἀγνοοῦσι τὸν Ὅμηρον. ὀψὲ μὲν γὰρ ἡ Σπάρτη ῥαψῳδεῖ, ὀψὲ δὲ καὶ ἡ Κρήτη, ὀψὲ δὲ καὶ τὸ Δωρικὸν ἐν Λιβύῃ γένος, . . .“ ἀλλὰ τοῦτό ἐστι ῥητορικὴ ὑπερβολή, ὡς λέγει ὁ Düntzer[7]), καὶ ἡμαρτη-

---

1) Geschichte der griech. Literatur II, 2. 2) Πολιτ. VIII, 5. 3) Geschichte der Homerischen Poesie σελ. 19. 4) Παράβαλ. Chr. Heinecke, Homer und Lykurg oder das Alter der Iliade und die politische Tendenz ihrer Poesie, Leipzig 1833. 5) Πλούτ. Ἀποφθέγμ. Λακ. 223. Αἰλιαν. Ποικιλ. ἱστορ. XXIII, 18. 6) XXIII, 5. 7) Homer und der epische Cyklus σελ. 6 „Wenn Maximus Tyrius sagt . . ., so trägt dieses seine Unglaubhaftigkeit und

μένον, ὡς ἀποφαίνεται ὁ Welcker[1]). Δυστυχῶς ὅμως ἡ ῥητορικὴ αὕτη ὑπερβολὴ ὑπό τινων σοφῶν ἀνδρῶν ὡς ἱστορικὴ ἀλήθεια ἐθεωρήθη καὶ πρὸς λύσιν ἐπιστημονικῶν ζητημάτων ἐλήφθη, ὡς ὑπὸ τοῦ F. Schlegel καὶ Jacob[2]). Ὁ δὲ τελευταῖος τὴν βραδεῖαν εἰς τὸ Δωρικὸν εἰσαγωγὴν τῶν ὁμηρικῶν ἐπῶν ἐκ τῆς παναρχαίας τούτου πρὸς τὸ Ἰωνικὸν φῦλον διχονοίας τεκμαίρεται, ὡσεὶ μὴ οἱ Δωριεῖς οἱ κληρονόμοι τοῦ κλέους, τῶν θεῶν καὶ τοῦ ἐδάφους τῶν Ἀχαιῶν ἦσαν, καὶ ὡσεὶ μὴ ὁ τῶν Σπαρτιατῶν πρέσβυς, ὡς ἀλλαχοῦ εἴδομεν, διὰ τὴν τοῦ Ἀγαμέμνονος ἡγεμονίαν ἐσεμνύνετο. Ἄλλως οἱ Σπαρτιᾶται ἐκ παλαιτάτων χρόνων τὰ ὁμηρικὰ ἔπη ἐγίνωσκον, ὡς γίνεται δῆλον ἐκ τοῦ Κυναίθου τοῦ τὴν μικρὰν Ἰλιάδα, τὴν Τηλεγόνειαν καὶ ἄλλα ποιήσαντος καὶ τὰ ὁμηρικὰ ἔπη διαφθείραντος. Οὗτος κατὰ τὸν Welcker οὐ πολὺ βραδύτερον τῆς ἀρχῆς τῶν Ὀλυμπιάδων ζήσας ἦν Λακεδαιμόνιος, ἢ Χῖος μέν, διατρίβων δ' ἐν Λακεδαίμονι. Ὁ Κύναιθος λοιπὸν οὗτος ἦν, οὕτως εἰπεῖν, ὁ Ὀνομάκριτος τῶν Σπαρτιατῶν. Διὰ ταῦτα ὁ Villoison[3]) ἤδη καὶ ὁ Heyne[4]) ἐθεώρησαν τὸν Κύναιθον ὡς τὸν πρῶτον συναρμογέα τῶν ὁμηρικῶν ἐπῶν. Τελευταῖον παρατηροῦμεν, ὅτι ἡ τοῦ Σπαρτιάτου Ἀλκμᾶνος (660 Π·Χ) ποίησις ἐν μεγάλῃ ἀναφορᾷ πρὸς τὰ ὁμηρικὰ ἔπη ποιηθεῖσα ἐπικυροῖ τὴν πρώϊμον τῶν ὁμηρικῶν ἐπῶν εἰς τὴν Σπάρτην εἰσαγωγήν. Ἀλλὰ πᾶσαι αὗται αἱ ἀρνήσεις ἐγένοντο, ὅπως τὸ μέγα ὁμηρικὸν κλέος τοῖς περὶ τὸν Πεισίστρατον ἀποδοθῇ. Ἴδωμεν.

Ὁ μέγας Wolf τὰς μαρτυρίας τῆς ἀρχαιότητος ἀποῤῥίψας, ἢ τὴν ἐξέτασιν τούτων ἀποφυγὼν ὤφειλεν, ἵνα εὕρῃ ἀλήθειάν τινα ἀντίῤῥοπόν γε κῦρος πρὸς τὸ τῶν ἀρχαίων

die unverschämte Uebertreibung und Fiktion des moralisirenden Rhetors an der Stirne ...“

1) Der epische Cyklus I, 246. 2) Sophocl. Quaest. σελ. 92. 3) Anecd. Graec. II, 186 „Cynaethus, qui primus Homerica carmina sparsa et disjecta redegit, multa in iis corrupit.“ 4) Τόμ. VIII, σελ. 812 „Nescio an iis, qui in disponendis Homeri carminibus studium posuerunt, fuerit Cinaethus vel Cynaethus Chius, nec mirum si Cinaethus ordinavit et disposuit rhapsodias in compagem.“

μαρτυριῶν ἔχουσαν. Ἀλλὰ μάτην τις τοσαῦτα παρὰ τοῦ ἀνδρὸς ἀπαιτεῖ. Διότι, καὶ ἂν τις δεχθῇ τὸ ἀρνητικὸν μέρος τῆς θεωρίας αὐτοῦ, ὅμως τὸ θετικὸν αὐτῆς μέρος οὕτως ἡμαρτημένον ἐλέγχεται, ὥστε δύναταί τις εἰπεῖν, ὅτι οὐδεμία φιλολογικὴ εἰκασία ἀτοπωτέρα ταύτης ἐγένετο. Ὁ μέγας Wolf[1]) *ἐπίστευσεν ὡς ἱστορικῶς ὑφ' αὐτοῦ ἀποδεδειγμένον, ὅτι ὁ Πεισίστρατος πρῶτος αὐτοτελῆ ᾄσματα συναθροίσας, συντήξας καὶ εἰς ἓν συναρμόσας τῇ γραφῇ ταῦτα παρέδω. Ἀλλ' οὐ τοσοῦτον θαυμαστόν, ὅτι εὑρέθη ἀνήρ, ἵνα τολμηρῶν θεωριῶν πατὴρ γένηται, ὅσον ἄπορον, ὅτι θερμῶν ὀπαδῶν, ὡς τοῦ* Laehmann, *ἔτυχεν. Οὗτος νομίζει γελοῖον, ἂν πιστεύσῃ, ὅτι ἡ Ἰλιὰς ἤδη πρὸ τοῦ Πεισιστράτου ὑπῆρχεν*[2]).

Ἀλλὰ πρῶτον οἱ μάρτυρες τῆς ἀρχαιότητος οὐ νοοῦσι συναρμογὴν αὐτοτελῶν ᾀσμάτων. Διότι ὁ μὲν Ἰώσηπος λέγει[3]), *ὅτι τὰ τοῦ Ὁμήρου ἔπη οὐκ ἐγράφησαν ἐξ ἀρχῆς, ἀλλ' ἐπί τινα χρόνον ἀπὸ μνήμης παρεδίδοντο (Περὶ Πεισιστράτου οὐδεὶς λόγος), ὁ δὲ Κικέρων*[4]) *καὶ Παυσανίας*[5]), *ὅτι τὰ ἔπη διασπασθέντα ὁ Πεισίστρατος εἰς τὴν πρώτην αὐτῶν μορφὴν ἐπανήγαγεν. Τοῦτο μαρτυρεῖ ὁ Αἰλιανός*[6]), *τοῦτο ὁ Λιβάνιος*[7]), *τοῦτο ὁ Σουίδας*[8]), *τοῦτο ὁ Εὐστά-*

1) Proleg. ad Homer. σελ. 142. 2) Betrachtungen über Homer's Ilias 1865 ἐκδ. Haupt σελ. 76 „Doch ich komme mir bald lächerlich vor, wenn ich noch immer die Möglichkeit gelten lasse, dass unsere Ilias in dem gegenwärtigen Zusammenhange der bedeutenderen Theile, und nicht blos der wenigen bedeutendsten, jemals vor der Arbeit des Pisistratus gedacht worden sei.“ 3) *Κατὰ Ἀπίωνος* I, 2. 4) De Orat. III, 34 „Quis doctior iisdem illis temporibus, aut cujus eloquentia litteris instructior fuisse traditur, quam Pisistrati? qui primus Homeri libros, confusos antea, sic disposuisse dicitur, ut nunc habemus.“ 5) VII, 26 *„Πεισίστρατος ἔπη τὰ Ὁμήρου διεσπασμένα τε καὶ ἀλλαχοῦ μνημονευόμενα ἠθροίζετο.“* 6) *Ποικίλ. ἱστορ.* XIII, 13 *„Ὅτι τὰ Ὁμήρου ἔπη πρότερον διῃρημένα ᾖδον οἱ παλαιοὶ ... ὀψὲ δὲ Λυκοῦργος ὁ Λακεδαιμόνιος ἀθρόαν πρῶτος εἰς τὴν Ἑλλάδα ἐκόμισε τὴν Ὁμήρου ποίησιν ... Ὕστερον δὲ Πεισίστρατος συναγαγὼν ἀπέφηνε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν.“* 7) *Εἰς Ἰουλιανὸν αὐτοκράτορα ὕπατ.* I, 388 *„Εἰ δὲ Πεισίστρατον ἐπαινοῦμεν ὑπὲρ τῆς τῶν Ὁμήρῳ πεποιημένων συλλογῆς, ποῦ θήσομεν τὸν Ὁμήρου μιμητήν;“ Παράβ. τὸν αὐτὸν ἐν Σωκράτ. ἀπολογ.* III, 25. 8) *Ἐν λ. Ὅμηρος „Ὕστερον*

θιος, τοῦτο τὰ ἀνέκδοτα τοῦ Villoison[1]. Ἐν ταῖς φράσεσι πάντων τούτων τῶν συγγραφέων ἐνυπάρχει ἡ ἔννοια, ὅτι τὰ ὁμηρικὰ ἔπη ἦσαν οὐχὶ αὐτοτελῆ ᾄσματα, ἀλλὰ δύο διεσπασμένα ὅλα. Πῶς ὅμως ταῦτα διεσπάσθησαν (εἴ ποτε διεσπάσθησαν); Ἡ ἀπόκρισις εὔκολός ἐστιν. Οἱ περὶ τὸν Wolf δύνανται ἐξηγῆσαι εὐκολώτερον τὴν ἀπορίαν ταύτην, ἢ ἡμεῖς οἱ τὴν γνῶσιν τῆς γραφῆς δεχόμενοι. Διότι, εἰ τὰ ὁμηρικὰ ἔπη ἐπὶ μακρὸν χρόνον ἄγραφα παρεδίδοντο, ἡ διάσπασις αὐτῶν οὕτω νοητή ἐστιν, ὥστε οὐ δεῖται ἀποδείξεως. Ἂν δὲ δεχθῶμεν, ὅτι ταῦτα ἐξ ἀρχῆς ἐγράφησαν, πάλιν ἡ ἐξήγησις εὐκόλως δίδοται. Διότι λέγοντες, ὅτι ἐφ' Ὁμήρου βιβλία, ὡς τὰ ὁμηρικὰ ἔπη, ἠδύναντο γραφῆναι καὶ ἀντιγραφῆναι, οὐκ ἐννοοῦμεν, ὅτι ταῦτα ἦσαν τοῖς πλείστοις προσιτά. Διὰ ταῦτα ἴσως ὁ μὲν ἐκτᾶτο ἓν μέρος τῶν ἐπῶν, ὁ δ' ἄλλο καὶ οὕτως ἐφεξῆς. Πρὸς δὲ συνεβάλοντο πρὸς διάσπασιν τῶν ὁμηρικῶν ἐπῶν καὶ οἱ ῥαψῳδοί, οἵτινες ποιητοῦ ἀξιώσεις ἔχοντες οὕτω διέφθειραν αὐτά, ὥστε ἡ τούτων ἑνότης οὐκ ἦν λίαν αἰσθητή. Ἀλλ' ὁ μέγας Wolf νομίζει, ὅτι, ἂν προϋποτεθῇ διάσπασις, τὸ ἔργον τοῦ Πεισιστράτου τοῦ μέγα κλέος διὰ τοῦτο κτησαμένου τοσοῦτόν ἐστιν, ὅσον νῦν οἱ ἀμελέστεροι τῶν συγγραφέων τοῖς τυπογράφοις καταλείπουσιν[2].

Ἀλλὰ πρῶτον οὐχ εὑρίσκομεν οὕτω μεγάλους ἐπαίνους, ὥστε οὗτοι οὐκ ἠδύναντο ἀποδοθῆναι συλλογεῖ ἢ ἐκδότῃ τῶν ὁμηρικῶν ἐπῶν· εἶτα οἱ ἐπαινοῦντες, δηλαδὴ ὁ Κικέρων καὶ ὁ Λιβάνιός εἰσιν ἐξ ἐκείνων, οἵτινες οὐδὲν ψέγου-

---

συνετέθη καὶ συνετάχθη ὑπὸ πολλῶν, καὶ μάλιστα ὑπὸ Πεισιστράτου, τοῦ τῶν Ἀθηναίων τυράννου."

1) Anecd. Graec. II σελ. 182 „Ὅτι ἔν τινι χρόνῳ τὰ Ὁμήρου ποιήματα παρεφθάρησαν, ἢ ὑπὸ πυρός, ἢ ὑπὸ σεισμοῦ ... ἀλλὰ Πεισίστρατος, Ἀθηναίων στρατηγός, θέλων ἑαυτῷ δόξαν περιποιήσασθαι, καὶ τὰ τοῦ Ὁμήρου ἀνανεῶσαι, τοιοῦτόν τι ἐβουλεύσατο. Ἐκήρυξεν ἐν πάσῃ τῇ Ἑλλάδι, τὸν ἔχοντα ὁμηρικοὺς στίχους ἀγαγεῖν πρὸς αὐτόν, ἐπὶ μισθῷ ὡρισμένῳ καθ' ἕκαστον στίχον· πάντες οὖν οἱ ἔχοντες ἀπέφερον. ... Καὶ μετὰ τὸ πάντας συναγαγεῖν, παρεκάλεσεν οβ' γραμματικοὺς συνθεῖναι τὰ τοῦ Ὁμήρου. ..." Ἰδὲ τὰ ἀποσπάσματα παρὰ Haag, De Recensione Pisistratea, Hal. 1865. 2) Proleg. ad Homer. σελ. 145.

σιν. Ἀλλά, καὶ εἰ ὁ τύραννος τῶν Ἀθηναίων μέγα κλέος διὰ τὸ ἔργον ἐκτᾶτο, ἆρά γε ἡ εἰς τὰ ἔπη ἀπόδοσις ἀρχαίας ἑνότητος μικρὸν ἔργον ἐστίν; Οἱ ἡμέτεροι κριτικοὶ σεμνυνόμενοι, ὅτι πολὺ τῶν Ἀλεξανδρινῶν προέχουσιν, οὐκ ἀνέχονται παραβληθῆναι πρὸς τοὺς συγχρόνους τοῦ Πεισιστράτου τοὺς μηδὲ τὸ ὄνομα τοῦ κριτικοῦ περιβεβλημένους. Εἰ ὅμως καὶ τῷ μεγίστῳ κριτικῷ τοῦ ἡμετέρου αἰῶνος τοιοῦτον ἔργον ἐδίδομεν, τῇ ἀληθείᾳ τοῦτο οὐκ ἀνεδέχετο. Πρὸς δὲ οἱ ἡγεμόνες τῶν ἡμετέρων χρόνων περὶ τὰ τῆς πολιτείας ἀσχολούμενοι ὀλιγωροῦσι φιλολογικῶν ἔργων. Διότι ταῦτα καὶ χρόνον μακρὸν καὶ νοῦν ἀπηλλαγμένον πολιτικῶν φροντίδων ἀπαιτοῦσιν. Εἴ τις ὅμως ἡγεμὼν ποιήσει καὶ τὸ ἐλάχιστον φιλολογικὸν ἔργον, οὗτος μέγας ὑπὸ τῶν ἀνθρώπων νομίζεται, ἐπαινεῖται καὶ θαυμάζεται. Ἐνίοτε δικαίως. Διότι οὗτος τοσοῦτον νοῦν καὶ τοσαύτην φιλοπονίαν ἔσχεν, ὥστε καὶ τοιούτοις ἔργοις ἀπενειμεν. Ἀλλὰ νῦν ἴσως μικρότερος ὁ ἔπαινος. Διότι πολλοὶ ἡγεμόνες ὑπὸ τῆς φιλοτιμίας κατέχονται, ὅπως καὶ φιλολογικὸν νοῦν ἢ ποιητικὸν πνεῦμα ἐπιδείξωσιν. Διὰ ταῦτα λοιπόν, καὶ εἰ τὸ ἔργον τοῦ Πεισιστράτου μικρόν ἦν, καὶ ἐπαίνων καὶ κλέους ἄξιος ἦν, ἅπερ μόλις παρὰ τοῖς μηδὲν ψέγουσιν εὑρίσκομεν.

Ἀλλ' ἐξετάσωμεν, εἰ οἱ περὶ τὸν Πεισίστρατον προὔθεντο ἢ ἠδύναντο συναρμόσαι αὐτοτελῆ ᾄσματα. Κατὰ τὸν ἱστορικὸν Grote νοητὸν ἴσως ἐστίν, εἰ ὁ Πεισίστρατος ὡς ἡγεμὼν τῶν Ἀθηναίων ἐπεχείρει, ἵνα τὸ αὐθαίρετον τῶν ῥαψῳδῶν περιστείλῃ, ἢ τῇ μνήμῃ αὐτῶν ὑποβοηθήσῃ, καὶ τὰ Παναθήναια διά τινος διωρθωμένης ἐκδόσεως τῶν ὁμηρικῶν ἐπῶν κοσμήσῃ. Ἀλλὰ τίνα ἀφορμὴν εἶχεν οὗτος, ἵνα ᾄσματα, ἅπερ τέως ὁ ἑλληνικὸς κόσμος ὡς αὐτοτελῆ ἐγίνωσκεν, εἰς ὅλον συναρμόσῃ; Τί παθὼν ὁ Πεισίστρατος διενοήθη, ὅπως διὰ τοσούτων μεταβολῶν, περικοπῶν, προσθηκῶν καὶ μεταθέσεων, ὅσας δὴ ὁ Lachmann ἀνευρίσκει, δεκαὲξ ᾄσματα, ἅπερ καὶ οἱ ῥαψῳδοὶ χωρὶς ᾖδον, καὶ οἱ ἀκροαταὶ χωρὶς ἤκουον εἰς ὅλον κατατήξῃ; Ὁ Πεισίστρατος οὐκ ἦν ποιητής, ἵνα τὸ δημόσιον πνεῦμα διὰ

τοιούτων ἔργων προσελκύσῃ, ἀλλ' ἡγεμὼν τὴν μεγάλην ἑορτὴν τῆς αὐτοῦ πατρίδος ἐπιθυμῶν κοσμῆσαι. Κατὰ τὰ εἰρημένα ὁ Πεισίστρατος ἐπετύγχανε τοῦ σκοποῦ τούτου, εἰ ἐν τοῖς χειρογράφοις[1] *ἢ ἐν τοῖς φερομένοις ἀνὰ τὰ στόματα τῶν ῥαψῳδῶν ἔπεσιν ἐξέλεγε τὴν δοκοῦσαν αὐτῷ τε καὶ τοῖς περὶ αὐτὸν ἀρίστην διάταξιν, ἀπετύγχανεν ὅμως τούτου, εἰ ὁ λαὸς ἔβλεπεν, ὅτι τὰ δημοτικὰ αὐτοῦ ᾄσματα ἀλλοιούμενα καὶ συντηκόμενα διαστρέφονται. Ὅσον πιθανὸν φαίνεται τὸ πρῶτον, τοσοῦτον ἄτοπον τὸ δεύτερον. Ἀλλά, καὶ εἰ οἱ Ἀθηναῖοι ἠνείχοντο τοιαύτην κατάτηξιν καὶ ὄλεθρον τοῦ κοινοῦ κτήματος, ἆρά γε ἡ ἄλλη Ἑλλὰς ἠνείχετο, ἢ τῷ παραδείγματι εἵπετο; Οἱ Ἀθηναῖοι ἐπὶ Πεισιστράτου οὔτε πολιτικήν, οὔτε φιλολογικὴν ἀξίαν εἶχον, ὅπως παράδειγμα τοῖς ἄλλοις Ἕλλησι γένωνται. Ὁ πιστεύων εἰς τοσαῦτα θαύματα δύναται πειραθῆναι. Τὸ δὲ πείραμα εὔκολόν ἐστιν. Ὁ βουλόμενος λοιπόν, ἔστω καὶ ἡγεμών, δύναται συντῆξαι δημοτικὰ ᾄσματα κατ' ἀντίστροφον μέθοδον, δι' ἧς ὁ* Lachmann *τὴν Ἰλιάδα ἀνέλυσεν. Τίς πιστεύει, ὅτι ὁ λαὸς τὰ δημοτικὰ αὐτοῦ ᾄσματα καταλιπὼν γευθήσεται τοῦ ἀηδοῦς κυκεῶνος τοῦ σχολαστικοῦ ἡγεμόνος;*

Ἀλλὰ καὶ ἂν ὑποτεθῇ, ὅτι ὁ Πεισίστρατος παθών τι ἐπεθύμει, ἵνα αὐτοτελῆ ᾄσματα συναρμόσῃ, ποῦ ἦσαν οἱ πρὸς τοῦτο ἱκανοὶ ἄνδρες; Ὁ Τζέτζης[2] *ψιλὴν ἐπανόρθωσιν ἀπολεσθείσης ἑνότητος νοῶν ὀνομάζει μὲν τέσσαρας ἄνδρας, Ἐπικόγκυλόν (;) τινα, Ὀνομάκριτον τὸν Ἀθηναῖον, Ζώπυρον τὸν Ἡρακλεώτην καὶ Ὀρφέα τὸν Κροτωνιάτην, ἀλλ', εἰ οἱ ἄνδρες οὗτοι ἠδύναντο ἐπανορθῶσαι ἁμαρτήματά τινα τῶν ῥαψῳδῶν, ἆράγε ἦσαν ἱκανοί, ὅπως καὶ ὁμηρικὰ ἔπη πρὸς σύνδεσμον αὐτοτελῶν ᾀσμάτων ποιήσωσιν; Ἡ ἐπικὴ ποίησις πρὸ τοῦ Πεισιστράτου ἤδη παρή-*

---

1) *Παράβαλ.* Nitzsch, Melet. de Histor. Homer. I, 166. 2) *Ὅρα Προλεγόμ. εἰς Σχόλ. Ἀριστοφ. ἐν* Mus. Rhein. *τομ.* VI *σελ.* 116, *ἔτ.* 1848 *„Καίτοι τεσσάρων ἀνδρῶν ἐπὶ Πεισιστράτου συνθέντων τὸν Ὅμηρον, οἵτινές εἰσιν οὗτοι· Ἐπικόγκυλος, Ὀνομάκριτος Ἀθηναῖος, Ζώπυρος Ἡρακλεώτης καὶ Ὀρφεὺς Κροτωνιάτης.“*

κμασεν. Οἱ ἄνδρες οὗτοι ἦσαν μὲν ποιηταί, ἀλλὰ διαφόρου εἴδους ποιήσεως. Ἀλλά, καὶ εἰ οὗτοι τοῦ ἔργου ἐπειρῶντο, οἱ στίχοι αὐτῶν παραβαλλόμενοι πρὸς τὰ αὐτοτελῆ ᾄσματα, ἅπερ ἐν τοῖς γονιμωτάτοις τῆς ἐπικῆς ποιήσεως χρόνοις ἐποιήθησαν, οὐκ ἔμελλον ἐλέγχειν τὸ ἁμάρτημα; Αὐτὴ δ' ἡ ἀττικὴ γλῶσσα ἔμελλεν εἶναι ὁ πρῶτος τοῦ ἔργου μάρτυς. Ὁ δὲ Wolf, *ὡς ἐν τῷ πρώτῳ κεφαλαίῳ εἴρηται, ὀξυτάτην ἀκοὴν ἐκέκτητο. Πρὸς πᾶσι δὲ τούτοις αἱ μεγάλαι ἀνακαλύψεις καὶ τὰ μεγάλα συμβεβηκότα, ὡς ἡ εἰσβολὴ τῶν Δωριέων εἰς τὴν Πελοπόννησον, ἡ εὕρεσις καὶ χρῆσις τοῦ νομίσματος, ἡ βελτίωσις τῆς τε ναυτιλίας καὶ τῶν πολεμικῶν παρατάξεων καὶ πλεῖστα ἄλλα, ὡς πάνυ ὀρθῶς παρατηρεῖ ὁ* Grote[1]), *ἔμελλον ἐλέγχειν τὴν Πεισιστράτειον συναρμογήν. Πόσον εὔκολον οἱ περὶ τὸν* Wolf *ἐνόμισαν τὸ ἔργον! Ὁ Ὀνομάκριτος ψέγεται μέν, ὅτι εἰς τὰ ὁμηρικὰ ἔπη ὑπέβαλε στίχους*[2]), *ἀλλὰ μόνον, ὅτι ὑπέβαλεν. Ἡ δ' ὑποβολὴ προϋποτίθησιν ὅλον τι ἀνεγνωρισμένον, εἰς ὃ ἡ ὑποβολὴ γίνεται. Αἱ δ' ὑποβολαί, δι' ἃς ὅ τε Σόλων καὶ οἱ περὶ τὸν Πεισίστρατον ἐλέγχονται, ἀφορῶσι τὴν φιλοτιμίαν τῶν Ἀθηναίων ἢ ἄλλο τι μηδεμίαν πρὸς σύνδεσμον αὐτοτελῶν ᾀσμάτων σχέσιν ἔχον. Ἀλλὰ καὶ ὁ πολυθρύλητος οὗτος Ὀνομάκριτος ἦν σύγχρονος τοῦ Πεισιστράτου; Δικαίως ὁ μὲν* Nitzsch *ἀμφιβάλλει, μόλις δ' ὁ σοφὸς* Ritschl[3]) *δύναται τὰς ἀμφιβολίας ἀναιρέσαι.*

Ἀλλ' ἴσως ἡ θεωρία τοῦ Wolf, *ὅτι δῆθεν ὁ Πεισίστρατος πρῶτος διὰ συντήξεως αὐτοτελῶν ᾀσμάτων ἀπέφηνε μεγάλα ἔπη, ἔμελλεν ἔχειν μικράν τινα πιθανότητα, εἰ μὴ πρὸ τοῦ τυράννου μακρὰ ἔπη ὑπῆρχον. Ἡ Αἰθιοπὶς ὅμως τοῦ Ἀρκτίνου, ὅστις πλέον τῶν δύο αἰώνων πρὸ τοῦ Πει-*

---

1) II, *σελ.* 151. 2) *Σχολ. εἰς Ὀδυσσ. Λ* 604 *„Παῖδα Διὸς μεγάλοιο· τοῦτον ὑπὸ Ὀνομακρίτου ἐμπεποιῆσθαί φασιν. Ἠθέτηται δὲ . . .“ Παυσαν.* VII, 26, 6 *„Οἶθ' Ὑπερησίην τε καὶ αἰπεινὴν Δονόεσσαν“ Πεισίστρατον δέ, ἡνίκα ἔπη τὰ Ὁμήρου διεσπασμένα τε καὶ ἄλλα ἀλλαχοῦ μνημονευόμενα ἠθροίζετο, ἢ αὐτὸν Πεισίστρατον, ἢ των τινα ἑταίρων μεταποιῆσαι τὸ ὄνομα ὑπὸ ἀγνοίας.“* 3) Die Alexandrinischen Bibliotheken *σελ.* 43.

σιστράτου ἔζη καὶ τὴν Ἰλιάδα μέχρι τοῦ τελευταίου αὐτῆς στίχου ἐγίνωσκε, περιεῖχε 9100 *στίχους. Πολλὰ δὲ ἄλλα ποιήματα τοῦ ἐπικοῦ κύκλου ἦσαν ἐξ ἴσου μεγάλα. Πρὸς δὲ ἡ Αἰθιοπὶς τοῦ Ἀρκτίνου ἄρχεται ἐκ τοῦ σημείου, εἰς ὃ λήγει ἡ Ἰλιάς. Ἆρά γε τὰ δημοτικὰ τοῦ* Wolf *ᾄσματα μέχρι τῆς ταφῆς τοῦ Ἕκτορος ἐξετείνοντο; Ἆρά γε οἱ δημοτικοὶ ποιηταὶ ἐν οὕτω στενῷ τμήματι τοῦ μεγάλου Τρωικοῦ μύθου περιωρίσθησαν; Οὐδεμίαν ἀφορμὴν ἔχομεν, ὅπως τοῦτο δεχθῶμεν. Εἰ λοιπὸν τὰ δημοτικὰ ᾄσματα, ὡς ἔδει, καὶ πέραν τῆς ταφῆς τοῦ Ἕκτορος ἐξετείνοντο, τί οὐ γίνεται μνεία τῶν ὑπολειφθέντων δημοτικῶν ᾀσμάτων; Τί παθὼν ὁ Ἀρκτῖνος δύο αἰῶνας πρὸ τοῦ Πεισιστράτου ποιῶν ἤρξατο τῆς Αἰθιοπίδος ἐκ τῆς ταφῆς τοῦ Ἕκτορος, ἐν ᾧ οἱ δημοτικοὶ ποιηταὶ (ἀεὶ ἐννοητέον ἐν τῇ προϋποθέσει, ὅτι ἦσαν τοιοῦτοι) καὶ τὰ μετὰ ταύτην, ὡς καὶ τὰ πρὸ ταύτης ἐπραγματεύοντο; Ὑπὸ πάντων ὁμολογεῖται, ὅτι ὁ Ὅμηρος μείζονα τοῦ Ἀρκτίνου δόξαν ἐκτήσατο. Τί παθόντες λοιπὸν οἱ Ἕλληνες τὸν Ὅμηρον ὑπὲρ τὸν Ἀρκτῖνον ἐτίμησαν; Διὰ τί τοσαύτη τιμὴ ἀπεδόθη τῷ Ὁμήρῳ, ᾧ κατὰ τὸν* Wolf *μέχρι Πεισιστράτου μικρά τινα ᾄσματα ἄνευ ἑνότητος ἀπεδίδοντο; Πρὸς δὲ ὁ Ἀρκτῖνος καὶ οἱ ἄλλοι κυκλικοὶ ποιηταὶ ἔγραψαν τὰ αὐτῶν ἔπη, ἢ οὔ; Εἰ μὲν ὁ Ἀρκτῖνος ἔγραφεν Αἰθιοπίδα, διὰ τί ὁ ὀλίγα μόνον ἔτη πρὸ αὐτοῦ ζήσας Ὅμηρος οὐκ ἠδύνατο γράψαι Ἰλιάδα; Εἰ δ' ὁ Ἀρκτῖνος καὶ οἱ ἄλλοι κυκλικοὶ ποιηταὶ οὐκ ἔγραψαν τὰ αὐτῶν ἔπη, τί οὐ πλάσσουσιν οἱ περὶ τὸν* Wolf *πολλοὺς Πεισιστράτους, ὅπως καὶ τὰ ἔπη αὐτῶν συλλέξωσι, παραβάλλωσι, γράψωσι καὶ συρράψωσιν; Πλάσσουσι διὰ τῆς φαντασίας; Ἀλλ' οὔτε ἡ σμικρὰ τοῦ Πεισιστράτου οὐσία, οὔτε ὁ θησαυρὸς τῆς πόλεως τῶν Ἀθηναίων, οὔτε ὁ Ὀνομάκριτος καὶ οἱ τρεῖς αὐτοῦ ἑταῖροι ἱκανοὶ ἦσαν, ἀλλὰ τὸ ἔργον ἐδεῖτο καὶ θησαυρῶν τῶν Πτολεμαίων καὶ τοῦ σμήνους τῶν κριτικῶν τῆς Ἀλεξανδρείας. Εἰς πόσας δυσχερείας ἄγει τὸ παράδοξον τοῦ* Wolf! *Πρὸς πᾶσι τούτοις, εἰ τὰ τοῦ Ὁμήρου ἔπη πρὸ τοῦ Πεισιστράτου ἤδη ἐτιμῶντο, παράδοξον φαίνεται ἡμῖν*

γε, ὅτι οὕτω λίαν βραδέως ἐγράφησαν. Διότι ἐπὶ τοῦ τυράννου οὕτω πολλὰ βιβλία ὑπῆρχον, ὥστε ὁ τῶν Σαμίων τύραννος καὶ αὐτὸς δὴ ὁ Πεισίστρατος οὕτω πολλὰ βιβλία εἶχον[1]), ὥστε αἱ βιβλιοθῆκαι τούτων (μετά τινος ὑπερβολῆς) πρὸς τὴν πολυθρύλητον τοῦ Ἀριστοτέλους καὶ πρὸς τὰς τῶν βασιλέων τῆς Περγάμου καὶ Ἀλεξανδρείας παρεβλήθησαν.

Ἀλλὰ τί δεῖ μακρὰ λέγειν; Ὁ Σόλων ὁ πρεσβύτερος τοῦ Πεισιστράτου γινώσκει τὴν τῶν ἐπῶν σειράν, ἣν ὁ Wolf τοῖς περὶ τὸν τύραννον ὑποβάλλει. Διότι κατὰ Διογένη τὸν Λαέρτιον[2]) ὁ Διευχίδας ἱστορεῖ, ὅτι ὁ Σόλων γέγραφε ῥαψῳδεῖσθαι τὰ τοῦ Ὁμήρου ἔπη ἐξ ὑποβολῆς, δηλαδὴ ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον. Ὁ Wolf δύο ἑρμηνείας δίδωσι τούτῳ τῷ χωρίῳ. Πρῶτον λέγει, ὅτι, ἐν ᾧ ἐν ταῖς δημοσίαις ἑορταῖς εἷς ῥαψῳδὸς ᾖδεν, ὁ Σόλων καλέσας πλείονας, οἵτινες διαδεχόμενοι ἀλλήλους πλείονας ῥαψῳδίας ᾖδον, προσέθηκε τῇ ἑορτῇ μεγαλοπρέπειαν[3]). Ἀλλὰ καὶ οἱ δυνάμενοι μόνον ἀναγνῶναι τὸ χωρίον οὐ δύνανται οὕτω νοῆσαι αὐτό. Ἄλλως εἷς ῥαψῳδός οὐδὲ μίαν ῥαψῳδίαν ἠδύνατο συνεχῶς ᾆσαι. Διότι οὗτος οὐκ ὤφειλεν ᾄδειν μέχρι τῆς φυσικῆς διαρκείας τῆς φωνῆς αὐτοῦ. Πρὸς πᾶσι τούτοις τὸ διαδέχεσθαι ἀλλήλους ἦν ἀρχαιότατον. Παρ' Ὁμήρῳ αἱ Μοῦσαι ᾄδουσιν ἀμειβόμεναι ὀπὶ καλῇ[4]), καὶ αἱ αὐταὶ

---

1) Ἀθην. I, 3 „Ἦν δέ, φησί, καὶ βιβλίων κτῆσις αὐτῷ ἀρχαίων ἑλληνικῶν τοσαύτη, ὡς ὑπερβάλλειν πάντας τοὺς ἐπὶ συναγωγῇ τεθαυμασμένους, Πολυκράτην τε τὸν Σάμιον καὶ Πεισίστρατον τὸν Ἀθηναῖον ... ἔτι δὲ τοὺς Περγάμου βασιλέας Εὐριπίδην τε τὸν ποιητὴν Ἀριστοτέλην τε τὸν φιλόσοφον ...“ Gell. n. At. VI, 17 „Libros Athenis disciplinarum liberalium publice ad legendum praebendos primus posuisse dicitur Pisistratus tyrannus: deinceps studiosius accuratiusque ipsi Athenienses auxerunt ...“ Παράβαλ. Nitzsch, Histor. Homer. I, 15 καὶ Welcker, Der epische Cyklus I, 380. 2) I, 57 „Τὰ Ὁμήρου ἐξ ὑποβολῆς ἔγραψε ῥαψῳδεῖσθαι, οἷον ὅπου ὁ πρῶτος ἔληξεν ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον.“ Welcker, Der epische Cyklus I, 388 „Wer die Nachricht des Geschichtschreibers Dieuchidas als gerechtfertigt gelten lässt, für den fällt das Sammeln und Ordnen des Pisistratus nothwendig von selbst weg.“ 3) Proleg. ad Homer. σελ. 140 καὶ 141. 4) Ἰλιάδ. Α 604.

περὶ τὸ πτῶμα τοῦ Ἀχιλλέως θρηνοῦσι διαδεχόμεναι ἀλλήλας[1]. *Τοῦτο δ' ὁρῶμεν ἐναργῶς ἐν τῷ τοῦ Ἕκτορος θρήνῳ, ἐν ᾧ πρῶτον θρηνεῖ ἡ Ἀνδρομάχη, ταύτην διαδέχεται ἡ Ἑκάβη καὶ τελευταῖον ἡ καλὴ Ἑλένη*[2]. *Οἱ Τρῶες ἐκάλεσαν μὲν ἀοιδοὺς θ ρ ή ν ω ν ἐ ξ ά ρ χ ο υ ς*[3], *ἀλλὰ καὶ οὗτοι, ὡς εἶτα αἱ Τρωάδες, κατὰ διαδοχὴν ᾖδον. Τούτων τοὺς θρήνους, ὡς ὀρθῶς παρατηρεῖ ὁ εὐφυὴς* Welcker[4], *παρέλειψεν ὁ ποιητής. Ὀνομάζει μὲν τούτους θρήνων ἐξάρχους, ἀλλὰ καὶ περὶ ἑκάστης τῶν Τρωάδων ὁ Ὅμηρος λέγει, ὅτι ἐ ξ ῆ ρ χ ε γ ό ο ι ο. Λοιπὸν πρῶτον οἱ ἀοιδοὶ κατὰ διαδοχὴν ᾄδοντες ἤ ρ χ ο ν τ ο τ ῶ ν θ ρ ή ν ω ν καὶ ἐ π ε σ τ ε ν ά χ ε τ ο τὸ πλῆθος, εἶτα δὲ τὸ αὐτὸ ἐποίησαν αἱ Τρωάδες. Ἀλλ', εἰ τὸ ἐκ διαδοχῆς ᾄδειν σύγχρονον τῇ ἐπικῇ ποιήσει ἐστί, καὶ μακρὰ ἔπη ἐν ἐκείνοις τοῖς χρόνοις ἠδύναντο γεννηθῆναι, καὶ οἱ ταῦτα ᾄδοντες οὐκ ἐπνίγοντο, καὶ οἱ Ἕλληνες οὐ περιέμενον, ἵνα τοῦτο παρὰ τοῦ Σόλωνος διδαχθῶσιν.*

Ἀποτυχούσης τῆς πρώτης ἑρμηνείας ὁ Wolf[5] *λέγει, ὅτι ὁ Σόλων, ἐν ᾧ οἱ ῥαψῳδοὶ ἄνευ τάξεώς τινος τὰς ῥαψῳδίας ᾖδον, ἔθετο νόμον, ἵνα οὗτοι κατὰ σειρὰν ᾄδωσιν, ὅπως αἱ ῥαψῳδίαι συναρμογήν τινα ἀποτελῶσιν. Ὁ δὲ* Nitzsch[6] *ἐξηγεῖ τὴν φράσιν ἐ ξ ὑ π ο λ ή ψ ε ω ς οὕτως· ὁ Σόλων ὥρισεν, ἵνα οἱ ῥαψῳδοὶ τὰ ὁμηρικὰ ἔπη μετά τινα προπαρασκευὴν ᾄδωσιν. Ὁ δὲ ἱστορικὸς* Grote[7] *νομίζει, ὅτι ὁ νομοθέτης ἐπέστησε τοῖς ῥαψῳδοῖς ὑποβολέα τινὰ ἢ ἐπιτηρητήν, ὅπως οὗτοι τὰς ῥαψῳδίας κατὰ σειράν ᾄδωσι, καὶ μή τι παραλείπωσιν, ἢ ταῦτα διαφθείρωσιν*[8]. *Οἱ ῥαψῳδοὶ ἐν τοῖς Παναθηναίοις, ὡς δοκεῖ τὰ ὁμηρικὰ ἔπη πρὸ τοῦ Σόλωνος οὐκ ᾖδον κατὰ τὴν ἐν αὐτοῖς ἑνότητα, ἀλλ' ἀτάκτως, ὡς καὶ ἐν ἄλλαις ἑορταῖς. Ὁ νομοθέτης λοιπὸν περιέστειλε τὸ αὐθαίρετον, ὡς ἐξάγε-*

---

1) *Ὀδυσσ.* Ω 60. 2) *Ἰλιάδ.* Ω 761. 3) *Αὐτόθι* 622. 4) Der epische Cyklus I, 373. 5) Proleg. ad Homer. *σελ.* 141. 6) Sagenpoesie der Griechen *σελ.* 414. 7) *Μεταφρ.* Fischer II, *σελ.* 145. 8) *Τὸ ζήτημα τοῦτο ἐγένετο αἰτία μακρῶν ἐρίδων, ὧν τὴν ἐξέτασιν ἔν γε τῷ παρόντι παραλείπομεν. Παράβαλ.* Hermann, Dissert. de *ὑποβολῇ*, Leipzig 1835. Nitzsch, De *ὑποβολῆς* 1834.

ται καὶ ἐκ τῆς ἄλλης φράσεως ἐξ ὑπολήψεως, περὶ ἧς πραγματευόμεθα ἐν τῷ ἑπομένῳ κεφαλαίῳ.

Ἐπειδὴ λοιπὸν ἡ περὶ Πεισιστρατείου συναρμογῆς θεωρία πολλαχῶς ἡμαρτημένη ἐλέγχεται, καὶ οἱ θερμότεροι τοῦ Wolf ὀπαδοὶ οὐ δέχονται ταύτην. Καὶ δὴ ὁ W. Müller[1]) τὸ ἁμάρτημα τοῦ διδασκάλου κατιδὼν πειρᾶται, ὅπως τὴν συναρμογὴν εἰς προγενεστέραν ἐποχὴν ἀναβιβάσῃ. Διότι λέγει, ὅτι οὐχὶ ὁ Πεισίστρατος, ἀλλ' ὁ Σόλων τὰ πρῶτα τῆς συναρμογῆς βήματα ἐποίησεν. Ἐπὶ τίνων ὅμως μαρτυριῶν ἐρείδεται; Ἐν ᾧ οὗτος στερεῖται ἀποδείξεων, ἡμεῖς δυνάμεθα ἀποδεῖξαι, ὅτι ὁ νομοθέτης οὐκ ἐποίησε τὸ ἀποδιδόμενον αὐτῷ ἔργον. Διότι ὁ Πλούταρχος[2]) ἱστορεῖ, ὅτι τῶν Ἀθηναίων πρὸς τοὺς Μεγαρεῖς περὶ τῆς Σαλαμῖνος ἐριζόντων καὶ τῶν Σπαρτιατῶν διαλλακτῶν γενομένων ὁ Σόλων εἰς τὸν κατάλογον τῶν νηῶν δύο στίχους ὑπέβαλεν, καθ' οὓς ὁ Σαλαμίνιος Αἴας παρὰ ταῖς φάλαγξι τῶν Ἀθηναίων ἵσταται. Αὐτὸς δ' ὁ W. Müller[3]) ὁμολογεῖ, ὅτι οἱ στίχοι ὑπὸ τοῦ Σόλωνος παρενεβλήθησαν. Εἰ τοῦτο ὁμολογεῖται, πότερον ὁ κατάλογος τῶν νηῶν ἦν αὐτοτελὲς ᾆσμα, ἢ οἱ περὶ τὸν Σόλωνα ἐποίησαν τοῦτον, ὅπως αὐτοτελῆ ᾄσματα συνδέσωσιν; Οὐδέτερον τούτων πιθανόν. Τὸ μὲν πρῶτον· διότι οὐδεὶς ποιητής, ὡς καὶ ἀλλαχοῦ ἤδη εἴρηται, οὕτως ἄγονον φαντασίαν εἶχεν, ὥστε ξηρὸν ὀνομάτων κατάλογον ἐποίησεν. Ἀλλὰ οὐδὲ τὸ δεύτερον μέρος τοῦ ἐρωτήματος πιθανόν. Διότι ὁ μέγας νομοθέτης ἔμελλεν εἶναι γελοῖος, εἰ τὸ ὑφ' αὐτοῦ ποιηθὲν ποίημα τοῖς δικασταῖς πρὸς ἐνίσχυσιν δικαιωμάτων ἐπεδείκνυεν. Οὐχ ἧττον δὲ γελοῖος ἔμελλεν εἶναι ὁ τῆς ὑποβολῆς ἔλεγχος, εἰ ὁ ὅλος κατάλογος ἔργον τοῦ Σόλωνος ἦν. Ἐκ τῶν εἰρημένων ἐξάγεται, ὅτι ὁ κατάλογος τῶν νηῶν πρὸ τοῦ Σόλωνος

---

1) Homerische Vorschule σελ. 76. 2) Βίος Σόλων. §. 10 „Οἱ μὲν ουν πολλοὶ τῷ Σόλωνι συναγωνίσασθαι λέγουσι τὴν Ὁμήρου δόξαν· ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον ἐπὶ τῆς δίκης ἀναγνῶναι

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

3) Homerische Vorschule σελ. 92.

ἦν μέλος συνεχοῦς ὅλου. Πρὸς πᾶσι δὲ τούτοις ἡ ἐπίδειξις ὁμηρικῶν στίχων νοητή ἐστι μόνον, εἰ οὗτοι γεγραμμένοι ἦσαν. Ὁ Gräfenhan[1]) ὁμολογεῖ μέν, ὅτι ὁ Σόλων εἶχε χειρόγραφον τῶν ὁμηρικῶν ἐπῶν, ἀλλ' ἀμφιβάλλει, εἰ τοῦτο ἦν συνεχὲς καὶ πλῆρες, ἢ μόνον Ἀριστεῖαι. Ἀλλὰ κατὰ τὰ πρὸ ὀλίγου εἰρημένα ὁ νομοθέτης ἀνεγνώριζεν ἐν τοῖς ἔπεσι συνέχειαν, ἣν αἱ Ἀριστεῖαι οὐ δύνανται ἔχειν. Εἰ λοιπὸν ὁ Σόλων εὗρε συνηρμοσμένην τὴν Ἰλιάδα, πῶς τολμᾷ ὁ μέγας Wolf, ἵνα τῷ Πεισιστράτῳ τοιοῦτον ἔργον ἀποδώσῃ;

Ἀφ' οὗ λοιπὸν ἐδείχθη, ὅτι οἱ περὶ τὸν Πεισίστρατον οὔτε προὐτίθεντο, οὔτε ἠδύναντο αὐτοτελῆ ᾄσματα συντῆξαι, τί ἄρά γε οὗτοι ἐποίησαν; Ὁ μὲν Nitzsch[2]) ἀποφαίνεται, ὅτι ὁ Πεισίστρατος πολλὰ χειρόγραφα τῶν ἐξ ἀρχῆς ἐν πλήρει ἑνότητι ὑπαρχόντων καὶ ἐπὶ μακρὸν χρόνον ἐν ταύτῃ τῇ μορφῇ φερομένων ὁμηρικῶν ἐπῶν συναθροίσας ἐξέδω διόρθωσίν τινα πρὸς τὴν ἐγχωρίαν ἑορτὴν προωρισμένην. Δηλαδὴ τὴν Πεισιστράτειον ἔκδοσιν ὑπηγόρευσεν ἡ πληθὺς τῶν χειρογράφων καὶ οὐχὶ ἡ ἔλλειψις τούτων, ὡς ὁ Wolf ἐπίστευσεν. Ὁμολογεῖ ὅμως ὁ ἀνήρ, ὅτι οἱ ῥαψῳδοὶ πρὸ τοῦ Πεισιστράτου οὐκ ᾖδον τὰ ἔπη ἐν ἑνότητι, καὶ ὅτι οὐκ εἶχον ἀεὶ πλήρη χειρόγραφα. Κατὰ δὲ τὸν Ulrici[3]), ἐπειδὴ οἱ ῥαψῳδοὶ κατ' εὐκαιρίαν καὶ κατὰ τὸ δοκοῦν μέρη τῶν ὁμηρικῶν ἐπῶν συνήρμοζον, ἡ ἐξ ἀρχῆς ὑπάρχουσα ἑνότης αὐτῶν διεταράχθη καὶ ἐκινδύνευεν ἀπολεσθῆναι· αἱ δὲ νέαι ῥαψῳδικαὶ συναρμογαὶ ἀναμφιβόλως ἔγγραφοι διέμενον καὶ ἐπὶ μᾶλλον διεσκεδάζοντο. Ὁ Πεισίστρατος ὅμως διά τινος ἐπιμελοῦς συλλογῆς καὶ παραβολῆς τῶν ᾀσμάτων πρὸς ἄλληλα τὴν γνησίαν αὐτῶν σειρὰν ἐπανήγαγεν. Μόλις ὅμως κατὰ τὸν σοφὸν ἄνδρα πιστευτόν ἐστιν, ὅτι ὁ τύραννος πλήρη χειρόγραφα τῶν ὁμηρικῶν ἐπῶν ὑπ' ὄψιν εἶχεν. Διότι, εἰ τοιαῦτα ὑπῆρχον, ἡ τοῦ Πεισιστράτου φροντὶς ἦν περιττή. Ἡ δ' εὐεργεσία

1) Geschichte der class. Phil. I, 268. 2) Melet. in histor. Homer. I, 166. 3) Geschichte der hellen. Dichtkunst I, 252.

τοῦ τυράννου μόνον ἐν Ἀθήναις περιωρίζετο. Ἡ Πεισιστράτειος ἔκδοσις ἐν παραβολῇ πρὸς τὰς περιφήμους καὶ κριτικῶς δεδοκιμασμένας διορθώσεις τῶν πόλεων ἔφερε τὴν κηλῖδα τῆς ἀκρισίας καὶ διὰ τοῦτο οὐδὲ διὰ μιᾶς λέξεως μνημονεύεται.

Τὸ τελευταῖον μέρος τῆς εἰκασίας τοῦ Ulrici *φαίνεται ἡμῖν πιθανώτατον. Ὅλον τὸ ἔργον τοῦ Πεισιστράτου ἦν ἔκδοσις καὶ αὕτη, ὡς δοκεῖ, ἄκριτος. Διότι τύραννος καὶ κιβδήλων χρησμῶν ποιηταὶ οὔτε τὴν ἱκανότητα, οὔτε τὴν ἐλευθερίαν τῆς κρίσεως εἶχον, ὅπως ποιήσωσι διόρθωσιν δυναμένην παραβληθῆναι πρὸς ἐκείνας, ἃς οἱ κατ' ἐκλογὴν ἄριστοι τῶν πόλεων πολῖται μετὰ θρησκευτικοῦ πρὸς τὸν ἐθνικὸν ποιητὴν σεβασμοῦ καὶ ὑπὸ μόνης τῆς πρὸς τὴν ἀλήθειαν ἀγάπης ἐλαυνόμενοι πρὸς χρῆσιν τῶν αὐτῶν δημοτῶν ἐξειργάσαντο.*

Ὁ μέγας Wolf *λέγει ἡμῖν, ὅτι οἱ περὶ τὸν Πεισίστρατον αὐτοτελῆ ᾄσματα συλλέξαντες πρῶτοι τούτοις ἑνότητα ἐνέβαλον. Ἔστω. Ὁ αὐτὸς λέγει ἡμῖν, ὅτι τὸ Πεισιστράτειον ἔργον ἦν μέγα τι χρῆμα. Ἔστω καὶ τοῦτο. Ὁ σοφὸς* Ritschl [1]) *ἐπιδοκιμάζων ἄκριτόν τινα γραμματικὸν πειρᾶται, ἵνα ἀναδείξῃ αὐτὸ* opus divinum. *Καὶ τοῦτο ἔστω. Ἀλλ' ἐρωτῶμεν μεγάλῃ τῇ φωνῇ, τί ἐγένετο τὸ θεῖον τοῦτο χρῆμα; Ὁ* Welcker *ἐρειδόμενος ἐπί τινος μυθαρίου φερομένου παρὰ Γελλίῳ* [2]) *εἰκάζει μέν, ὅτι τὸ Πεισιστράτειον χειρόγραφον ἀπωλέσθη ἐπὶ τῆς εἰς τὴν Ἀττικὴν εἰσβολῆς τοῦ Ξέρξου* [3]). *Ἀλλ', εἰ τὸ ἔργον οὕτω μέγα ἦν, ὡς ὁ* Wolf *νομίζει, ἄπορόν ἐστιν, ὅτι οἱ Ἀθηναῖοι οἱ καὶ τὰ ἀτιμότερα σκεύη αὐτῶν ἐκ τῆς πόλεως ἐκκομίσαντες οὐκ ἔσωσαν τὸ* opus divinum. *Ἆρά γε οἱ Ἀθηναῖοι, οἱ ἐπὶ Πεισιστράτου πολλὰ τάλαντα πρὸς συλλογὴν ὁμηρικῶν στί-*

---

1) Die Alexandrinischen Bibliotheken, Breslau 1838. 2) Noct. Att. VI, 17 „Sed omnem illam postea librorum copiam Xerxes Athenarum potitus, urbe ipsa praeter arcem incensa, abstulit asportavitque in Persas." 3) Der epische Cyklus I, 387 „Denn das Exemplar Pisistratus scheint zur Zeit des Xerxes untergegangen zu sein, da es sonst unter denen in Alexandria schwerlich fehlen würde."

χων δαπανῶντες, ἐπὶ Θεμιστοκλέους οὕτως ἀφρόντιδες πρὸς τὸν ἐθνικὸν ποιητὴν ἐγένοντο; Ἆρά γε οἱ φιλάρχαιοι Ἀθηναῖοι ἠνέχθησαν, ἵνα ἀπολεσθῇ τὸ χειρόγραφον ἐκεῖνο, ὅπερ κατὰ τὴν θεωρίαν τοῦ Wolf ἦν αὐτὸς ὁ Ὅμηρος; Ἀλλ' ὑποτεθείσθω, ὅτι οἱ Ἀθηναῖοι ἠνέχθησαν καὶ ὁ Ὅμηρος ἀπωλέσθη. Ἆρά γε οἱ Ἕλληνες συγγραφεῖς, ὁ Ἡρόδοτος, ὁ Θουκυδίδης, ὁ Ἀριστοτέλης οὐκ ὤφειλον θρηνεῖν διὰ τὴν ἀπώλειαν τοῦ τιμαλφοῦς τούτου κτήματος; Ἆρά γε ὁ Πλούταρχος, ὁ πάντα τὰ ἀνέκδοτα τοῦ Περσικοῦ πολέμου συλλέξας, οὐκ ὤφειλε καὶ τούτου μνησθῆναι; Ἆρά γε οἱ ἀττικοὶ ῥήτορες οἱ καθ' ἑκάστην τὰς συμφορὰς τοῦ Περσικοῦ πολέμου ἀνὰ στόμα ἔχοντες οὐκ ὤφειλον ἐν ἑκάστῳ λόγῳ ὀλοφύρεσθαι διὰ τὴν ἀπώλειαν τοῦ Ὁμήρου, ὥς γε διὰ τὸν ἐμπρησμὸν τῶν ναῶν; Ἐκ τῆς σιωπῆς τῶν ἀρχαίων εἰκάζομεν, ὅτι, εἰ Πεισιστράτειος ἔκδοσις ἐπὶ τῶν Περσικῶν ἀπωλέσθη, αὕτη οὐ μόνον οὐκ εἶχε τὴν ὑπὸ τοῦ Wolf ἀποδιδομένην αὐτῇ ἀξίαν, ἀλλὰ καὶ διὰ τὴν ἀκρισίαν καὶ τὴν νοθείαν μικρὰν ἢ οὐδεμίαν ἀξίαν ἐκέκτητο. Μόνον τοιαῦτα ἔργα εἰσὶν ἄξια σιωπῆς. Εἰ λοιπὸν τοιοῦτον χειρόγραφον ἀπωλέσθη, οὔτε τὴν ὀλιγωρίαν τῶν Ἀθηναίων ψέγομεν, οὔτε τὴν σιωπὴν τῶν ἀρχαίων μεμφόμεθα, οὔτε διὰ τὴν ἀπώλειαν τοιούτου κτήματος λυπούμεθα. Πρὸ πάντων δ' ἄξιον σημειώσεώς ἐστιν, ὅτι οὐδὲ ἀντίγραφα Πεισιστρατείου ἐκδόσεως οἱ Ἀλεξανδρινοὶ ἐγίνωσκον (ὅπερ ἐλέγχει τὴν κακὴν τοῦ ἔργου ποιότητα), καὶ μάτην ὁ σοφὸς Ritschl [1]) πειρᾶται, ὅπως τὸ ἐναντίον ἀποδείξῃ. Ἀλλὰ περὶ τοῦ ζητήματος τούτου ἔσται λόγος ἐν τῷ ἕκτῳ κεφαλαίῳ.

Λοιπὸν ἡ κατὰ τὸν Wolf Πεισιστράτειος τῶν ὁμηρικῶν ἐπῶν συναρμογὴ ἦν ψιλὴ ἄκριτος ἔκδοσις. Ἡ δ' ἐπὶ ὡρισμένῳ μισθῷ συλλογὴ ὁμηρικῶν στίχων καὶ ἀπόδοσις τῆς ἑνότητος αὐτῶν ὑπὸ σμήνους κριτικῶν καὶ ἡ ἐπικράτησις τῆς Ἀρισταρχείου ἐκδόσεως, ὡς ἐκ τῶν ἀνεκδότων τοῦ

---

1) Die Alexandrinischen Bibliotheken σελ. 59.

Villoison [1]) *μανθάνομεν, ἐστὶν ἀηδὲς μυθάριον πεποιημένον ὑπὸ ἀμαθοῦς μυθοποιοῦ μετὰ τοὺς χρόνους τοῦ Ἀριστάρχου ζήσαντος. Ἡ ζύμη ὅμως τοῦ μυθαρίου προπαρεσκευάσθη ἐν πολὺ προγενεστέροις χρόνοις. Πάντα τὰ περὶ Σόλωνος καὶ Πεισιστράτου λεγόμενα καταρρέουσιν ἐκ Μεγαρέων. Δυστυχῶς οὐ πάντες μὲν οἱ συγγραφεῖς λέγουσι, πόθεν τὰ περὶ τούτων ἤντλησαν, ὅμως οἱ πρεσβύτεροι τούτων παραπέμπουσιν εἰς Μεγαρεῖς. Καὶ ὁ μὲν Πλούταρχος ἤντλησεν ἐκ τοῦ Ἡρέου τοῦ Μεγαρέως, ὁ δὲ Λαέρτιος ἐκ τοῦ Διευχίδου τοῦ Μεγαρικὰ γράψαντος. Ἀλλ', εἰ αἱ εἰδήσεις ἐκ Μεγαρέων καταρρέουσιν, εὔκολόν ἐστιν, ἵνα καὶ τὰ τὴν ζύμην τοῦ μυθαρίου γεννήσαντα αἴτια ἀνακαλύψωμεν. Ἐπειδὴ οἱ Ἀθηναῖοι πρὸς τοὺς Μεγαρεῖς ἔριδας εἶχον, καὶ τὰ ὁμηρικὰ ἔπη οὐ μόνον πρὸς δόξαν τῶν ἰδίων ἡρώων, ἀλλὰ καὶ πρὸς ἀντιποίησιν καὶ δικαίαν κατοχὴν τῆς Σαλαμῖνος ἐπεδείκνυον, οἱ Μεγαρεῖς διέβαλλον, ὡς εἰκός, αὐτὰ τὰ ἔπη ὡς διεφθαρμένα. Διαφθορεῖς δὲ ὠνόμαζον τὸν θερμὸν τῆς Σαλαμῖνος ὑπέρμαχον, τὸν Σόλωνα, καὶ τὸν ἐκδότην ἢ διορθωτὴν τῶν ὁμηρικῶν ἐπῶν Πεισίστρατον. Ἀφ' ἑτέρου ὅμως οἱ Ἀθηναῖοι τοὺς δημότας ἐπαινοῦντες ἔλεγον, ὅτι οἱ ἄνδρες οὗτοι οὐχὶ διέφθειραν, ἀλλ' ἐκόσμησαν τὰ ἔπη. Τοιαῦται ἔριδες καὶ φῆμαι ἐπί τινας αἰῶνας ἐφέροντο, μέχρις ὅτου ἡ φαντασία θάρρος λαβοῦσα ἔπλασε τὸ μυθάριον, ὅτι δῆθεν ὁ Πεισίστρατος τὰ ὁμηρικὰ ἔπη συνέλεξε, πρῶτος ἔγραψε καὶ τὴν ἀρχαίαν αὐτῶν ἑνότητα ἐπανήγαγεν. Καὶ ταῦτα μὲν περί τε Σόλωνος καὶ Πεισιστράτου ἱκανὰ ἔστωσαν.*

Ἀλλ', εἰ μήτε ὁ Σόλων, μήτε ὁ Πεισίστρατος αὐτοτελῆ ᾄσματα συνήρμοσαν, τὸ ζήτημα οὐκ ἐλύθη. Διότι ἴσως ἄλλος πολὺ τούτων προγενέστερος τὸ ἔργον ἐποίησεν. Καὶ δὴ ὁ μέγας ἱστορικὸς Grote [2]) *λέγει, ὅτι τὰ ὁμηρικὰ ἔπη περὶ τὴν ἀρχὴν τῶν Ὀλυμπιάδων ἔσχον τὴν μορφήν, ἐν ᾗ (ἐννοεῖται μετὰ τῶν μεταγενεστέρων μεταβολῶν καὶ ὑποβολῶν) ταῦτα ἔχομεν. Διαστέλλων δὲ τὸν χρόνον τῆς συν-*

1) Anecd. Graec. II, *σελ.* 182. 2) *Μετάφρ.* Fischer II, 152.

αρμογῆς ἀπὸ τοῦ τῆς γραφῆς νομίζει, ὅτι ταῦτα ἐγράφησαν ἀπὸ τοῦ 660—630 Π·Χ. Διότι ἐρωτᾷ, τίνι πρότερον ἀναγκαία ἦν ἡ γραπτὴ Ἰλιάς; Ἀποκρίνεται οὐδενί. Διότι κατ' αὐτὸν οἱ ῥαψῳδοὶ οὐ μόνον τὴν Ἰλιάδα, ἀλλὰ καὶ τὸν τόνον ἑκάστης λέξεως ἐν τῇ μνήμῃ κατέχοντες οὐκ ἐδέοντο τοιούτου γραπτοῦ βιβλίου. Μόνον φιλίστορες ἴσως ἄνδρες ἐδέοντο τοιούτων χειρογράφων, οἵτινες ἐν ἐκείνοις τοῖς χρόνοις οὐχ ὑπῆρχον. Ὁ δὲ λαὸς κατὰ τὸν ἱστορικὸν ἠκροᾶτο τῶν ἐπῶν ἐν ταῖς συναθροίσεσι καὶ ταῖς ἑορταῖς. Λοιπὸν τὴν γραφὴν τῶν ἐπῶν ἐκ τῆς μορφώσεως κόσμου ἀναγνωστῶν ἐξαρτῶν ἀποδίδωσι ταύτην τῇ εἰρημένῃ ἐποχῇ. Διότι τότε ἤκμαζον ὁ Τέρπανδρος, ὁ Καλλῖνος, ὁ Ἀρχίλοχος, ὁ Σιμωνίδης καὶ ἄλλοι, ἐφ' ὧν ἡ ἀρχαία ποίησις ὅλως μετεβλήθη. Ἐν ταύτῃ τῇ ἐποχῇ τό τε ἐλεγειακὸν καὶ ἰαμβικὸν μέτρον ἀντὶ τοῦ ἀρχαίου ἑξαμέτρου εἰσήχθη, καὶ οἱ νέοι ποιηταὶ ἤρξαντο ἄλλως θεωρεῖν τὸν ἀρχαῖον πλοῦτον. Οἱ δὲ ποιηταὶ γραπτῶν βιβλίων ἐδέοντο, ἵνα ἀκριβῶς τὰς λέξεις τοῦ ὁμηρικοῦ κειμένου σπουδάζωσιν.

Ἀλλ', εἰ τὰ ὁμηρικὰ ἔπη πρὸ τῆς ἀρχῆς τῶν Ὀλυμπιάδων εἶχον τὴν παροῦσαν μορφήν, ἡ δ' ἐποχὴ αὕτη, ὡς εἴδομεν ἐν τῷ πρώτῳ βιβλίῳ, κατ' αὐτὸν τὸν Grote ἡ τοῦ Ὁμήρου ἐστί, τί ἀφαιρεῖ τὴν μορφὴν τῶν ἐπῶν ἀπ' ἐκείνου, ᾧ ὑπὸ πάσης τῆς ἀρχαιότητος ἀποδίδοται, καὶ προσφέρει δῶρον τοῖς μηδὲ τὴν τόλμην σχοῦσιν, ὅπως ταύτης ἀντιποιηθῶσιν; Ἴσως διὰ τὰς ἀντιφάσεις. Ἀλλ' αὗται διὰ πλείστας αἰτίας ἐν τῷ τρίτῳ βιβλίῳ ἀναπτυσσομένας ἀποδοτέαι μᾶλλον τῷ ποιητῇ, ὅστις ὁλόκληρον τὴν προσοχὴν αὐτοῦ εἰς τὴν ποίησιν καταναλίσκων εὐχερέστερον ἐκ τῶν μύθων τὰς ἀντιφάσεις ἐλάμβανεν, ἢ τοῖς συναρμόζουσι καὶ τὴν ἀπότριψιν τῶν ἀντιφάσεων σκοποῦσιν. Ἄλλως καὶ αὐτοὶ οἱ μεγάλοι ἄνδρες οὐ συχνάκις ἔνοχοι ἀντιφάσεων ἁλίσκονται; Πρόχειρον παράδειγμα παρέχομεν αὐτὸν τὸν Grote ἐν αὐτῷ δὴ τούτῳ τῷ ζητήματι. Ὁ σοφὸς ἀνὴρ τὰ πρῶτα τοῖς γραφῆς δοκίμια, ὡς ἐν τῷ πρώτῳ κεφαλαίῳ εἴδομεν, καταβιβάζει[1])

---

1) Μετάφρασ. Fischer II, 136.

εἰς τὴν 40ὴν Ὀλυμπιάδα. Κατὰ τὴν ἐνταῦθα ὅμως ἐκτεθεῖσαν θεωρίαν ἀναβιβάζει τὴν εὐρυτάτην τῆς γραφῆς χρῆσιν (δηλαδὴ τὴν γραφὴν καὶ ἀντιγραφὴν μεγάλων βιβλίων) εἰς προγενεστέραν ἐποχὴν δηλ. 660 Π·Χ. Πρὸς δέ, εἰ ἡ γραφὴ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ἐκ τῆς μορφώσεως ἀναγνωστῶν ἐξηρτᾶτο, πρὸ τοῦ 660 ὤφειλον εἶναι πλείονες, ἢ μετὰ τὴν ἐποχὴν ταύτην. Διότι τοῖς ἐλεγειακοῖς καὶ τοῖς τῶν ἰαμβων ποιηταῖς ἦν ἱκανὴ μικρά τις τῶν μύθων γνῶσις. Οἱ ῥαψῳδοὶ ὅμως, εἰ καὶ εἶχον πιστὴν μνήμην, ὅμως κατὰ μείζονα λόγον γραπτῶν βιβλίων ἐδέοντο. Πρὸς τούτοις μὴ ἀμνημονῶμεν τῶν κυκλικῶν ποιητῶν. Διότι τίνες μείζονα ἀκρίβειαν ἠδύναντο θηρεῦσαι, οἱ κυκλικοὶ ποιηταὶ οἱ ἐν μεγίστῃ ἀναφορᾷ πρὸς τὰ ὁμηρικὰ ἔπη ποιοῦντες, ἢ οἱ ἐλεγειακοὶ καὶ οἱ ἰάμβων ποιηταί; Ἀναντιρρήτως οἱ κυκλικοί. Διὰ τί λοιπὸν τὴν ἀνάγνωσιν τῶν ὁμηρικῶν ἐπῶν ἀπὸ τοῦ Ἀρκτίνου ἀφαιροῦντες ἀποδίδομεν αὐτὴν τῷ Ἀρχιλόχῳ καὶ τοῖς ἄλλοις; Διὰ ταῦτα, εἰ ἡ γραφὴ γνωστὴ ἦν, καὶ μόνον κόσμος ἀναγνωστῶν ἔλειπε, τῇ ἀληθείᾳ οἱ Ὁμηρίδαι, οἱ ῥαψῳδοὶ καὶ οἱ κυκλικοὶ ποιηταὶ ἔμελλον τοῦτον μορφῶσαι.

Τελευταῖον, ἐπειδὴ ὑπὸ τῶν ἀρχαίων συγγραφέων τὰ μέρη τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας δι' ἰδιαιτέρου ὀνόματος ὀνομάζονται, ὡς Καταλόγος τῶν νηῶν, Διομήδους ἀριστεία, Ἀλκινόου ἀπόλογος, οἱ περὶ τὸν Wolf νομίζουσιν[1]), ὅτι αἱ ἐπιγραφαὶ αὗται προσήκουσιν ἀρχαίοις αὐτοτελέσιν ᾄσμασιν. Τοῦτο ὅμως οὕτως ἡμαρτημένον ἐστίν, ὥστε καὶ αὐτὸς ὁ Grote, ὁ τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν ἀρνούμενος, ἀποδοκιμάζει. Διότι ἡ τῶν ἐπῶν εἰς βιβλία διαίρεσις ἐγένετο ὑπὸ τοῦ Ἀριστάρχου, οἱ δὲ τούτου προγενέστεροι εἰς τὸν Ὅμηρον παραπέμποντες καὶ τὸ χωρίον, ὃ ἐνόουν ἢ ὃ ἀπέσπων, ὁρίζοντες ὠνόμαζον τοῦτο ἐκ τῆς ὕλης. Πῶς ἄλλως οἱ πρὸ τοῦ Ἀριστάρχου ὤφειλον παραπέμπειν; Οὕτω καθ' ὕλην οἱ ἀρχαῖοι ὥριζον τὰ μέρη καὶ ἄλλων συγγραφέων, οἵτινες δὴ οὐ συνί-

1) W. Müller, Homerische Vorschule σελ. 71.

σαντο ἐξ αὐτοτελῶν μελῶν. Ὡσαύτως ἡμαρτημένη φαίνεται ἡμῖν ἡ τοῦ W. Müller[1]) *γνώμη, ὅτι δῆθεν ἡ εἰς βιβλία διαίρεσις τῶν ὁμηρικῶν ἐπῶν ἄγει ἡμᾶς εἰς τὴν ἰδέαν τῆς ἑνότητος αὐτῶν, καὶ ὅτι ἀπηλλασσόμεθα ταύτης, εἰ παρελαμβάνομεν ταῦτα διῃρημένα εἰς μακρὰ καὶ βραχέα μέρη, ὡς ἦσαν πρὸ τοῦ Ἀριστάρχου. Ἀλλ' ὁ μέγας Ἀριστοτέλης, καίπερ περὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν πρὸ τοῦ Ἀριστάρχου φιλοσοφήσας, ὅμως ἐπλανήθη. Ἡ εἰς βιβλία διαίρεσις μόνον παιδάρια δύναται πλανῆσαι καὶ οὐχὶ ἄνδρας ἐν τῇ σπουδῇ τῶν νόμων τῆς ποιήσεως ἐγγηράσαντας, πρὸς οὓς ὁ* W. Müller *ἀποτείνεται.*

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ διασκευαστῶν καὶ διασκευῆς τῶν ὁμηρικῶν ἐπῶν.

Πρὸ τῆς ὑπὸ τοῦ Villoison *ἐκδόσεως τῶν ἐνετικῶν σχολίων μόνον δύο*[2]) *χωρία ὑπῆρχον, ἐν οἷς μνεία διασκευῆς ἐγίνετο. Διὰ δὲ τὴν ἔλλειψιν μαρτυριῶν ὁ ἀρχαῖος φιλολόγος* Casaubonus *ἐπίστευεν, ὅτι αὐτὸς ὁ Ὅμηρος ὑπὸ τὸ ὄνομα τῆς διασκευῆς νοεῖται. Μετὰ δὲ τὴν ἔκδοσιν τῶν εἰρημένων σχολίων, ἐν οἷς πλεῖσται μαρτυρίαι περὶ διασκευῆς εὑρέθησαν, οἱ περὶ τὸν* Wolf *ἐπίστευσαν, ὅτι μέγα μέρος τοῦ ἔργου, ὅπερ τέως τῷ Ὁμήρῳ ἀπεδίδετο, ὑπολανθάνει. Ὁ συγγραφεὺς τῶν Προλεγομένων λέγει*[3]), *ὅτι ὁ Πεισίστρατος συνήρμοσε μὲν τὰς ῥαψῳδίας καὶ τὰ τὴν ἀλληλουχίαν τῆς ὅλης ὑποθέσεως κωλύοντα ἀπέβαλεν, ὅμως*

---

1) *Αὐτόθι.* 2) *Σχόλ. εἰς Ὀδυσσ. Λ* 584 *καὶ Εὐστάθ. σελ.* 1721, 25 *ἐκδ. Ῥώμ. Μείζονα ὅμως σαφήνειαν περιεῖχε τὸ ὑπὸ τοῦ* Walckenaer *ἐκδοθὲν σχόλιον τοῦ Πορφυρίου εἰς Ἰλιάδ. Σ* 356—368. 3) Proleg. ad Homer. *σελ.* 150 „Oportet illum satis habuisse, si pleraeque rhapsodiae apto ordini redderentur, sepposititis iis, quae tenori summi argumenti officerent, licet passim aliquid dissideret et hiaret, vel lacinia haereret ex forma priore."

πολλὰ διεσπασμένα καὶ χαίνοντα κατέλιπεν. Διὰ τοῦτο μεταδιδοὺς τοῖς διασκευασταῖς τοῦ ἔργου λέγει, ὅτι οὗτοι ἐνέβαλον τοῖς ὁμηρικοῖς ἔπεσι τὴν ἑνότητα, ἣν οἱ Ἀλεξανδρινοὶ κριτικοὶ εὗρον, καὶ ὅτι τὸ ἔργον τῆς διασκευῆς ἤρξατο ἀπὸ τοῦ Πεισιστρατίδου Ἱππάρχου, ὅπερ δῆθεν ἔκ τινος μαρτυρίας τοῦ φερωνύμου ψευδοπλατωνικοῦ διαλόγου[1]) ἐξάγει. Διότι κατὰ τὸν Wolf, εἰ ὁ Ἵππαρχος ἐκέλευε τοὺς ῥαψῳδούς, ἵνα ἐν νέᾳ τάξει τὰ ὁμηρικὰ ἔπη ᾄδωσι, τοῦτο οὐκ ἠδύνατο παρασχεῖν αὐτῷ μεγάλην δόξαν[2]). Θεωρεῖ δὲ ὡς διασκευαστὰς Ὀρφέα τὸν Κροτωνιάτην, Ὀνομάκριτον τὸν Ἀθηναῖον, Σιμωνίδην τὸν Κεῖον καὶ Ἀνακρέοντα τὸν Τήιον[3]). Ταῦτα ὅμως οὕτω τολμηρά εἰσιν, ὥστε, εἰ μή τι ἄλλο, διὰ τὴν μεγάλην τόλμην ὁ ἀνὴρ ὤφειλε σιγῆσαι. Τοὐναντίον ὅμως σεμνύνεται[4]), ὅτι οὐδεμίαν τῆς ἀρχαιότητος μαρτυρίαν διέστρεψεν. Ἀλλὰ τὸ μνημονευθέν, ἵνα μὴ ἄλλων μνημονεύωμεν, οὕτω κακῶς ἐξηγήθη, ὥστε ἐπί τινα χρόνον ἐσκέφθημεν, εἰ ὄντως ὁ ἀνὴρ τοσαῦτα συμπεράσματα ἐξ αὐτοῦ ἐξάγει.

Διότι ὁ συγγραφεὺς λέγει μόνον, ὅτι ὁ Ἵππαρχος πρῶτος εἰς τὴν Ἀττικὴν τὰ ὁμηρικὰ ἔπη κομίσας ἠνάγκασε τοὺς ῥαψῳδούς, ἵνα ταῦτα ἐξ ὑπολήψεως ᾄδωσιν. Τὸ ῥῆμα ὑπολαμβάνειν, ἐξ οὗ ἡ ὑπόληψις, σημαίνει λαμβάνειν κάτωθεν. Μετηνέχθη δὲ τὸ ῥῆμα καὶ εἰς τοὺς διαλεγομένους. Διότι ὁ λέγων κατέχει πως τὸν λόγον, παυόμενος δ' ἀφίησιν αὐτόν, ἵνα πέσῃ· ὁ μετὰ τοῦτον ὅμως διαλεγόμενος ὑπολαμβάνει αὐτόν. Διὰ ταύτης λοιπὸν τῆς ὁδοῦ τὸ ὑπολαμβάνειν περιῆλθεν εἰς τὴν σημασίαν τοῦ ἐξακολουθεῖν. Τοῦθ', ὅπερ περὶ τῶν διαλεγομένων εἴρηται, ἰσχύει καὶ ἐπὶ τῶν κατὰ διαδοχὴν ᾀδόντων. Κατὰ ταῦτα λοιπὸν ὁ Ἵππαρχος ἠνάγκασε τοὺς ῥαψῳδούς, ἵνα τὰ ὁμη-

---

1) 228 B „Ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο, καὶ τὰ Ὁμήρου πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς Παναθηναίοις ἐξ ὑπολήψεως ἐφεξῆς αὐτὰ διιέναι, ὥσπερ νῦν ἔτι οἵδε ποιοῦσιν.“ 2) Σελ. 154. 3) Αὐτόθι σελ. 155. Δικαίως ὁ Ritschl ἀπορρίπτει τὰ περὶ Σιμωνίδου καὶ Ἀνακρέοντος λεγόμενα, Alexandr. Biblioth. σελ. 41. 4) Αὐτόθι σελ. 155.

ρικὰ ἔπη κατ᾽ ἐξακολούθησιν ἢ συνεχῶς ᾄδωσιν, ὅπερ προανεγνωρισμένην συνέχειαν καὶ ἑνότητα προϋποτίθησιν· Τοῦτ᾽ αὐτὸ σημαίνει καὶ ἡ φράσις ἐξ ὑποβολῆς, περὶ ἧς ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ἐπραγματεύθημεν. Διότι ὁ προηγούμενος ῥαψῳδὸς ἤτοι ὁ πρότερον ᾄσας ὑποβάλλεται ἢ ὑπόκειται τῷ διαδεχομένῳ, ὡς πλεῖστα παραδείγματα κυροῦσι τὴν τοιαύτην τῆς προθέσεως σημασίαν. Τελευταῖον παρατηροῦμεν, ὅτι ἡ μαρτυρία τοῦ διαλόγου τούτου οὐδὲν κῦρος κέκτηται. Διότι ἄνθρωπος ἀγνοῶν, ὅτι ἤδη πρὸ τοῦ Σόλωνος τὰ ὁμηρικὰ ἔπη ἐν τῇ Ἀττικῇ ᾔδοντο, οὐκ ἠδύνατο γινώσκειν τι περὶ τῆς τύχης αὐτῶν.

Ὡσαύτως ὁ W. Müller[1]) συγχέει τοὺς διασκευαστὰς μετὰ τῶν ἑταίρων τοῦ Πεισιστράτου. Τοῦτο ὅμως καὶ ἐπ᾽ οὐδεμιᾶς μαρτυρίας ἐρείδεται, καὶ ἡ διασκευὴ οὐ συνᾴδει πρὸς τὸ ἀποδιδόμενον τῷ Πεισιστράτῳ ἔργον. Τὸ διασκευάζειν, ἐξ οὗ τὸ διασκευαστής, σύνθετόν ἐστιν ἐκ τῆς προθέσεως διὰ καὶ τοῦ ῥήματος σκευάζειν. Τί μὲν σημαίνει τὸ ῥῆμα, πάντες γινώσκουσι, τί δὲ ἡ πρόθεσις, ἐξηγοῦμεν. Αὕτη τὴν ἀρχικὴν αὐτῆς σημασίαν τηροῦσα σημαίνει, ὅτι διά τινος ἐργασία τις διέρχεται, ὡς καὶ ἐκ τοῦ γνωστοῦ ἡροδοτείου χωρίου δῆλον γίνεται, ἐν ᾧ ὁ Ὀνομάκριτος διαθέτης τῶν χρησμῶν τοῦ Μουσαίου ὀνομάζεται[2]). Ἡ διὰ ἐν τῷ διαθέτης ἔχει τὴν αὐτὴν σημασίαν, ἣν καὶ ἐν τῷ διασκευαστής. Ἄρα προϋποτίθεται ὅλον τι, ἐν ᾧ ἡ διασκευὴ γίνεται. Εἰ δ᾽ οἱ περὶ τὸν Πεισίστρατον τὸ ἀποδιδόμενον αὐτοῖς ἔργον ἐποίουν, ὤφειλον κατὰ τὴν γλῶσσαν τοῦ Welcker ὅμηροι ὀνομασθῆναι καὶ οὐχὶ διασκευασταί. Ὁ δὲ Gräfenhan[3]) συγχέει τὸ διασκευάζειν μετὰ τοῦ ἐπισκευάζειν, ὃ ὀρθῶς ὁ Γαληνὸς[4]) ἑρμηνεύει. Διότι τὸ διασκευάζειν τοσούτῳ τοῦ

1) Homerische Vorschule σελ. 81. 2) VII, 6 „... ἔχοντες Ὀνομάκριτον, ἄνδρα Ἀθηναῖον, χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου .... ἐξηλάθη γὰρ ὑπ᾽ Ἱππάρχου τοῦ Πεισιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ᾽ αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμόν ....“ 3) Geschichte der class. Phil. I, 263. 4) Εἰς Ἱπποκρ. Περὶ διαίτ. „Ἐπισκευάζεσθαι λέγεται βιβλίον ἐπὶ τῷ προτέρῳ γε-

ἐπισκευάζειν διαφέρει, ὅσῳ τὸ διοικοδομεῖν τοῦ ἐποικοδομεῖν. Ὁ μὲν ἐπισκευάζων χρῆται τῷ ἐπισκευαζομένῳ βιβλίῳ (εἰ μὴ ὁ αὐτὸς συγγραφεὺς καὶ ἐπισκευαστὴς τοῦ ἰδίου συγγράμματός ἐστιν) ὡς ἰδίῳ ἔργῳ καὶ σκοπεῖ τὴν βελτίωσιν αὐτοῦ, ἐν ᾧ ὁ διασκευαστὴς ἴσως ἀφαιρεῖ καὶ προστίθησιν, ἀλλ' ἀείποτε συνειδώς, ὅτι εἰς ἀλλότριον κτῆμα δίκην κλέπτου εἰσέρχεται.

Ἀλλ' ἴδωμεν, ὅ, τι τὰ ἐνετικὰ σχόλια περὶ διασκευαστῶν παραδίδουσιν. Οὗτοι πανταχοῦ τῶν σχολίων[1]) ὑπὸ τῶν Ἀλεξανδρινῶν κριτικῶν ὡς πλανηθέντες ἐλέγχονται καὶ αἱ ὑποβολαὶ αὐτῶν ἀθετοῦνται καὶ ἐξοβελίζονται. Ἀλλὰ τοὐναντίον, ὡς δοκεῖ, συνέβη. Διότι οἱ ἐλέγχοντες ἐν αὐτῷ τῷ ἐλέγχῳ πλανώμενοι ἀποδείκνυνται. Ὡς πρόχειρον δὲ παράδειγμα ἔστω ἡμῖν τὸ τελευταῖον τῶν σημειωθέντων χωρίον, ὅπερ οἱ Ἀλεξανδρινοὶ κριτικοὶ ὡς διεσκευασμένον καὶ νόθον ἐθεώρησαν. Ἐπειδὴ ἡ Θέτις παροτρύνει τὸν αὐτῆς υἱόν, ἵνα γυναικὶ συμμιγῇ, οἱ κριτικοὶ ἀτόπως ἐνόμισαν, ὅτι οἱ στίχοι διεσκευάσθησαν δηλαδὴ νόθοι εἰσίν. Λέγομεν ἀτόπως. Διότι περιέχουσιν ἔννοιαν τῇ τε φύσει καὶ τῷ βίῳ τῶν ἡρώων ἁρμόζουσαν. Ἐπὶ τῶν Ἀλεξανδρι-

---

γραμμένῳ τὸ δεύτερον γραφέν, ὅταν τὴν ὑπόθεσιν ἔχον τὴν αὐτὴν καὶ τὰς πλείστας τῶν ῥήσεων τὰς αὐτὰς ... τινὰ μὲν ἀφῃρημένα ἐκ τοῦ προτέρου γράμματος ἔχει, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ὑπηλλαγμένα. Παράδειγμα δ', εἰ βούλει, τούτου σαφηνείας ἕνεκα τὸν δεύτερον Αὐτόλυκον Εὐπόλιδος ἔχεις, ἐκ τοῦ προτέρου διεσκευασμένον."

1) Σχολ. Ἑνετ. εἰς Ἰλιάδ. Ζ 441 „Ὅτι πρὸς τὴν λέγουσαν „ἀλλ' ἄγε νῦν ἐλέαιρε" καὶ „μὴ παῖδ' ὀρφανικὸν θείης" οἰκείως ἀπήντηκεν· ὁ δὲ διασκευαστὴς ἐπλανήθη." Εἰς Ἰλιάδ. Θ 73 καὶ 74 „Ἀθετοῦνται, ὅτι ὑπὲρ ἑκάστου στρατεύματος κῆρα ζυγοστατεῖ ὁ Ζεύς, οὐ πλείους, ὡς ἐπὶ Ἀχιλλέως καὶ Ἕκτορος· ὁ δὲ διασκευαστὴς ἐξέβαλε πολλάς." Ἰλιάδ. Τ 327 „Καὶ Ἀριστοφάνης προηθέτει τὸν στίχον, ὥς φησι Καλλίστρατος... Τεκμήριον δὲ τῆς διασκευῆς τὸ καὶ ἑτέρως φέρεσθαι τὸν στίχον." Αὐτόθι 400 „Σημειοῦνταί τινες, ὅτι ἐντεῦθεν ἡ διασκευὴ τοῦ τεθρίππου πεποίηται." Ἰλιάδ. Υ 269 „Ἀθετοῦνται στίχοι δ', ὅτι διεσκευασμένοι εἰσὶν ὑπό τινος τῶν βουλομένων πρόβλημα ποιεῖν. Εἰς Ἰλιάδ. Ω 130 „Ἀθετοῦνται στίχοι γ', ὅτι ἀπρεπὲς μητέρα υἱῷ λέγειν ἀγαθόν ἐστι γυναικὶ μίγεσθαι· ἔτι δὲ καὶ ἁπάντων ἀσυμφορώτατόν ἐστι, καὶ μάλιστα τοῖς εἰς πόλεμον ἐξιοῦσι· χρεία γὰρ εὐτονίας καὶ πνεύματος."

νῶν ἴσως ἡ μήτηρ οὐκ ἐδίδε τοιαύτας συμβουλὰς τῷ υἱῷ, ἐπὶ τῶν Τρωικῶν ὅμως διὰ τὴν φύσιν τῆς ἐποχῆς οὐχὶ σπανίως. Οἱ στίχοι οὗτοι οἱ γνησιώτεροι τῆς Ἰλιάδος εἰσίν. Διότι ὅ τε ἀρχαῖος μῦθος ἠδύνατο περιέχειν τοιαύτην ἔννοιαν, καὶ αὐτὸς ὁ Ὅμηρος οὐ πολλοὺς αἰῶνας μετὰ τὰ Τρωικὰ ζήσας οὐ πολὺ διάφορον τῶν ἡρώων ἐσκέπτετο· οἱ διασκευασταὶ ὅμως, οἷς οἱ στίχοι ἀποδίδονται, οὐκ ἠδύναντο ὑποβαλεῖν ἰδέαν τῇ αὐτῶν ἐποχῇ ἀπρεπῆ οὖσαν. Οἱ θαυμάσιοι κριτικοὶ ἀφαιροῦσι τὸ ἁμάρτημα ἀπ' ἐκείνου, ὅστις ὄντως ἠδύνατο τοῦτο ποιῆσαι, καὶ ἀποδίδουσι τοῖς μηδόλως τοῦτο πρᾶξαι δυναμένοις! Ἐν γένει, ἂν παρατηρήσῃ τις ἐμβριθῶς τὰ ἐνετικὰ σχόλια, ῥᾳδίως εὑρίσκει, ὅτι, εἰ μὴ πᾶσαι, αἱ πλεῖσται τῶν διασκευῶν εἰσι δημιουργήματα τῆς φαντασίας τῶν Ἀλεξανδρινῶν.

Νόθοι ὅμως στίχοι, ὡς καὶ ἀλλαχοῦ ἤδη εἴρηται, εἰς τὰ ὁμηρικὰ ἔπη εἰσέρρευσαν. Ὁ δὲ κατάλογος τῶν νηῶν πάντων τῶν ἄλλων μερῶν ὁ ἐπιδεκτικώτερος νοθείας ἦν. Διότι ἀρίθμησις νηῶν καὶ ἡρώων, πλειόνων ἢ ὀλιγωτέρων, οὔτε τὴν ἑνότητα τοῦ ἔπους διασπᾷ, οὔτε τὴν νοθείαν εὐκόλως αἰσθητὴν ποιεῖ. Οἱ δὲ ῥαψῳδοὶ τὰς Ἑλληνίδας πόλεις περιερχόμενοι ἦσαν πρόθυμοι, ὅπως τοὺς ἥρωας τούτων εἰς τὰ ὁμηρικὰ ἔπη παρεμβαλόντες τὴν φιλοδοξίαν αὐτῶν κολακεύσωσιν. Οἱ ἀρχαῖοι ἤδη ἐσημείωσαν πολλοὺς στίχους εἰς τοὺς ἥρωας τῶν Ἀθηναίων ἀναφερομένους[1]. *Ὁ δὲ Σόλων καὶ Πεισίστρατος ἐλέγχονται διὰ τοῦτο. Ὁ Πλούταρχος*[2] *παραδίδωσιν, ὅτι ὁ τύραννος τῶν Ἀθηναίων παρενέβαλεν ἐκ τοῦ Ἡσιόδου στίχον τινὰ ἐν τῇ Ὀδυσσείᾳ. Ἄξιον δὲ σημειώσεώς ἐστιν, ὅτι ὁ Ἀθήναιος*[3] *τὸν Αἰγιμιόν, ἐξ οὗ ἀπεσπάσθη ὁ εἰρημένος στίχος, ἀποδίδωσιν*

---

1) *Ἰλιάδ. Γ* 144 *ἐν παραβολῇ πρὸς Πλουτάρχ. Βίον Θησ.* XXXIV. *Ἰλιάδ. Δ* 265 *καὶ Πλούτ. αὐτόθι* XX. 2) *Πλούτ. Βίος Θησ.* 20

Δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης

Τοῦτο τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς, ὥσπερ αὖ πάλιν ἐμβαλεῖν εἰς τὴν Ὁμήρου νεκυίαν τὸ

Θησέα Πειρίθοόν τε θεῶν ἀριδείκετα τεκνα.

3) XIII, 557.

οὐχὶ τῷ Ἡσιόδῳ, ἀλλὰ τῷ Κέρκωπι. Ὁ δὲ Otfr. Müller[1]) παρατηρεῖ, ὅτι ὁ Κέρκωψ, ὅστις ἔζη ἐπὶ Πεισιστράτου, οὐκ ἦν ὁ ποιητὴς τοῦ ποιήματος, ἀλλὰ μόνον ἐκδότης αὐτοῦ. Οἱ δ' ἄνθρωποι παρατηροῦντες ἐνιαχοῦ τὴν χεῖρα τοῦ Κέρκωπος ὑπέλαβον αὐτὸν ὡς ποιητὴν τοῦ Αἰγιμιοῦ. Τοῦτο καὶ τῷ Gräfenhan[2]) ἔδοξεν οὐχὶ ἀπίθανον. Ὁ δὲ Ritschl ἀποφαίνεται, ὅτι ὁ Κέρκωψ ἐποίησεν ἐν τῇ ἡσιοδείῳ ποιήσει, ὅ, τι ὁ Ὀνομάκριτος ἐν τῇ ὁμηρικῇ[3]). Αἱ εἰκασίαι αὗται φαίνονται λίαν πιθαναί. Διότι καὶ ὁ Παυσανίας[4]) λέγει περὶ τῆς ἡσιοδείου ποιήσεως τῶν τινα ἐμπεποιηκότων εἰς τὰ Ἡσιόδου. Ἀλλ' ἡ πιθανότης τῶν εἰκασιῶν τούτων ὑποστηρίζει τὴν ἰδέαν, ὅτι ὁ Ὀνομάκριτος καὶ οἱ περὶ αὐτὸν ἐποίησαν, ὅ, τι ὁ Κέρκωψ, δηλαδὴ ἔκδοσιν τῶν ὁμηρικῶν ἐπῶν καὶ πλέον οὔ. Ἀλλ' ἐπανέλθωμεν. Ἴσως καὶ ἐν τῇ Ὀδυσσείᾳ παρενεβλήθη ὁ στίχος, ἐν ᾧ ὁ Μίνως ὀνομάζεται ὀλοόφρων[5]). Διότι ὁ τῶν Κρητῶν νομοθέτης ἐν τοῖς μυθικοῖς χρόνοις ἦν ἐν μεγάλῃ τιμῇ ὑπό τε τοῦ Μελησιγενοῦς καὶ τοῦ Ἀσκραίου ποιητοῦ ἐπαινούμενος. Ὁ Ὅμηρος, ὅστις ὀνομάζει αὐτὸν ὀαριστὴν τοῦ Διὸς[6]), οὐκ ἠδύνατο ἀντιφάσκων πρὸς ἑαυτὸν ὀνομάσαι ὀλοόφρονα. Ἴσως οἱ Ἀθηναῖοι διὰ τὸ πρὸς τὸν Μίνωα μῖσος[7]) τὸν στίχον παρενέβαλον.

Φαίνεται λοιπὸν πιθανόν, ὅτι οἱ Ἀθηναῖοι (ἢ οἱ παρ' αὐτοῖς ᾄδοντες ῥαψῳδοί), παρενέβαλον μὲν εἰς τὰ ὁμηρικὰ ἔπη στίχους, ὅμως ἔπαθον, ὅ, τι συνήθως οἱ ψευδόμενοι. Ὁ W. Müller[8]) λέγει, ὅτι πάντα τὰ χωρία, ἐν οἷς μνεία τοῦ Θησέως ἢ τῶν περὶ αὐτοῦ μύθων γίνεται, τῶν ὁμηρικῶν ἐπῶν ἐκβλητέα εἰσίν. Ἐπειδὴ ὁ Μενεσθεύς, ὡς λέγει,

---

1) Proleg. zu einer wiss. Mythologie σελ. 399. 2) Geschichte der class. Phil. I, 274. 3) Die Alexandr. Biblioth. σελ. 55. 4) II, 26, 7. 5) Ὀδυσσ. Λ 322. 6) Ὀδυσσ. Τ 179. 7) Πλούτ. Βίος Θησ. XVI „Καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς ἀττικοῖς θεάτροις, οὔτε Ἡσίοδος αὐτὸν ὤνησε βασιλεύτατον, οὔτε Ὅμηρος ὀαριστὴν Διὸς προσαγορεύσας, ἀλλ' ἐπικρατήσαντες οἱ τραγικοὶ πολλὴν ἀπὸ τοῦ λογείου καὶ τῆς σκηνῆς ἀδοξίαν αὐτοῦ κατεσκέδασαν ὡς χαλεποῦ καὶ βιαίου γενομένου.“
8) Homerische Vorschule σελ. 96.

πρὸς τὸν Ἀχιλλέα, Ἀγαμέμνονα, Διομήδη καὶ ἄλλους τοῦ Τρωικοῦ πολέμου ἐξόχους ἥρωας παραβαλλόμενος οὐ λίαν ἐκολάκευε τὴν φιλοτιμίαν τῶν Ἀθηναίων, ὑπέβαλλον τὸν μῦθον τοῦ Θησέως. Διότι κατὰ τὸν ἄνδρα ὁ Ὅμηρος τὸν μῦθον τοῦτον ὡς μεταγενέστερον τῆς Ἰωνικῆς ἀποικίας ἠγνόει. Εἰ δὲ γνωστὸς πρὸ ταύτης ἦν, ἔμελλε κομισθεὶς εἰς τὴν μικρὰν Ἀσίαν εἰς τὰ ὁμηρικὰ ἔπη εἰσρεῦσαι καὶ οὐχὶ ψιλῶς μνημονεύεσθαι. Ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἥρωες, καίπερ ὑπὸ τοῦ ποιητοῦ ψιλῶς μνημονευόμενοι, ὅμως διὰ πολλὰς αἰτίας οὐ δύνανται θεωρηθῆναι ὑποβολιμαῖοι. Διότι ἐν τοῖς ὁμηρικοῖς ἔπεσι μακρὸς λόγος γίνεται μόνον περὶ τῶν ἡρώων, οἵτινες ἐπὶ τῶν Τρωικῶν ζῶντες καὶ οὐχὶ τετελευτηκότες, ὡς ὁ Θησεύς, εἰκονίζονται. Ὡσαύτως ὑπερβολικὴ φαίνεται ἡμῖν ἡ τοῦ W. Muller[1]) γνώμη, ὅτι οἱ στίχοι[2]), ἐν οἷς μνεία τῶν πεντήκοντα νηῶν τῶν Ἀθηναίων γίνεται, ἀμφίβολοί εἰσιν. Διότι αἱ Ἀθῆναι ἐπὶ τῶν Τρωικῶν οὐκ ἦσαν μὲν οὕτως ἐπιφανεῖς, ὡς αἱ Μυκῆναι καὶ ἡ Σπάρτη, ὅμως ἡ ἐξ Ἀθηνῶν ἀποικία τῶν Ἰώνων δείκνυσιν, ὅτι οὐκ ἦσαν καὶ οὕτως ἀφανεῖς, ὥστε οὐκ ἠδύναντο ἐπὶ Τροίαν πεντήκοντα ναῦς πέμψαι. Ἄλλως ὁ ἀριθμὸς τῶν νηῶν τῶν Ἀθηναίων πρὸς τὸν τῶν ἄλλων πόλεων παραβαλλόμενος οὐ μέγας φαίνεται.

Τί λοιπὸν ἦσαν οἱ διασκευασταί; Οἱ περὶ τὸν Wolf ἀποφαίνονται, ὅτι ἦσαν οἱ περὶ τὸν Πεισίστρατον, οἱ περὶ τὸν Ἵππαρχον καὶ οἱ μετ' αὐτοὺς μέχρι τῶν Ἀλεξανδρινῶν, οἵτινες αὐτοτελῆ ᾄσματα συνήρμοσαν, τὰ χαίνοντα συνεπλήρωσαν, τοὺς ὄχθους ἀπέταμον καὶ ἐν γένει τὰ ὁμηρικὰ ἔπη ἐλείαναν. Νομίζουσι δ', ὅτι ταῦτα ἐξάγουσιν ἐκ τῶν ἐνετικῶν σχολίων. Ἐκ τῶν σχολίων ὅμως ὅλως τὸ ἐναντίον ἐξάγεται. Διότι κατὰ ταῦτα οἱ διασκευασταί, ὡς εἴδομεν, οὐ μόνον οὐκ ἐβελτίωσαν τὰ ὁμηρικὰ ἔπη, ἀλλὰ καὶ διέ-

1) Homerische Vorschule σελ. 94. 2) Ἰλιάδ. Β 546. Ἄξιον σημειώσεώς ἐστιν, ὅτι τοῦ παραδόξου τούτου πατήρ ἐστιν ὁ ἀρχαῖος γραμματικὸς Τελμισεύς. Σουίδ. ἐν λ. Δαφίδας „Τελμησσεύς, γραμματικός, γεγραφὼς περὶ Ὁμήρου καὶ τῆς αὐτοῦ ποιήσεως, ὅτι ἐψεύσατο. Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον.“

φθειραν ταῦτα. Ἐν γένει οἱ διασκευασταὶ ὡς διαφθορεῖς καὶ λυμεῶνες τῶν ἀλλοτρίων βίβλων ὑπὸ τῶν ἀρχαίων θεωροῦνται. Διόδωρος ὁ Σικελιώτης ἐν ἀρχῇ τοῦ συγγράμματος αὐτοῦ λέγει „βουλόμενος .... τοὺς διασκευάζειν εἰωθότας τὰς βίβλους ἀποτρέψαι τοῦ λυμαίνεσθαι τὰς ἀλλοτρίας πραγματείας.“ Πρὸς δὲ οἱ διασκευασταί, ὡς εἴδομεν, ἐλέγχονται ὡς ὑποβαλόντες στίχους οὐχὶ αὐτοτελῆ μέρη τῶν ἐπῶν συνδέοντας, ἀλλ' ἢ μηδεμίαν σχέσιν πρὸς τὴν ἑνότητα αὐτῶν ἔχοντας, ἢ μᾶλλον αὐτὴν διασπῶντας. Ὁ δὲ Ulrici[1]) νομίζει, ὅτι διασκευασταὶ ὠνομάζοντο ὑπὸ τῶν Ἀλεξανδρινῶν κριτικῶν ἐκεῖνοι, οἵτινες διώρθουν τὰ ὁμηρικὰ ἔπη ὁρμώμενοι οὐχὶ ἐκ γραμματικῶν καὶ κριτικῶν ἀρχῶν, ἀλλ' ἐκ τοῦ πραγματικοῦ μέρους τῶν ὁμηρικῶν ἐπῶν, ὡς ὁ Θεαγένης, ὁ Μητρόδωρος, ὁ Στησίμβροτος, ὁ Γλαύκων καὶ ἄλλοι ἐν τῷ πέμπτῳ καὶ τετάρτῳ Π·Χ αἰῶνι ἀκμάσαντες. Ἡμεῖς γε νομίζομεν, ὅτι οἱ Ἀλεξανδρινοὶ λέγοντες διασκευαστὰς οὔτε ὡρισμένην τάξιν, οὔτε ὡρισμένης ἐποχῆς ἀνθρώπους ἐνόουν, ἀλλὰ πάντας τοὺς διὰ διαφόρους αἰτίας καὶ πρὸς διαφόρους σκοποὺς εἰς τὰ ἔπη στίχους ὑποβαλόντας καὶ ταῦτα διαφθείραντας. Διὰ τοῦτο καὶ ὁ Ζηνόδοτος αὐτὸς ἐν τοῖς ἐνετικοῖς σχολίοις διασκευαστὴς τῶν ὁμηρικῶν ἐπῶν ὀνομάζεται[2]).

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Διάδοσις καὶ περιπέτειαι τῶν ὁμηρικῶν ἐπῶν ἀπὸ Πεισιστράτου μέχρις Ἀριστοτέλους.

Μέχρι τοῦδε ἐν τῷδε τῷ βιβλίῳ εἴδομεν, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐν τῇ γονίμῳ τοῦ ποιητοῦ κεφαλῇ ἐκ μύθων με-

1) Geschichte der hellen. Dichtkunst τομ. I. 2) Σχόλ. ἐνετ. εἰς Ἰλιάδ. II, 666 „Ὅτε Ζηνόδοτος καὶ ἐνταῦθα διεσκεύακε.“

ταμορφωθέντα διὰ τῆς γραφίδος ἢ ἐκ τοῦ στόματος εἰς τοὺς συγχρόνους παρεδόθησαν. Ἐπὶ πολλοὺς δ' αἰῶνας παρεδίδοντο, τῆς δὲ παραδόσεως φειδωλά τινα ἴχνη μέχρις ἡμῶν περιεσώθησαν. Οἱ Ὁμηρίδαι, οἱ ῥαψῳδοί, οἱ νομοθέται καὶ οἱ τύραννοι ἦσαν τὰ σπουδαιότερα τῆς διαδόσεως ὄργανα. Οὗτοι ᾖδον, ἀντέγραφον, διώρθουν, ἢ μᾶλλον διέφθειρον τὰ ὁμηρικὰ ἔπη. Οὕτω δι' ἀμυδροῦ φωτὸς τοὺς σκοτεινοὺς ἐκείνους τῆς ἑλληνικῆς ἱστορίας αἰῶνας διαδραμόντες ἐφθάσαμεν μέχρι τῶν Πεισιστρατείων χρόνων. Ἀλλὰ καὶ εἰς τὴν νέαν τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν περίοδον εἰσερχόμενοι οὐχ εὑρίσκομεν ἀκριβεστέρας μαρτυρίας. Πάντες μὲν οἱ συγγραφεῖς μέμνηνται τοῦ Ὁμήρου καὶ τῶν ὁμηρικῶν ἐπῶν, ἀλλὰ πάνυ ὀλίγοι κριτικὰς διορθώσεις αὐτῶν ὑπαινίσσονται. Οἱ δὲ πλεῖστοι περὶ ἄλλα ἀσχολοῦνται, καὶ μάλιστα περὶ τὴν ἑρμηνείαν αὐτῶν.

Οἱ δὲ ῥαψῳδοὶ οἱ πρῶτοι τῶν ὁμηρικῶν ἐπῶν ἑρμηνευταὶ ἦσαν. Διότι ταῦτα ἀπαγγέλλοντες ὤφειλον γινώσκειν, ποῦ ἡ φωνὴ ζωηρότερον, καὶ ποῦ ἀσθενέστερον τόνον εἶχεν. Διὰ τοῦτο ὁ μὲν Ξενοφῶν[1]) λέγει, τοὺς γὰρ ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας, ὁ δὲ Πλάτων[2]), οὐ γὰρ γένοιτό ποτε ῥαψῳδός, εἰ μὴ συνείη τὰ λεγόμενα ὑπὸ τοῦ ποιητοῦ· τὸν γὰρ ῥαψῳδὸν ἑρμηνέα δεῖ τοῦ ποιητοῦ τῆς διανοίας γενέσθαι τοῖς ἀκούουσιν. Εἶτα δ' ἤρξαντο καὶ οἱ φιλόσοφοι τῆς ἑρμηνείας. Διότι παρετήρουν, ὅτι τὰ ἔπη, ἀφ' ὧν τὰ παιδεύματα τοῦ λαοῦ ἐλαμβάνοντο, πολλὰ γελοῖα καὶ τοῖς θεοῖς ἀνάρμοστα περιέχοντα ἐπιβλαβῆ τῷ λαῷ ἀπέβαινον. Τοῦτο δὲ κατιδόντες δύο τινὰ ἠδύναντο ποιῆσαι, ἢ τὸν ποιητὴν διαρρήδην ἐλέγξαι, ἢ τὰ ἔπη αὐτοῦ δι' ἀλληγορικῆς ἑρμηνείας εἰς ἠθικωτέραν σημασίαν ἀνυψῶσαι. Οἱ μὲν ἐξελέξαντο τὴν πρώτην ὁδόν, οἱ δὲ τὴν δευτέραν. Τῇ μὲν πρώτῃ ἠκολούθησαν ὁ Πυθαγόρας, ὁ Ξενοφάνης, ὁ Ἡράκλειτος καὶ ἄλλοι. Τῇ δὲ δευτέρᾳ Θεαγένης ὁ Ῥηγῖνος[3]),

---

1) Ἀπομν. IV, 2, 10. 2) Ἐν Ἴωνι 530. 3) Lobeck, Aglaoph. σελ. 155. Gräfenhan, Geschichte der class. Phil. I, 219.

Ἀναξαγόρας ὁ Κλαζομένιος[1]), *Μητρόδωρος ὁ Λαμψακηνός, Στησίμβροτος ὁ Θάσιος καὶ πλεῖστοι ἄλλοι, ἐν οἷς οἱ πλεῖστοι ῥαψῳδοί*[2]). *Οἱ τὴν ἀλληγορικὴν ἑρμηνείαν τῶν μύθων προελόντες συνεβάλοντο, ὅπως μὴ ἡ τῶν Ἑλλήνων θρησκεία πρωίμως διὰ τὴν ἀληθῆ τῶν μύθων γνῶσιν καταπέσῃ, οἱ δὲ διαρρήδην τὸν ποιητὴν ἐλέγξαντες ἠγήτορες τῆς ἐπιστημονικῆς τῶν μύθων γνώσεως ἐγένοντο. Οἱ ἀλληγορικῶς τὸν Ὅμηρον ἑρμηνεύοντες ἴσως διέφθειρον ἐνιαχοῦ φράσεις τινάς, ὅπως τῆς ἑρμηνείας αὐτῶν ἐπιτύχωσιν. Ὁ δὲ Σωκράτης, ὅστις μετὰ τῶν φίλων τὰς ἀρχαίας βίβλους ἀνελίττων ἐξέλεγε τὸ ἀγαθόν*[3]), *θεωρεῖται ὡς ἠθικὸς ἐξηγητὴς τῶν ἐπῶν τοῦ τε Ὁμήρου καὶ Ἡσιόδου*[4]). *Ὁ δὲ Πλάτων τὸν Ὅμηρον ἀνεστεμμένον ἐκ τῆς αὐτοῦ πολιτείας ἐξελάσας τοὺς μύθους οὔτε ἐν ὑπονοίαις, οὔτε ἄνευ ὑπονοιῶν δέχεται*[5]).

Οἱ δὲ σοφισταὶ ὡς δεινοὶ τῶν ποιητῶν ἑρμηνευταὶ σεμνυνόμενοι ὑπὸ τοῦ Πλάτωνος σκώπτωνται[6]). *Οὗτοι εὕρισκον ἐν τῷ Ὁμήρῳ ἀντιφάσεις, ἀκυρολογίας, γλωσσικὰ ἁμαρτήματα καὶ συχνάκις διισχυρίζοντο ἄντικρυς τὸ ἐναντίον ἐκείνου, ὃ εἶπεν ὁ Ὅμηρος*[7]). *Ὁ Πρωταγόρας ἐπετίμα τῷ ποιητῇ, ὅτι οὗτος νομίζων εὔχεσθαι ἐπιτάσσει τῇ Μούσῃ*[8]). *Ὁ αὐτὸς εὑρίσκει ἀντίφασιν ἐν τῷ Σιμωνίδῃ*[9]). *Ἐν γένει ὁ σοφιστὴς ἠσχολεῖτο, περὶ ἃ οἱ ποιηταὶ ὀρθῶς ἢ μὴ ὀρθῶς ἐποίησαν*[10]). *Ἡρμήνευε δὲ οὐ μόνον τὸ πραγματικόν, ἀλλὰ καὶ τὸ τυπικὸν τῶν ποιητῶν μέρος*[11]). *Διὰ*

---

1) *Διογεν. Λαέρτ.* II, 11. 2) Lobeck, Aglaoph. *αὐτόθι σελ.* 157. Nitzsch, Prolegom. in Plat. Ion *σελ.* 9. 3) *Ξενοφ. Ἀπομνημ.* I, 6, 14. 4) *Αὐτόθι* I, 2, 56. 5) *Πολιτ.* II, 378 *Δ.* 6) *Πρωτ.* 347. 7) *Ἀριστοτ. Σοφιστ. ἔλεγχ.* IV, 8. Gräfenhan, Geschichte d. class. Phil. I, 204. 8) *Ἀριστ. Περὶ ποιητ.* XIX *„Ἃ Πρωταγόρας ἐπιτιμᾷ, ὅτι εὔχεσθαι οἰόμενος ἐπιτάττει εἰπὼν „μῆνιν ἄειδε θεά“ τὸ γὰρ κελεῦσαι, φησί, ποιεῖν τι ἢ μὴ ἐπίταξίς ἐστιν.“* 9) *Πλατ. Πρωταγορ.* 339. 10) *Αὐτόθι.* 11) *Θεμίστ. λόγ.* IV, 113 *„Ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης, ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ διδάσκων τοὺς νέους, ὁ δὲ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὁμοίως ἤστην καὶ ἐλεγέσθην.“ Φιλόστρατ. Βίοι σοφιστ. σελ.* 594 *„Γνοὺς δὲ τὸν Πρωταγόραν ὁ Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα ὑπτιάζοντα δὲ τῇ σεμνότητι καίπου καὶ μα-*

ταῦτα ὁ σοφιστὴς ὑπό τε τοῦ Wolf[1]) καὶ τοῦ Herbst[2]) ὡς πρῶτος τῶν ὁμηρικῶν ἐπῶν ἐξηγητὴς νομίζεται. Τοῦτο ὅμως ἀρνεῖται ὁ Cramer[3]). Ὁ σοφὸς ὅμως ἀνὴρ τὴν ἑρμηνευτικὴν τοῦ Πρωταγόρου πρὸς τὴν τῶν Ἀλεξανδρινῶν καὶ τὴν τῶν νεωτέρων χρόνων παραβάλλων εὑρίσκει ἐκείνην ἀναξίαν τοῦ ὀνόματος. Ἀλλ' ὀφείλομεν ἔχειν ἐν νῷ οὐ μόνον, ὅτι ἡ ἑρμηνευτικὴ ἦν ἐν σπαργάνοις, ἀλλὰ καὶ ὅτι ἡ ἐν τῷ διαλόγῳ ἑρμηνεία τοῦ Σιμωνιδείου ποιήματός ἐστι πλάσμα τοῦ Πλάτωνος τῆς συνήθους τῷ φιλοσόφῳ εἰρωνείας μετέχον.

Ἱππίας δ' ὁ Ἠλεῖος ἐπεδείκνυτο, ἢ ἐπιδείξεις ἐποιεῖτο ἐν τῷ λύειν ἀπορίας, ἢ ζητήματα περὶ ἀρετῆς, ἢ κακίας ἀρχαίων ποιητῶν[4]). Ἐν δὲ τῷ Περὶ ποιητικῆς τοῦ Ἀριστοτέλους εὑρίσκομεν διόρθωσίν τινα Ἱππίου τοῦ Θασίου. Ἐνταῦθα[5]) ἀναγινώσκομεν· „Κατὰ δὲ προσῳδίαν, ὥσπερ Ἱππίας ἔλυεν ὁ Θάσιος τὸ „δίδομεν δέ οἱ“ καὶ „τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ.“ „Ἐκ τοῦ χωρίου ὅμως τούτου οὐδὲν ἠδυνάμεθα ἐννοῆσαι, εἰ μὴ αὐτὸς ὁ Σταγειρίτης ἐν Σοφιστικοῖς ἐλέγχοις[6]) ἑαυτὸν ἐξήγει λέγων „οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται πρὸς τοὺς ἐλέγχοντας ὡς ἀτόπως εἰρηκότα“ τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ.“ Λύουσι γὰρ αὐτὸ τῇ προσῳδίᾳ, λέγοντες τὸ „οὔ ὀξύτερον. Καὶ τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτὸς ὁ Ζεὺς εἶπεν „δίδομεν δέ οἱ εὖχος ἀρέσθαι“, ἀλλὰ τῷ ἐνυπνίῳ ἐνετέλλετο διδόναι“ Ἤδη ἐννοοῦμεν, ὅτι ἡ διόρθωσις τοῦ σοφιστοῦ ἀφορᾷ τὸν 15ον στίχον τοῦ καταλόγου τῶν νηῶν

Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται.

Ἀλλ' ἕκαστος παρατηρεῖ, ὅτι τὸ ὑπὸ τοῦ Θασίου σοφιστοῦ διωρθωμένον χωρίον οὐχ ὑπάρχει νῦν. Ὁ μὲν Wolf[7]) εἰκά-

---

κρολογώτερον τοῦ συμμέτρου τὴν ἰδέαν αὐτοῦ μύθῳ μακρῷ ἐχαρακτήρισεν.“

1) Proleg. ad Homer. σελ. 167. 2) Phil. u. Histor. Stud. I, 83. 3) Geschichte der Erziehung II, 182. 4) Πλάτ. Ἱππ. μείζ. 286 E. Παράβαλ Stallbaum εἰς Λύσ. 206 C. 5) XXV, 11. 6) IV, σελ. 166. 7) Proleg. ad Homer. σελ. 168.

ζει, ὅτι ἐπὶ τοῦ σοφιστοῦ ὁ εἰρημένος στίχος ἐφέρετο οὕτως

Ἥρη λισσομένη, δίδομεν δὲ οἱ εὖχος ἀρέσθαι.

δηλαδὴ τὸ δεύτερον ἡμιστίχιον κατὰ τὸ Ἰλιάδος Φ στίχ. 297. Ἐπιδείκνυσι δ' ὁ μέγας ἀνὴρ τὴν διαφορὰν ταύτην τοῦ κειμένου ὡς τεκμήριον τῆς μεγάλης τῶν ὁμηρικῶν ἐπῶν ἀλλοιώσεως. Διότι λέγει „sed de illis plura licet suspicari quam scire." Ὁ δὲ Ritter[1]) νομίζει, ὅτι ὁ σοφιστὴς ἀποριῶν καὶ λύσεων ὀρεγόμενος ἔλαβε τὸ ἡμιστίχιον ἐκ τοῦ Φ στίχ. 297 καὶ τὸ τοι εἰς οἱ μεταβαλὼν ἔθηκε τοῦτο εἰς τὸ Β στίχ. 15. Τοῦτο δὲ ποιήσας ἐπετίμα τῷ ποιητῇ. Τὴν τοῦ Wolf εἰκασίαν νομίζομεν πιθανωτέραν. Διότι τῇ ἀληθείᾳ ἦν γελοῖον, εἰ ὁ σοφιστὴς ἐπετίμα τῷ ποιητῇ διὰ φράσιν, ἣν καὶ αὐτὸς κατὰ τὸ δοκοῦν (suo arbitrio et suo dolo, ὡς λέγει ὁ Ritter) ὑπέβαλε, καὶ ἣν οἱ σύγχρονοι ἀναγνῶσται ἠγνόουν. Οἱ σοφισταὶ ἐποίουν μὲν σοφίσματα, ἀλλὰ σόφισμα σοφίσματος πολὺ διαφέρει. Λοιπὸν ἔν τινι τῶν χειρογράφων, ὃ ὁ Ἱππίας ἀνέγνω, ἐφέρετο ἐν τῷ στίχῳ 15 τοῦ καταλόγου τῶν νηῶν τὸ ἡμιστίχιον, δίδομεν δὲ οἱ εὖχος ἀρέσθαι. Ἐπειδὴ δ' ὁ σοφιστὴς παρετήρησεν, ὅτι οὐκ ἦν πρέπον, ἵνα Ζεὺς διδῇ ὑποσχέσεις, ἃς οὐκ ἔμελλε τελέσαι, μετέβαλε τὸ δίδομεν εἰς ἀπαρέμφατον διδόμεν, ὅπως τὸν θεὸν τοῦ ψεύδους ἀπαλλάξῃ. Ἀγαθὴ μὲν ἡ πρόθεσις τοῦ σοφιστοῦ, ἀλλὰ δυστυχῶς οἱ ὁμηρικοὶ θεοὶ οὐ μόνον ψεύδονται, ἀλλὰ καὶ ἐπιορκοῦσιν. Τὴν δ' ἄλλην διόρθωσιν ὁ Θάσιος ἐποίησεν ἐν Ἰλιάδ. Ψ 328

Ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ

Ἐπειδὴ οὗτος ἐνόμισε παρὰ φύσιν, ὅτι αὖον ξύλον δρυὸς διὰ τοῦ ὄμβρου οὐ σήπεται, μετέβαλε τὸ ἀρνητικὸν οὐ εἰς ἀναφορικὴν ἀντωνυμίαν. Διὰ τῆς διορθώσεως δὲ ταύτης τὸ χωρίον σημαίνει, ὅτι τὸ ὑπὲρ τὴν γῆν ἐξέχον

1) Fr. Ritter, Comment ad poet. Arist. σελ. 279.

μέρος τοῦ ξύλου διὰ τοῦ ὄμβρου σήπεται. Ἀλλ' ἕκαστος παρατηρεῖ, ὅτι μᾶλλον ὁ ποιητής, ἢ ὁ σοφιστὴς δίκαιον ἔχει. Τὰ δύο ταῦτα παραδείγματα, ἃ εὐτυχῶς περιέσωσεν ἡμῖν ὁ Σταγειρίτης, δεικνύουσι μέν, πόσον ἡμαρτημέναι σκέψεις διορθώσεις ἐπέτρεπον, ἀλλὰ συνάμα μαρτυροῦσι, καὶ πόσον λεπταὶ ἦσαν αὗται. Δυστυχῶς οὐ γινώσκομεν, εἰ ὁ Ἱππίας ὁλόκληρα τὰ ὁμηρικὰ ἔπη διώρθωσεν, ἢ μόνον ὀλίγας φράσεις, ὧν τὰ δύο παραδείγματα ὁ Ἀριστοτέλης ἔκ τινος ῥητορικοῦ ἢ τοιούτου τινὸς συγγράμματος παρέλαβεν, ὡς ὁ Gräfenhan εἰκάζει.

Πλὴν δὲ τούτων μνημονεύονται καὶ ὁλόκληροι διορθώσεις, ὧν τινες πρὸ τῆς Πεισιστρατείου ἐγένοντο. Αὗται διαιροῦνται εἰς δύο τάξεις· α') εἰς τὰς ἀνωνύμων διορθωτῶν καὶ β') εἰς τὰς διορθώσεις, ὧν τὸ ὄνομα τοῦ διορθωτοῦ γινώσκομεν. Ἀρχόμεθα τῆς ἐξετάσεως τῶν πρώτων. Ἐν τοῖς ὁμηρικοῖς σχολίοις καὶ ἰδίως παρὰ Διδύμῳ εὑρίσκομεν τὸ ἐπίθετον αἱ κοιναί, αἱ κοινότεραι (δηλαδὴ ἀναγνώσεις ἢ διορθώσεις). Τί σημαίνουσι ταῦτα; Ὁ Ritschl[1]) νομίζει, ὅτι ἐν τῷ ἐπιθέτῳ τούτῳ ὑπολανθάνουσιν αἱ ἐκ τῆς Πεισιστρατείου συναρμογῆς ἐκρεύσασαι ἐκδόσεις. Τοῦτο ἀσπάζεται καὶ ὁ Gräfenhan[2])· διότι λέγει, ὅτι ἡ Πεισιστράτειος διόρθωσις μόνον δι' ἀντιγραφῆς ἠδύνατο διατηρηθῆναι, καὶ ὅτι τὰ ἀντίγραφα ταύτης καλοῦνται κοιναί. Ἀλλ' ἡ εἰκασία αὕτη ἐστὶν ἡμαρτημένη. Διότι οἱ Ἀλεξανδρινοὶ κριτικοί, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, οὐκ ἐγίνωσκον Πεισιστράτειον διόρθωσιν. Πρὸς δὲ οἱ σοφοὶ οὗτοι ἄνδρες διὰ τῆς αὐτῶν εἰκασίας ἄρδην τὴν αὐτῶν θεωρίαν καταστρέφουσιν. Διότι, εἰ αἱ ἐκ τῆς Πεισιστρατείου συναρμογῆς ἐκρεύσασαι ἐκδόσεις κοιναὶ ὑπὸ τῶν Ἀλεξανδρινῶν καλοῦνται, ὁ ὁρισμὸς οὗτος προϋποτίθησι καὶ ἄλλας διορθώσεις (δηλαδὴ ἄλλας συναρμογὰς) μὴ ἐκεῖθεν ἐκρευσάσας, οἷαι ἦσαν αἱ κατὰ πόλεις. Τὴν ὕπαρξιν τοιούτων καὶ αὐτὸς ὁ Wolf[3]) ὁμολογεῖ λέγων „Sic

1) Die Alexandr. Biblioth. σελ. 60. 2) Geschichte der class. Phil. I, 271. 3) Prolegom. ad Homer. σελ. 172.

aucto sensim numero codicum fons ille Pisistrateus, *si modo is unus fons fuit.*" *Ἀλλ', εἰ ἐκδόσεις μὴ ἐκ τῆς Πεισιστρατείου συναρμογῆς ὑπῆρχον, τίνες ἦσαν οἱ συναρμογεῖς τούτων; Τί οὐκ ἐπαινοῦνται καὶ οὗτοι; Τί οὐκ ὀνομάζονται; Πόσον ἄραγε διάφορον συναρμογὴν πρὸς τὴν Πεισιστράτειον οὗτοι ἐποίησαν; Εἰ δ' οὕτω διαφόρως συνηρμοσμένα ἔπη οἱ Ἀλεξανδρινοὶ ὑπ' ὄψιν εἶχον, τί οὐκ ἐγείρουσι περὶ τῆς προσηκούσης ἑκάστου τῶν μερῶν θέσεως ἀπορίας καὶ λύσεις; Διὰ ταῦτα λοιπὸν νομίζομεν, ὅτι οἱ κριτικοὶ τῆς Ἀλεξανδρείας λέγοντες ἐκδόσεις κοινὰς ἐνόουν τὰς ὑπὸ τῶν βιβλιοπωλῶν γινομένας πρὸς πώλησιν, οἵαν ὁ καλὸς Εὐθύδημος ἠγόρασεν· ἦσαν δηλαδὴ αἱ κοιναὶ ἐκδόσεις, ἵνα κατὰ Στράβωνα*[1]) *εἴπωμεν, βιβλία εἰς πρᾶσιν γραφόμενα. Αἱ τοιαῦται δ' ἐκδόσεις καὶ ἄκριτοι ἦσαν καὶ μικρὰν ἀξίαν εἶχον, ὡς δείκνυσι τὸ ἐπίθετον κοιναί, καὶ ἔτι μᾶλλον τὸ συγκριτικὸν κοινότεραι. Εἰ δ' αἱ κοιναὶ ἐκδόσεις ἦσαν ἀντίγραφα τῆς Πεισιστρατείου συναρμογῆς, αἱ κοινότεραι ὤφειλον εἶναι, οὕτως εἰπεῖν, Πεισιστρατειότεραι, ὅπερ γελοῖον. Αἱ κοιναὶ λοιπὸν ἐκδόσεις μόνον κατὰ τὸ ὄνομα διαφέρουσι πρὸς τὰς εἰκαιοτέρας, τὰς δημώδεις, τὰς μετρίας, τὰς φαύλας, τὰ φαυλότερα τῶν ἀντιγράφων καὶ τὰς τετριμμένας.*

Πρὸς ταύταις ὑπὸ τῶν ἀρχαίων Σχολιαστῶν μνημονεύονται αἱ κατὰ πόλεις, πολιτικαί, αἱ ἀπὸ πόλεων, διὰ τῶν πόλεων[2]), *ὧν γνωσταί εἰσιν ἑπτά, ἡ Μασσαλιωτική, ἡ Χῖα, ἡ Ἀργολική, ἡ Κυπρία, ἡ Κρητική, ἡ Αἰολικὴ ἢ Αἰολὶς (δηλαδὴ ἡ Λεσβία· διότι μόνοι οἱ Λέσβιοι καλοῦνται ψιλῶς Αἰολεῖς· εἰ δ' ἡ ἔκδοσις ἀνῆκε τοῖς Αἰολεῦσι τῆς Κύμης, ὤφειλε καλεῖσθαι Κυμαία) καὶ ἡ Σινωπική. Τῶν ἑπτὰ τούτων διορθώσεων αἱ τέσσαρες ἦσαν ἰωνικαί, δηλαδὴ ἡ Χῖα, ἡ Μασσαλιωτική, ἡ Σινωπικὴ καὶ ἡ Κυπρία (διότι μόλις δύναταί τις ἐννοῆ-*

1) III, 419. 2) Ἐνετ. σχόλ. εἰς Ἰλιάδ. I, 386. Y 308. Φ 86, 351, 454, 535. X 51, 93. Ψ 77, 206. Ω 30.

σαι τοὺς ἐν Κύπρῳ Δωριεῖς), αἱ δὲ λοιπαὶ ἦσαν δωρικαί, ἢ αἰολικαί. Ἐνόμισαν δέ τινες, ὅτι αὗται ἦσαν γεγραμμέναι ἐπὶ τὸ αἰολικώτερον ἢ δωρικώτερον, ὡς ἡ μικρὰ Ἰλιάς[1]). Ἐνταῦθα δ' ἐγείρεται τὸ ζήτημα, τίνι ἐποχῇ ἀνήκουσιν αὗται; Βέβαιόν ἐστιν, ὅτι πρὸ τοῦ Ζηνοδότου ἤδη ὑπῆρχον. Νομίζομεν δ', ὅτι αἱ πλεῖσται, εἰ μὴ πᾶσαι, ἦσαν σύγχρονοι, ἢ προγενέστεραι τῆς Πεισιστρατείου ἐκδόσεως. Πρὸς δὲ ζητεῖται, εἰ αἱ εἰρημέναι ἐκδόσεις ἐπιμελείᾳ ἰδιωτῶν, ἢ τῆς πολιτείας ἐγένοντο. Ὁ Wolf[2]) ἀποφαίνεται τὸ πρῶτον, ἡμῖν γε πιθανώτερον φαίνεται τὸ δεύτερον. Διότι τοῦθ', ὅπερ δ τε Λυκοῦργος καὶ ὁ Πεισίστρατος ταῖς αὐτῶν πόλεσιν ἐποίησαν, ἔπραξαν καὶ οἱ τὰ δημόσια τῶν ἄλλων πόλεων πράσσοντες. Ἀλλὰ δυστυχῶς οὐ περιεσώθησαν ἡμῖν μαρτυρίαι. Διότι μόνον περὶ τῆς Σπάρτης καὶ ἰδίως περὶ τῶν Ἀθηνῶν ἀκριβεστέρας εἰδήσεις ἔχομεν. Ὁ δὲ Düntzer[3]) τίθησι τὸ ζήτημα, εἰ αἱ εἰρημέναι ἐκδόσεις ἦσαν πλήρεις, ἢ μόνον ῥαψῳδίαι αὐτῶν. Εἰ ἦσαν πλήρεις, κατὰ τὴν Πεισιστράτειον ἔκδοσιν ἐγένοντο. Νομίζομεν, ὅτι ἦσαν πλήρεις. Διότι ἑκάστη τῶν διορθώσεων τούτων ἐν τοῖς σχολίοις πολλῶν ῥαψῳδιῶν μνημονεύεται. Ἄλλως οὐ δυνάμεθα ἐννοῆσαι, ὅτι πόλεις μεγάλαι καὶ πλούσιαι, οἷαι αἱ εἰρημέναι, οὐκ ἠδύναντο κτήσασθαι ἀκέραια τὰ ὁμηρικὰ ἔπη. Ἦσαν μὲν πλήρεις, ἀλλὰ τοῦτο οὐκ ἀποδεικνύει, ὅτι κατὰ τὴν Πεισιστράτειον συναρμογὴν ἐγένοντο. Διότι τοῦτο δὴ ζητεῖται, καὶ ἡμεῖς τὸ ἐναντίον ἐν τοῖς ἔμπροσθεν κατὰ τὸ δυνατὸν ἐδείξαμεν. Εἰ καὶ ἐκ τῶν εἰδήσεων τῶν Σχολιαστῶν οὐ δυνάμεθα κρῖναι ἀσφαλῶς περὶ τῆς ἀξίας αὐτῶν, ὅμως εἰκάζομεν, ὅτι αὗται ἦσαν πολὺ κρείττονες τῶν τε κοινῶν καὶ τῆς Πεισιστρατείου. Διότι, ὡς ἀλλαχοῦ ἤδη εἴρηται, οἱ ἄριστοι τῶν πόλεων πολῖται ἄνευ

---

1) Sengebusch, Homer. Dissert. prior σελ. 189

Νὺξ δ' ἄρ ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,

καὶ αἰολικώτερον ἢ δωρικώτερον

Νὺξ μὲν ἔην μεσάτα, λαμπρὰ δ' ἐπέτελλε σελάνα,

2) Proleg. ad Homer. σελ. 178 καὶ 179. 3) Homer und der epische Cyklus σελ. 34.

πλαγίων σκοπῶν τὴν ἔκδοσιν τοῦ ἐθνικοῦ ποιητοῦ ἀνεδέξαντο. Οὐδεμία γε μομφὴ περὶ ὑποβολῆς, ὡς ἐν τῇ Πεισιστρατείῳ, ἀκούεται. Πρὸς δὲ οἵ τε Χῖοι καὶ οἱ Κύπριοι εἶχον μείζονα πρὸς τὰ ὁμηρικὰ ἔπη αἴσθησιν, ἢ οἱ Ἀθηναῖοι, παρ' οἷς οὐδέποτε ἡ ἐπικὴ ποίησις ἤκμασεν. Διὰ ταῦτα νομίζομεν, ὅτι τὰ ἐπίθετα, αἱ χαριέστεραι, αἱ ἀκριβέστεραι, τῶν πάνυ ἀξιολόγων, ταῖς ἐκδόσεσι ταύταις προσήκουσιν.

Ἤδη μεταβαίνομεν εἰς τὸ δεύτερον εἶδος τῶν ἐκδόσεων, ἃς οἱ ἀρχαῖοι τὰς κατ' ἄνδρα ὠνόμαζον. Τοῦτο δὲ λέγοντες ἐνόουν διορθώσεις, ὧν οἱ διορθωταὶ γνωστοὶ ἦσαν. Συνήθως ὅμως ὑπὸ τὸ ὄνομα τοῦτο νοοῦνται ἡ Ἀντιμάχειος καὶ ἡ Ἀριστοτελική. Ἐπειδὴ ἐν τῇ ἐποχῇ ταύτῃ οὐχ ὑπῆρχεν ἰδιαιτέρα κριτικῶν τάξις, ὡς βραδύτερον, οἱ ποιηταί, οἱ ῥήτορες, οἱ σοφισταὶ καὶ οἱ φιλόσοφοι τὸ τοῦ κριτικοῦ ἔργον ἀνεδέχοντο. Καὶ δὴ ὁ ἐπικὸς καὶ λυρικὸς ποιητὴς Ἀντίμαχος, ὅστις ἤκμαζε περὶ τὴν 93ην, ἢ 94ην Ὀλυμπιάδα, ἐξέδω τὴν φερώνυμον αὐτοῦ ἔκδοσιν τὴν Ἀντιμάχειον, τὴν Ἀντιμάχου, τὴν κατ' Ἀντίμαχον. Πρότερον ὑπῆρχεν ἀμφιβολία περὶ τῆς ταὐτότητος τοῦ ποιητοῦ μετὰ τοῦ διορθωτοῦ. Ἐπειδὴ ὁ Σουΐδας τὸν Ἀντίμαχον ὀνομάζει γραμματικὸν καὶ ποιητήν, καὶ ἐπειδὴ αἱ τῆς γραμματικῆς ἀρχαὶ εἰς τοὺς χρόνους τοῦ Ἀριστοτέλους ἐτίθεντο, ὁ Schellenberg[1]) ἐπειρᾶτο, ὅπως τὸν γραμματικὸν ἀπὸ τοῦ ποιητοῦ χωρίσῃ. Ἀλλ' ὁ Villoison[2]) ἀπέδειξε τὴν ταὐτότητα τοῦ ἀνδρός, καὶ ἤδη ἡ γνώμη αὐτοῦ ἐπικρατεῖ. Θεωρεῖται δὲ πιθανώτατον, ὅτι οἱ Ἀλεξανδρινοὶ παρὰ τῶν κληρονόμων τοῦ Ἀντιμάχου τὸ χειρόγραφον ἀγοράσαντες ἐν τῇ βιβλιοθήκῃ εἶχον[3]). Ἐπειδὴ ὅμως αἱ περὶ τῆς διορθώσεως εἰδήσεις λίαν φειδωλαί εἰσιν, οὐ δυνάμεθα κρίνειν περὶ τῆς ἀξίας αὐτῆς. Ἀλλ', ἐπειδὴ τά ἐνετικὰ σχόλια[4]) μετὰ τοῦ Εὐσταθίου[5]) τὸν Ἀντίμαχον οὐ μόνον διορθω-

1) Antimachi reliquiae 1786, σελ. 34. 2) Proleg. ad Homer. σελ. 24. 3) Gräfenhan, Geschichte der class. Phil. I, 279. 4) Εἰς Ἰλιάδ. Γ 197. Ρ 133. 5) Σελ. 1198.

τήν, ἀλλὰ καὶ ἑρμηνευτὴν τῶν ὁμηρικῶν ἐπῶν ὀνομάζουσιν, καὶ δὴ καὶ τὴν φράσιν οἱ περὶ Ἀντίμαχον[1]) περιέχουσιν, εἰκάζομεν, ὅτι πολλοὶ τῇ τε διορθώσει καὶ ἑρμηνείᾳ τοῦ Κολοφωνίου ἠκολούθουν. Διότι διὰ τῆς φράσεως οἱ περὶ Ἀντίμαχον οὐ δυνάμεθα ἐννοῆσαι μόνον τὴν ἔκδοσιν αὐτοῦ, ὡς ὁ Gräfenhan[2]). Ἐν ἐκείνῃ τῇ ἐποχῇ οὐχ ὑπῆρχον μὲν γραμματικαὶ σχολαί, ὅμως λίαν πιθανόν ἐστιν, ὅτι ὁ ποιητὴς τῆς ἰδίας τέχνης ὀπαδοὺς ἢ ἑταίρους εἶχεν.

Ὁ δὲ Σουίδας παραδίδωσι μέν, ὅτι καὶ ὁ τραγικὸς ποιητὴς Εὐριπίδης τὰ τοῦ Ὁμήρου ἔπη ἐξέδω, ἀλλ' ἐκφράζει ἀμφιβολίαν τινὰ περὶ τῆς γνησιότητος τῆς ἐκδόσεως[3]). Επειδὴ ὅμως καὶ ὁ Εὐστάθιος μνημονεύει ἐκδόσεως κατ' Εὐριπίδην, καὶ ἀποδίδωσιν αὐτῷ τὴν ὑποβολὴν στίχου, ὃν καὶ ὁ Στοβαῖος ἤδη μεταγενεστέραν προσθήκην ἐθεώρησεν, εἰκάζομεν, ὅτι ἡ ἀμφιβολία τοῦ λεξικογράφου οὐκ ἔχει μέγα βάρος. Ἄλλως ζητεῖται, εἰ ἡ ἀμφιβολία τοῦ Σουίδα ἔχει ἀόριστον σημασίαν, ἢ διὰ τῆς φράσεως εἰ μὴ ἑτέρου ὁ ἀμφιβάλλων τὸν ὁμώνυμον συγγενῆ τοῦ τραγικοῦ νοεῖ. Ὁπωσδήποτε ἐκ τῆς εἰδήσεως ταύτης δῆλον γίνεται, ὅτι ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ἰδιῶται τὰ ὁμηρικὰ ἔπη ἐξέδιδον, καὶ ὅτι τὸ παρὰ Πλουτάρχῳ ἀνέκδοτον, καθ' ὃ γραμματοδιδάσκαλοι τὰ ὁμηρικὰ ἔπη διώρθουν καὶ ἐπανώρθουν, ἀληθές ἐστιν.

Ὁ δὲ Ἀριστοτέλης τὴν τῶν ἐλευθέρων παίδων παιδευθεὶς περὶ τὸν Ὅμηρον παιδιόθεν ἠσχολήθη[4]) καὶ δὴ ὡς νεανικὸν αὐτοῦ προϊὸν θεωροῦνται τὰ ὁμηρικὰ προβλήματα ἢ ἀπορήματα. Βραδύτερον δ' ἐξέδω τὴν Ἰλιάδα,

---

1) Ἑνετ. σχόλ. εἰς Ἰλιάδ. Ψ 604. Ω 71. Διώρθωσε μὲν τὴν φράσιν ὁ Heyne εἰς περὶ Ἀρίσταρχον καὶ γνώμην περὶ διορθώσεως ὁ Lehrs Quaest. epic. σελ. 49 ἐξέφρασεν, ἀλλὰ δικαίως ὁ Spitzner τὴν διόρθωσιν ἀποδοκιμάζει. 2) Gesch. d. class. Phil. I, 279. 3) Ἐν λ. „Εὐριπίδης ἔγραψεν ὁμηρικὴν ἔκδοσιν· εἰ μὴ ἄρα ἑτέρου ἐστίν." 4) Ψευδαμμώνιος ἐν βίῳ Ἀριστοτέλους „Ὁ μὲν οὖν Ἀριστοτέλης ἔτι νέος ὢν τὴν τῶν ἐλευθέρων παιδείαν ἐπαιδεύετο, ὡς δηλοῖ τὰ γεγραμμένα αὐτῷ περὶ ποιητικῶν καὶ πρὸς ποιητάς, ἔτι μέντοι τὰ Ὁμήρου προβλήματα."

καὶ περὶ ποιητικῆς συνέγραψεν. Πρῶτον ἔστω ὁ λόγος περὶ τῆς ἐκδόσεως. Ὁ Πλούταρχος[1]) παραδίδωσιν ἡμῖν, ὅτι ὁ Ἀριστοτέλης διώρθωσε τὴν Ἰλιάδα, ἣν ὁ μέγας Ἀλέξανδρος ὡς ἐφόδιον τῆς πολεμικῆς ἀρετῆς μεθ' ἑαυτοῦ εἰς τὴν Ἀσίαν ἔλαβεν. Ἀριστοτελικῆς διορθώσεως μέμνηνται (ἂν μὴ ἄλλως τὰ χωρία διορθώσωμεν, ὡς τινες ἐποίησαν) μὲν οἱ Σχολιασταὶ τοῦ τε Ὁμήρου[2]) καὶ Θεοκρίτου[3]), ἀλλ' ὁ Στράβων[4]) ἄλλως παραδίδωσι τὸ πρᾶγμα. Ἐπειδὴ δὲ καὶ ὁ Πλίνιος[5]) μνημονεύων τοῦ γεγονότος οὐ λέγει περὶ Ἀριστοτελικῆς διορθώσεως, ἐνόμισάν τινες[6]), ὅτι ὁ Σταγειρίτης τοιοῦτον ἔργον οὐκ ἐποίησεν. Ὁ Giphanius ἐν τῷ προλόγῳ τῆς ἐκδόσεως τῆς Ἰλιάδος τῷ μὲν Καλλισθένει καὶ Ἀναξάρχῳ ἀπονέμει τὴν τῆς Ὀδυσσείας διόρθωσιν, τῷ δὲ Ἀριστοτέλει τὴν τῆς Ἰλιάδος. Ὁ δὲ Wolf νομίζει, ὅτι ὁ μέγας Ἀλέξανδρος ἔλαβε μὲν παρὰ τοῦ διδασκάλου τὴν Ἰλιάδα, ὅμως ἐν τῇ Ἀσίᾳ μετὰ τῶν δύο εἰρημένων σοφῶν τὸ ἔπος ἀναγινώσκων σημειώσεις ἰδιοχείρως ἐπὶ τοῦ χειρογράφου ἐπέγραψεν. Ὁ δὲ Lehrs[7]) εἰκάζει, ὅτι ὁ Ἀλέξανδρος τὴν ἔκδοσιν παρὰ τοῦ Σταγειρίτου δεξάμενος ἐκόσμησεν αὐτὴν κατὰ γεωγραφικῶν παρατηρήσεων, ἃς ἔν τε τῷ Τρωικῷ πεδίῳ καὶ τῇ παραλίᾳ τῆς μικρᾶς Ἀσίας μετὰ τοῦ Καλλισθένους καὶ Ἀναξάρχου ἐποίουν. Ἀλλὰ συνάμα ὁ σοφὸς ἀνὴρ οὐκ ἀποκλείει τὴν ὑπόθεσιν, ὅτι ἴσως οἱ δύο οὗτοι ἄνδρες διώρθωσαν μὲν τὴν Ἰλιάδα, ὅμως τὸ μέγα τοῦ Ἀριστοτέλους ὄνομα συνεβάλετο, ὅπως τούτῳ ἡ διόρθωσις ἀποδοθῇ. Ὁ δὲ Gräfenhan[8]) τὴν τοῦ Wolf γνώμην ἀπο-

1) Ἐν βίῳ Ἀλεξάνδρ. κεφ. 8 „Καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν· εἶχε δ' ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε." 2) Εἰς Ἰλιάδ. Φ 252. 3) Εἰς Εἰδύλλ. I, 34. 4) XII, 594. „Φέρεται γοῦν τις διόρθωσις τῆς Ὁμήρου ποιήσεως, ἡ Ἐκ τοῦ νάρθηκος λεγομένη, τοῦ Ἀλεξάνδρου μετὰ τῶν περὶ Καλλισθένη καὶ Ἀνάξαρχον ἐπελθόντος καὶ σημειωσαμένου τινά, ἔπειτα καταθέντος εἰς νάρθηκα, ὃν εὗρεν ἐν τῇ Περσικῇ γάζῃ πολυτελῶς κατεσκευασμένον." 5) Hist. nat. VII, 30. 6) Sengebusch, Homerica dissert. prior σελ. 71. 7) De Arist. stud. homer. σελ. 239. 8) Geschichte der class. Phil. II, 104.

δοκιμάζει διὰ τοῦτο, ὅτι αἱ τοῦ μεγάλου Ἀλεξάνδρου σημειώσεις οὐκ ἠδύναντο εἶναι κριτικαί. Διότι ὁ ἡγεμὼν ἦν μὲν φύσει, ὡς ὁ Πλούταρχος ἱστορεῖ, φιλολόγος καὶ φιλομαθὴς καὶ φιλαναγνώστης, ὅμως οὐκ ἠδύνατο ποιεῖν καὶ κριτικὰς σημειώσεις. Διὰ ταῦτα ὁ σοφὸς ἀνὴρ ἐπιδοκιμάζει τὴν τοῦ Lehrs γνώμην.

Νομίζομεν, ὅτι ἐν μέρει ἡ τοῦ Wolf καὶ ὁλόκληρος ἡ τοῦ Lehrs γνώμη τὴν πιθανωτέραν εἰκασίαν διδουσιν, ὡς ἐκ τῶν ἑπομένων δῆλον γίνεται. Ὁ μέγας Ἀλέξανδρος οὔτε ὁ ἀφυέστερος τῶν μαθητῶν τοῦ Σταγειρίτου ἦν, οὔτε ἀνάξιος τοῦ διδασκάλου ἐδείχθη. Ἀρχαῖαι δὲ μαρτυρίαι βεβαιοῦσιν ἡμᾶς, ὅτι ὁ ἡγεμὼν καὶ περὶ τοιαῦτα ζητήματα ἠσχολεῖτο[1]). Ἐν ταῖς μαρτυρίαις δὲ ταύταις ἕκαστος παρατηρεῖ *ἀπορίας καὶ λύσεις*. Ὁ δὲ Στράβων[2]) παραδίδωσιν, ὅτι ὁ Καλλισθένης ἔγραψε δύο στίχους εἰς τὸν κατάλογον τῶν νηῶν. Τὴν χεῖρα δὲ τοῦ Καλλισθένους ὁρῶντες ἐννοοῦμεν τὴν προτέραν τοῦ γεωγράφου φράσιν, *τοῦ Ἀλεξάνδρου μετὰ τῶν περὶ Καλλισθένη καὶ Ἀνάξαρχον ἐπελθόντος καὶ σημειωσαμένου τινά*...“ Ταῦτα λοιπὸν ἐν νῷ ἔχοντες νομίζομεν, ὅτι διώρθωσε μὲν τὴν Ἰλιάδα ὁ Ἀριστοτέλης, ἀλλ' ὁ Ἀλέξανδρος μετὰ τῶν δύο εἰρημένων ἀνδρῶν ἐποίησε διορθώσεις τινὰς καὶ σημειώσεις προσέθηκεν. Αἱ δὲ σημειώσεις ἦσαν μὲν ἱστορικαί, γεωγραφικαὶ καὶ κριτικαί, ἀλλὰ πᾶσαι ἦσαν προϊόντα τῶν ἐν τῇ μικρᾷ Ἀσίᾳ τοπογραφικῶν παρατηρή-

1) Ὁ Φώτιος 147, 3 ἀνέγνω παρὰ Πτολεμαίῳ τῷ Ἡφαιστίωνι „Διὰ τί ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς (Ὀδυσσ. Μ 62) τῶν θεῶν διακόνους, *καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς* καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον.“ Εὐστάθ. εἰς Ὀδυσσ. Μ 65 „Χείρων ὁ Ἀμφιπολίτης Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐρωτήσαντός φασι, τί βούλεται παρὰ τῷ ποιητῇ τὸ τὰς περιστερὰς εἰπεῖν κομίζειν ἀμβροσίαν τῷ Διὶ κτλ.“ 2) XII, σελ. 542 „Καλλισθένης δὲ καὶ ἔγραφε τὰ ἔπη ταῦτα εἰς τὸν διάκοσμον μετὰ τὸ

Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους

τιθεὶς

Καύκωνας αὖτ' ἦγε Πολυκλέος υἱὸς ἀμύμων (ἢ Ἄμειβος).
Οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον.

σεων. Διότι οἱ ἀρχαῖοι εἰώθασι παραβάλλειν[1]) τὰ ὑπὸ τοῦ Ὁμήρου περὶ γεωγραφίας εἰρημένα πρὸς τὰς χώρας, ἃς περιηγοῦντο.

Ἀλλὰ τίς ἆρά γε ἦν ἡ τῆς διορθώσεως ἀξία; Ὁ σοφὸς Sengebusch[2]) θεωρεῖ ὡς βέβαιον, ὅτι, εἰ ὁ Σταγειρίτης τὴν Ἰλιάδα διώρθωσεν, ἡ διόρθωσις αὐτοῦ ἦν οἰκτρά. Ὡσαύτως ὁ Gräfenhan[3]) ὁμολογεῖ, ὅτι ὁ Ἀριστοτέλης οὐκ ἦν ἀγαθὸς διορθωτής. Τεκμαίρεται δ' ἔκ τε τῆς σιωπῆς περὶ Ἀριστοτελικῆς διορθώσεως τῶν Ἀλεξανδρινῶν καὶ ἔκ τινων ἡμαρτημένων εἰκασιῶν καὶ ἡμαρτημένων ἐξηγήσεων τοῦ φιλοσόφου. Ὡς παράδειγμα δὲ τῆς ἀκρισίας τοῦ φιλοσόφου ἐπιδείκνυται τὸ τῆς Ὀδυσσείας χωρίον[4]), ὅπερ οὗτος μὴ δυνάμενος ἐξηγῆσαι μετέβαλε τὸ βροτὸς αὐδήεσσα εἰς οὐδήεσσα[5]). Ἀλλ' ἡμεῖς γε οὐχ οὕτως ἄκριτον τὴν διόρθωσιν εὑρίσκομεν. Πρὸς δὲ ἔχομεν ὑπ' ὄψιν διδακτορικήν τινα διατριβὴν τοῦ R. Wachsmuth[6]), ἐν ᾗ ὁ φιλόπονος συγγραφεὺς ἑρμηνείας τινὰς τοῦ φιλοσόφου συνέλεξεν. Ἐπειδὴ ἡ ἑρμηνευτικὴ ἐπὶ Ἀριστοτέλους ἦν ἐν σπαργάνοις, ἴσως τινὲς τούτων ψεκταί εἰσιν, ὅμως οὐ τολμῶμεν ἐντεῦθεν εἰκάσαι, ὅτι ἡ Ἀριστοτελικὴ διόρθωσις ἦν miserabilis! Διότι πρὸς πολλοῖς ἄλλοις ὁ Σταγειρίτης ἠκολούθει ἀρχῇ, ἧς οἵ τε Ἀλεξανδρινοὶ καὶ οἱ νεώτεροι κριτικοὶ ὀλιγωρήσαντες πλείστας μάλιστα ἡμαρτημένας διορθώσεις εἰς τὰ ὁμηρικὰ ἔπη ἐνέβαλον. Ὁ Ἀριστοτέλης[7])

---

1) Στράβ. VIII, 337 „Λέγω δὲ ταῦτα συμβάλλων τά τε νῦν καὶ τὰ ὑφ' Ὁμήρου λεγόμενα. Ἀνάγκη γὰρ ἀντεξετάζεσθαι ταῦτα ἐκείνοις, διὰ τὴν τοῦ ποιητοῦ δόξαν καὶ συντροφίαν πρὸς ἡμᾶς τότε νομίζοντος ἑκάστου κατορθοῦσθαι τὴν παροῦσαν πρόθεσιν, ὅταν ᾖ μηδὲν ἀντιπῖπτον τοῖς οὕτω σφόδρα πιστευθεῖσι περὶ τῶν αὐτῶν λόγοις.“ 2) Homer. dissert. prior σελ. 73 „Sed si fuit, miserabilem eam fuisse certum.“ 3) Geschichte d. class. Phil. II, 105. 4) Ὀδυσσ. Ε 334

Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἒξ ἔμμορε τιμῆς.

5) Σχόλ. εἰς Ὀδυσσ. Ε 334 καὶ Κ 136. 6) De Aristotelis stud. Homericis, Berolini. 7) Σχόλ. εἰς Ἰλιάδ. Κ 153 „Πορφυρίου· φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ σαυρωτῆρας στάσις, καὶ δὴ πολλαχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεσόν. Λύει δ' Ἀριστοτέλης λέγων, ὅτι τοιαῦτα

οὐ παρέβαλλε τὸν βίον τῶν ὁμηρικῶν ἀνθρώπων πρὸς τὸν τῆς ἐποχῆς αὐτοῦ, ἀλλὰ πρὸς τὸν βίον λαῶν διαγόντων ὅμοιον πρὸς τὸν τῶν ἡρώων.

Καὶ οἱ μαθηταὶ τοῦ φιλοσόφου, ὡς ὁ Χαμαιλέων καὶ Μεγακλείδης, ἠσχολήθησαν περὶ τὸν θεσπέσιον ποιητήν, ἀλλὰ καὶ οὗτοι κατὰ τὴν κρίσιν τοῦ Gräfenhan[1]) οὐκ ἦσαν ἀγαθοὶ κριτικοί. Ἐν τοῖς σχολίοις τῆς Ἰλιάδος εὑρίσκεται συχνάκις τὸ ὄνομα τοῦ Χαμαιλέοντος ὡς διορθωτοῦ[2]), ἐν τρισὶ δὲ χωρίοις φέρονται καὶ γραφαὶ αὐτοῦ. Ἀλλ' ἀμφίβολον, εἰ ὁ περιπατητικὸς ἐποίησεν ὁλόκληρον διόρθωσιν τῶν ὁμηρικῶν ἐπῶν, εἰ αἱ φερόμεναι διορθώσεις ἐκ τῶν συγγραμμάτων αὐτοῦ ἐλήφθησαν. Καὶ ὁ φιλόσοφος οὗτος κατά τε τὸν Σχολιαστὴν[3]) καὶ τὸν Εὐστάθιον[4]) ἀνεγίνωσκεν ἐν τῷ χωρίῳ τῆς Ὀδυσσείας, ὡς ὁ διδάσκαλος, ἀντὶ αὐδήεσσα οὐδήεσσα. Πρὸς δὲ ὁ Χαμαιλέων κατὰ Διογένη τὸν Λαέρτιον[5]) ἔγραψε Περὶ Ὁμήρου καὶ Ἡσιόδου, κατὰ δὲ τὸν Σχολιαστὴν Ἀπολλωνίου τοῦ Ῥοδίου Περὶ Ἰλιάδος. Ὡσαύτως ὁ περιπατητικὸς Μεγακλείδης ἠσχολήθη περὶ τὸν Ὅμηρον, ὡς δεικνύουσι πολλαχωρία, ἅπερ συνέλεξεν ὁ Sengebusch[6]).

Ἀλλ' ἆρά γε ὁ Ἀριστοτέλης, οὗ ἡ κριτικὴ οὕτω σφόδρα ψέγεται, ἠδύνατο τὸ ὅλον τῶν ἐπῶν κρῖναι καὶ περὶ τῆς ἑνότητος αὐτῶν ἀποφανθῆναι; Εἰ κακῶς τὰ μέρη ἔκρινε, πῶς ἠδύνατο ὀρθῶς ἐννοῆσαι τὸ ὅλον; Τοιαῦτα ἐρωτήματα μόνον τοῖς μὴ ἐντριβέσι τῆς ἀρχαιότητος ἐπιτρέπονται. Διότι ἡ ἀρχαιότης ἐν τοῖς πλείστοις τὸ ὅλον ἔκρινεν ὀρθῶς, ἐν ᾧ ἀτελῆ ἢ οὐδεμίαν τῶν μερῶν γνῶσιν

ρεῖ ποιεῖ Ὅμηρος, οἷα ἦν τότε. Ἦν δὲ τοιαῦτα τὰ παλαιά, οἷάπερ καὶ νῦν ἐν τοῖς βαρβάροις, πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων. „Περὶ ποιητ. XXV, 10 „Ἀλλ' οὕτως εἶχεν, οἷον τὰ περὶ ὅπλων" ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρας." Οὕτω γὰρ τότ' ἐνόμιζον, ὥσπερ καὶ νῦν Ἰλλυριοί."

1) Geschichte der class. Phil. II, 105. 2) Εἰς Ἰλιάδ. Μ 231. Τ 62. Ψ 94, 454. 3) Εἰς Ὀδυσσ. Ε 334. 4) Σελ. 1543. 5) V, 92. 6) Homeric. dissert. prior σελ. 89.

εἶχε π. χ. ἔκρινε τὴν φύσιν καὶ ὑψοῦτο εἰς ἀξιώματα, ἅπερ βραδύτερον δι' ἀκριβεστάτων παρατηρήσεων ἐκυρώθησαν. Ἀλλ', ἵνα δι' οἰκείων παραδειγμάτων τὸν λόγον ἡμῶν κυρώσωμεν, ὁ κωμικὸς Ἀριστοφάνης, ὅστις δὴ οὔτε γραμματικήν, οὔτε κριτικὴν ἐγίνωσκε, καὶ ὅστις οὐδενὸς ποιητοῦ διόρθωσιν ἐπεχείρησεν, ἔκρινεν ἐν Βατράχοις τοὺς τραγικοὺς ποιητάς, ἡ δὲ κρίσις αὐτοῦ καὶ νῦν ἔτι ὡς κανὼν μένει. Ἀλλ' ὁ μὲν W. Müller, ὡς ἐν τῷ πρώτῳ βιβλίῳ εἴδομεν [1]), ψέγει τὸν Ἀριστοτέλη ὡς ἡμαρτημένους τῆς ἐποποιίας νόμους θέντα, ὁ δὲ Schlegel [2]) νομίζει, ὅτι ὁ φιλόσοφος ἦν ἀνεπιτήδειος, ὅπως περὶ Ἰλιάδος καὶ Ὀδυσσείας κρίνῃ. Πρὸς τοὺς σοφοὺς τούτους ἄνδρας οἱονεὶ ἀποκρινόμενος ὁ ποιητὴς τοῦ Faust λέγει „Wenige Deutsche und vielleicht nur wenige Menschen aller neueren Nationen haben Gefühl für ein ästhetisches Ganzes; sie loben und tadeln nur stellenweise, sie entzücken sich nur stellenweise“ [3]), ὁ δὲ διδάσκαλος τοῦ γερμανικοῦ δράματος, ὁ Lessing, ἐνόμιζεν, ὅτι γινώσκει τὴν δραματικὴν τέχνην διὰ τοῦθ', ὅτι ἡ κρίσις αὐτοῦ οὐκ ἦν διάφορος πρὸς τὴν τοῦ Ἀριστοτέλους, ἣν ἐξ ἀπείρων τῆς ἑλληνικῆς σκηνῆς ἀριστοτεχνημάτων ἐμόρφωσεν· „Was mich versichert, dass ich das Wesen der dramatischen Dichtkunst nicht verkenne, ist dieses, dass ich es vollkommen so erkenne, wie es Aristoteles aus den unzähligen Meisterstücken der griechischen Bühne abstrahirt hat“ [4]). Ὅ, τι ὁ μέγας οὗτος τῆς τέχνης κριτὴς περὶ τῆς Ἀριστοτελικῆς τοῦ δράματος κριτικῆς λέγει, τὸ αὐτὸ καὶ ἔτι μεῖζον περὶ τῆς ἐποποιίας ἰσχύει. Διότι, ἐν ᾧ ἐν τοῖς νεωτέροις χρόνοις ἡ ἐποποιία οὐ μόνον οὐδὲν προϊὸν ἄξιον πρὸς τὰ ὁμηρικὰ ἔπη παραβληθῆναι παρήγαγεν, ἀλλὰ καὶ πτωχὴ διέμεινεν, τὸ δρᾶμα ἀναπτυχθὲν καὶ κατὰ τὴν κρίσιν πολλῶν τῆς τέχνης κριτῶν κρείττω τῶν τοῦ Σοφοκλέους παραγαγὸν τὴν περὶ ἑαυτοῦ κρίσιν εὐχερεστέραν κατέστησεν. Ἐν ᾧ λοιπὸν ὁ Ἀριστοτέλης πλεῖστα ἔπη τοῦ ἐπικοῦ

1) Σελ. 92. 2) Geschichte der epischen Poesie III, 102. 3) Göthe ἐν τῷ Wilh. Meister. 4) Lessing, Dramaturgie.

κύκλου πρὸ ὀμμάτων εἶχε, καὶ τοὺς νόμους τῆς ἐποποιίας ἤντλει, οἱ τούτων κακίζοντες οὔτε ἀρχαῖα, οὔτε νεώτερα ἔπη πρὸς παραβολὴν ἔχουσιν. Ἀλλ' οὐ μόνον ἡ τῶν ἐπῶν παραβολή, ἀλλὰ καὶ ἡ βαθεῖα περὶ τοῦ δράματος γνῶσις τὸν Σταγειρίτην ἄριστον κριτὴν τῆς τέχνης ἀπέδειξεν. Διότι ὀρθῶς εἴρηται[1]) ὑπ' αὐτοῦ· „διόπερ ὅστις περὶ τραγῳδίας οἶδε σπουδαίας καὶ φαύλης, οἶδε καὶ περὶ ἐπῶν· ἃ μὲν γὰρ ἐποποιία ἔχει, ὑπάρχει τῇ τραγῳδίᾳ, ἃ δὲ αὐτῇ, οὐ πάντα ἐν τῇ ἐποποιίᾳ." Ὁ Schlegel[2]) νομίζει, ὅτι ὁ Ἀριστοτέλης ἐκ τῆς γενικῆς κλίσεως τῆς ἐποχῆς πρὸς τὸ ἑρμηνεύειν τὴν ὁμηρικὴν ποίησιν ὡς τραγῳδίαν ἐπλανήθη. Ἀλλὰ πῶς ἐπλανήθη ἀνὴρ τὰς διαφορὰς τῆς τραγῳδίας πρὸς τὴν ἐποποιίαν γινώσκων καὶ καταδεικνύων;[3]) Ἴδωμεν.

Τὸ Περὶ ποιητικῆς τοῦ Ἀριστοτέλους οἱ μὲν τῶν φιλολόγων ἐθεώρησαν ὡς ἐπιτομὴν μείζονος συγγράμματος, οἱ δὲ ὡς σημειώσεις μαθητοῦ τινος τοῦ φιλοσόφου. Νῦν δ' ἐπικρατεῖ ἡ γνώμη, ὅτι τὸ μέχρις ἡμῶν περισωθέν ἐστιν ἀπόσπασμα ἀρτίου συγγράμματος[4]). Διότι ἐν τούτῳ οὐ γίνεται λόγος περὶ λυρικῆς ποιήσεως καὶ κωμῳδίας. Ἀλλ' ὁ φιλόμηρος Ad. Kiene[5]) νομίζει, ὅτι τοῦ συγγράμματος μόνον τὸ τελευταῖον μέρος λείπει· ἢ ὅτι ὁ συγγραφεὺς οὐκ ἐπέζησεν, ἢ ὅτι τοῦτο ἀπωλέσθη. Κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα τὸ σύγγραμμα περιέχει μὲν μικράς τινας ὑποβολάς, ἀλλὰ γενομένας ὑπ' ἀνθρώπου τὴν ἰδίαν χρῆσιν καὶ οὐχὶ τὴν τῶν ἄλλων πλάνην σκοποῦντος. Ἐπειδὴ δ' ἡ φιλοσοφικὴ τοῦ Σταγειρίτου μέθοδός ἐστιν ἡ ἐκ τῶν μερῶν εἰς γενικοὺς κανόνας ἀνύψωσις, εὐφυέστατα ὁ Kiene εἰκάζει, ὅτι τὰ μνημονευόμενα συγγράμματα Περὶ ποιητῶν, Περὶ τραγῳδιῶν προηγήθησαν τοῦ Περὶ ποιητικῆς, ὅπερ ὡς τελευταῖον καὶ ὡριμώτατον προϊὸν τούτου τοῦ θέματος θεωρεῖ.

Ἐν τῷ συγγράμματι[6]) λοιπὸν τούτῳ ὁ Ἀριστοτέλης

---

1) Περὶ ποιητ. V, 5. 2) Geschichte der epischen Poesie III, 102. 3) Περὶ ποιητ. V, 5. XIII καὶ XXIV. 4) Geschichte d. class. Phil. II, 201. 5) Die Composition der Ilias des Homer, Göttingen 1864, σελ. 337. 6) Τὰ ὑπὸ τοῦ Ἀριστοτέλους περὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν εἰρημένα ἐξετά-

πρῶτον τὰ περὶ τραγῳδίας ἐξετάσας προβαίνει εἰς τὴν ἐποποιίαν, περὶ ἧς οὕτως ἀποφαίνεται. „Περὶ δὲ τῆς διηγηματικῆς καὶ ἐν μέτρῳ μιμητικῆς, ὅτι δεῖ τοὺς μύθους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικούς, καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ μέσον καὶ τέλος, ἵν' ὥσπερ ζῷον ἓν ὅλον ποιῇ τὴν οἰκείαν ἡδονήν, δῆλον, καὶ μὴ ὁμοίας ἱστορίας τὰς συνήθεις εἶναι, ἐν αἷς ἀνάγκη οὐχὶ μιᾶς πράξεως ποιεῖσθαι δήλωσιν ἀλλ' ἑνὸς χρόνου, ὅσα ἐν τούτῳ συνέβη περὶ ἕνα ἢ πλείους, ὧν ἕκαστον ὡς ἔτυχεν ἔχει πρὸς ἄλληλα. Ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν Σαλαμῖνι ἐγένετο ναυμαχια καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη, οὐδὲν πρὸς τὸ αὐτὸ συντείνουσαι τέλος, οὕτω καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις ἐνίοτε γίνεται θάτερον μετὰ θατέρου, ἐξ ὧν ἓν οὐδὲν γίνεται τέλος. Σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν τοῦτο δρῶσιν. Διό, ὥσπερ εἴπομεν ἤδη, καὶ ταύτῃ θεσπέσιος ἂν φανείη Ομηρος παρὰ τοὺς ἄλλους, τῷ μηδὲ τὸν πόλεμον, καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον, λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι, ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον τῇ ποικιλίᾳ. Νῦν δ' ἓν μέρος ἀπολαβὼν ἐπεισοδίοις κέχρηται [αὐτῶν] πολλοῖς, οἷον νεῶν καταλόγῳ καὶ ἄλλοις ἐπεισοδίοις, οἷς διαλαμβάνει τὴν ποίησιν. Οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ περὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα. Τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαὶ καὶ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπό-

---

ζομεν ἐνταῦθα, καὶ οὐχὶ ἐν τῷ τρίτῳ βιβλίῳ. Διότι ἐκεῖ μὲν ἐξετάζεται ἡ παροῦσα τῶν ἐπῶν μορφή, ἐνταῦθα δέ, οἷα ἦν ἐπὶ τοῦ Ἀριστοτέλους, ἢ οἵαν ὁ φιλόσοφος ἐνόησεν.

πλους καὶ Σίνων καὶ Τρῳάδες"[1]). Ἐπειδὴ ἐκ τοῦ χωρίου πολλὰ καὶ σπουδαῖα συμπεράσματα ἐξάγονται, εἰσερχόμεθα εἰς ἀκριβῆ τούτου ἐξέτασιν.

Κατὰ πρῶτον ὁ Ἀριστοτέλης λέγει, ὅτι τὸ ἔπος ὀφείλει συνιστάναι περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ μέσον καὶ τέλος. Ἀλλὰ τί σημαίνουσι ταῦτα; Ὁ Σταγειρίτης ἀλλαχοῦ ἑρμηνεύει ἑαυτὸν λέγων· „ὅλον δ' ἐστὶ τὸ ἔχον ἀρχὴν καὶ μέσον καὶ τελευτήν. Ἀρχὴ δ' ἐστὶν ὃ αὐτὸ μὲν μὴ ἐξ ἀνάγκης μετ' ἄλλο ἐστί, μετ' ἐκεῖνο δ' ἕτερον πέφυκεν εἶναι ἢ γίνεσθαι· τελευτὴ δὲ τοὐναντίον ὃ αὐτὸ μετ' ἄλλο πέφυκεν εἶναι, ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ, μετὰ δὲ τοῦτο ἄλλο οὐδέν· μέσον δὲ ὃ καὶ αὐτὸ μετ' ἄλλο καὶ μετ' ἐκεῖνο ἕτερον"[2]). Διὰ τοῦ μέτρου λοιπὸν τούτου μετρήσωμεν ἓν τῶν ἐπῶν π·χ τὴν Ἰλιάδα. Ὁ ποιητὴς ἐν τῷ προοιμίῳ ὑπισχνεῖται, ἵνα τὴν μῆνιν τοῦ Ἀχιλλέως ᾄσῃ. Ὅτι μὲν οὗτος τὴν πρᾶξιν ὅλην καὶ τελείαν ᾖσε, δῆλον. Διότι, εἰ καὶ πολλοὶ τὸ ἔπος ἔψεξαν, ὅμως οὐδεὶς μέχρι τοῦδε εἶπεν, ὅτι ἐλλείπουσι μέρη τῆς μήνιδος· ὅτι δ' ἔχει ἀρχὴν μέσον καὶ τέλος, ἐνταῦθα ἐξετάζομεν. Ἡ πρὸς τὸν Ἀγαμέμνονα ἔρις τοῦ Ἀχιλλέως ἐστὶν ἡ ἀρχή. Διότι, ἐπειδὴ αὕτη καὶ ἄνευ τῆς στρατείας ἠδύνατο γενέσθαι, οὐ προϋποτίθησιν ἀναγκαίως αὐτήν. Ἂν δέ τις τὸν ὁρισμὸν τοῦτον ἀκριβῶς παρατηρήσῃ, κατανοεῖ, πόσον ἄτοπός ἐστιν ἡ γνώμη τῶν λεγόντων, ὅτι ὁ ποιητὴς εὐθὺς ἐν ἀρχῇ τοῦ ἔπους in medias res εἰσέρχεται, ὡσεὶ οὗτος Τρωικὸν πόλεμον ὑπισχνεῖτο ᾆσαι. Λοιπὸν ἡ ἔρις ἐστὶν ἡ τοῦ ἔπους ἀρχή. Ἀλλ' ἐπειδὴ πᾶσα ἀρχὴ οὐκ ἔστι μαθηματικῶς ἄτμητος, ἡ εἰρημένη ἀρχὴ δύναται θεωρηθῆναι ὡς ὅλον τμητόν, οὗ ἀρχὴ μέν ἐστιν ὁ λοιμός, μέσον δ' αὐτὴ ἡ ἔρις, καὶ τελευτὴ ἡ τῆς Βρισηίδος ἀφαίρεσις. Μέχρι τούτου τοῦ σημείου ἐκτείνεται ἡ ἔρις ἢ ἡ ἀρχὴ τοῦ ἔπους. Δευτέρα δ' ἰδιότης τῆς ἀρχῆς ἐστιν, ὅτι μετ' αὐτὴν ἕτερον πέφυκεν εἶναι ἢ γίνεσθαι. Καὶ ὄντως κατὰ φύσιν τῇ ἔριδι ἕπεται ἡ

---

1) Περὶ ποιητ. XXIII. 2) Αὐτόθι VII, 3.

τιμωρία· Ἡ δὲ τῆς Θέτιδος ἱκεσία, ἡ τοῦ Διὸς ὑπόσχεσις καὶ ἡ τῶν Ἀχαιῶν πίεσις εἰσι τὰ τρία σημεῖα τοῦ μέσου ὡς ὅλου καὶ αὐτοῦ θεωρουμένου. Ἀλλὰ τὸ μέσον κατὰ τὸν Σταγειρίτην ἐστὶ μετ' ἄλλο καὶ μετ' ἐκεῖνο ἕτερον. Καὶ ὄντως ἡ τοῦ Διὸς ὑπόσχεσις πρὸς πίεσιν τῶν Ἀχαιῶν προϋποτίθησι τὴν ἔριδα. Δευτέρα δ' ἰδιότης τοῦ μέσου ἐστὶ τὸ μετ' ἐκεῖνο ἕτερον. Καὶ ὄντως φύσει ἡ ὑπόσχεσις ἀπαιτεῖ ἐκτέλεσιν. Τέλος δὲ τοῦ ἔπους ἐστὶν ἡ τῆς μήνιδος ἀπόρρησις. Ἀλλὰ πᾶν τέλος, ὡς καὶ περὶ τῆς ἀρχῆς καὶ τοῦ μέσου εἴπομεν, οὐκ ἔστι σημεῖον ἄτμητον, ἀλλ' ὅλον τι αὖθις εἰς ἀρχήν, μέσον καὶ τέλος διαιρούμενον. Καὶ δὴ τέμνεται εἰς τὸν θάνατον τοῦ Πατρόκλου, εἰς τὴν ἰδίως ἀπόρρησιν τῆς μήνιδος, κατ' εἰς τὴν λύσιν τοῦ Ἑκτορείου πτώματος. Ἡ δὲ τελευτὴ ἔχει δύο ἰδιότητας· πρῶτον, ὅτι μετ' ἄλλο πέφυκεν εἶναι ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ. Καὶ ὄντως ἡ τῆς μήνιδος λῆξις, εἰ μὴ ἐξ ἀνάγκης, ὥς γε ἐπὶ τὸ πολὺ ἕπεται τῇ μήνιδι. Δευτέρα δ' ἰδιότης τοῦ τέλους ἐστίν, ὅτι μετὰ τοῦτο οὐδὲν ἄλλο ἐστίν. Καὶ ὄντως μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος (δηλαδὴ μετὰ τὰ τρία αὐτῆς σημεῖα) οὐδὲν ἄλλο ἐν τῇ Ἰλιάδι ὑπάρχει. Ἀλλ', ὡς ἡ ἀρχὴ καὶ τὸ μέσον, οὕτω καὶ τὸ τέλος σύνθετον ἐκ τριῶν ὅρων ἐστίν. Ὡς δ' ἐλλιπὴς ἦν ἡ ἀρχή, εἰ ὁ ποιητὴς ἓν μόνον τῶν συνθετικῶν αὐτῆς μερῶν ἐπραγματεύετο, π·χ εἰ ἔλεγε περὶ τῆς ἔριδος τοῦ Ἀχιλλέως ἄνευ τοῦ λοιμοῦ, ὅστις ἐστὶ τὸ ἔναυσμα τῆς ἔριδος, οὕτως ἐλλιπὲς ἦν τὸ τέλος, εἰ ὁ Ὅμηρος παρέλειπεν ἓν τῶν συνθετικῶν αὐτοῦ μερῶν π·χ τὴν λύσιν τοῦ πτώματος τοῦ Ἕκτορος. Εἰ τοῦτο ὁ ποιητὴς παρέλειπεν, ἡ τοῦ ἔπους τελευτὴ οὐκ ἦν τελεία. Διότι, ὡς ἡ ἔρις οὐκ ἐγεννήθη ἀπὸ τοῦ αὐτομάτου, οὕτω καὶ ἡ λῆξις αὐτῆς οὐκ ἐπῆλθε κατὰ τύχην, ἀλλὰ κατὰ τοὺς νόμους τῆς πιθανότητος. Ὁ πρῶτος ὅρος τῆς τελευτῆς, δηλαδὴ ὁ θάνατος τοῦ Πατρόκλου συνεβάλετο μὲν πρὸς ἀπόρρησιν τῆς μήνιδος, ἀλλ' ὁ αὐτὸς ὅρος ἐγέννησε δευτέραν μῆνιν, ἧς τὴν λῆξιν νόμος πιθανότητος ἀπαιτεῖ. Ἐπειδὴ

δ' ὁ Ἀχιλλεὺς φύσει ὀργίλος ἦν, ὁ τοῦ Ἕκτορος φόνος οὐκ ἦν ἱκανὸς πρὸς λῆξιν τῆς δευτέρας μήνιδος, ἀλλ' ἀπῃτεῖτο καὶ ἡ κατασπάραξις τοῦ πτώματος ὑπὸ τ ῶ ν κ υ ν ῶ ν κ α ὶ τ ῶ ν ο ἰ ω ν ῶ ν, ὡς ἔθος ἦν ἐπὶ τῶν Τρωικῶν. Τοῦτο μὲν ὁ τῆς πιθανότητος νόμος ἀπῄτει, ἀλλ' ὁ ποιητὴς τοὺς χαρακτῆρας κρείττονας ἑαυτῶν ὀφείλων ποιεῖν[1]*, ὡς αὐτὸς ὁ Σταγειρίτης λέγει, τὴν λύσιν τοῦ Ἑκτορείου πτώματος ἐπενόησεν. Ἀλλὰ περὶ τοῦ ζητήματος τούτου ἔσται μακρὸς λόγος ἐν τῷ ἑπομένῳ βιβλίῳ.*

Πρὸς δὲ τὸ σημειωθὲν χωρίον τοῦ Ἀριστοτέλους σπουδαιότατόν ἐστιν. Διότι ὁ φιλόσοφος πάντα τὰ τοῦ ἐπικοῦ κύκλου ἔπη παραβαλὼν πρὸς τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν χείρονα τὴν ἑνότητα ἀποφαίνεται καὶ δείκνυσιν. Οἱ πλεῖστοι τῶν ποιητῶν τοῦ ἐπικοῦ κύκλου κατὰ τὴν μαρτυρίαν τοῦ φιλοσόφου οὐκ ἐποίουν δήλωσιν μιᾶς πράξεως, ἀλλ' ἑνὸς χρόνου. Τοῦτο δὲ ποιοῦντες εἰς δύο μεγάλα ἁμαρτήματα ἐνέπιπτον. Πρῶτον κατεβίβαζον τὴν ποίησιν εἰς συνήθη ἱστορίαν, καὶ εἶτα τὰ ἔπη αὐτῶν οὐδὲν τέλος ἐν ἑαυτοῖς εἶχον. Διότι ἐ ν ί ο τ ε γ ί ν ε τ α ι θ ά τ ε ρ ο ν μ ε τ ὰ θ α τ έ ρ ο υ, ἐ ξ ὧ ν ἓ ν ο ὐ δ ὲ ν γ ί ν ε τ α ι τ έ λ ο ς. Ὁ θεσπέσιος ὅμως Ὅμηρος, καίπερ δυνάμενος ὁλόκληρον τὸν Τρωικὸν πόλεμον ποιῆσαι, ἅτε ἀρχὴν καὶ τέλος ἔχοντα (διότι οὐκ ἔστιν, οἷα ἡ ἐν Σαλαμῖνι καὶ ἡ ἐν Σικελίᾳ μάχη, ἀλλὰ πόλεμος, οὗ πᾶσαι αἱ πράξεις πρὸς τὸ αὐτὸ τέλος τείνουσιν), ὅμως ἓν μέρος τούτου ἀπολαβὼν δύο μεγάλων ἀρετῶν ἐπέτυχεν. Πρῶτον τὸ ἔπος αὐτοῦ οὐκ ἐγένετο λίαν μέγα, καὶ εἶτα ὁ ποιητὴς πολλὴν ἄλλην ὕλην ὡς ἐπεισόδια ὑποβαλὼν ἐνέβαλεν εἰς τοῦτο ποικιλίαν καὶ μεγαλοπρέπειαν. Τὸ παρὰ φύσιν μέγεθος τοῦ μύθου ψεκτόν ἐστιν. Εὐφυέστατα δ' ὁ φιλόσοφος[2]*) τοῦτο πρὸς τὸ μέγεθος τοῦ ζώου*

---

1) *Περὶ ποιητ.* XV *„Ὑμᾶς δεῖ μιμεῖσθαι τοὺς ἀγαθοὺς εἰκονογράφους· καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες τὴν ἰδίαν μορφήν, ὁμοίους ποιοῦντες καλλίους γράφουσιν· οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ ῥαθύμους ... οἷον τὸν Ἀχιλλέα Ἀγάθων καὶ Ὅμηρος."* 2) *Περὶ ποιητ.* VII, 4 *„Τὸ γὰρ καλὸν ἐν μεγέθει καὶ τάξει ἐστί, διὸ οὔτε πάμμικρον ἄν τι γένοιτο καλὸν ζῷον (συγχεῖται γὰρ ἡ θεωρία ἐγγὺς τοῦ ἀναισθήτου χρόνου γινο-*

παραβάλλει, ὅπερ οὔτε λίαν μέγα, οὔτε λίαν μικρὸν ὂν δύναται εἶναι καλόν. Τὸ ὑπερβαῖνον τὰ ὅρια ταῦτα ὑπερβαίνει αἰσθητικοὺς νόμους. Ἂν δέ τις τὸν νόμον τοῦτον ἐπὶ τῆς Ἰλιάδος ἐφαρμόσῃ, παρατηρεῖ, ὅτι ὄντως ὁ θεσπέσιος ποιητὴς μέγεθος εὐσύνοπτον ἐποίησεν[1]. *Διότι ἐν τῷ ὅλῳ ἔπει μίαν μόνην μεταβολὴν ἀπὸ δυστυχίας εἰς εὐτυχίαν εἰκονίζει. Καὶ ἐκ τούτου δῆλον γίνεται, πόσον ἁμαρτάνουσιν οἱ εἰς τὴν ἀπόρρησιν τῆς μήνιδος τὴν Ἰλιάδα τέμνοντες. Διότι οὕτω τὸ ἔπος ἀπὸ δυστυχίας ἄρχεται καὶ εἰς δυστυχίαν λήγει.*

Δεύτερον ὁ Ὅμηρος μόνον ἓν μέρος τοῦ Τρωικοῦ πολέμου ἐκλέξας εἰς τὸ ἔπος ποικιλίαν ἐνέβαλεν. Τούτου δ' ἐπέτυχεν ὁ ποιητὴς δι' ἐπεισοδίων, περὶ ὧν ὁ Σταγειρίτης ἐν τῷ περὶ τραγῳδίας πραγματεύεται. Ἐπειδὴ δὲ τὰ ἐπεισόδια κοινὰ τῇ τε τραγῳδίᾳ καὶ τῇ ἐποποιίᾳ εἰσίν, ἐξετάζομεν, ὅ, τι ὁ φιλόσοφος περὶ τούτων λέγει. Κατ' αὐτὸν ὁ ποιητὴς ὀφείλει πρὸ ὀμμάτων τὸν ὅλον μῦθον ἢ τὸ σχέδιον τοῦ ὅλου ποιήματος ἔχειν, καὶ εἶτα ἐπεισοδιοῦν[2]. *Καὶ ἐν μὲν τῇ Ἰλιάδι ὑπάρχουσι πλεῖστα ἐπεισόδια, ὧν ὁ φιλόσοφος παραδείγματος χάριν τὸν κατάλογον τῶν νηῶν ὀνομάζει*[3], *τὴν δ' Ὀδύσσειαν οὕτως ὁ φιλόσοφος χαρακτηρίζει. „Τῆς γὰρ Ὀδυσσείας μικρὸς (τινὰ τῶν χειρογράφων*

μένη) οὔτε παμμέγεθες· οὐ γὰρ ἅμα ἡ θεωρία γίνεται, ἀλλ' οἴχεται τοῖς θεωροῦσι τὸ ἓν καὶ τὸ ὅλον ἐκ τῆς θεωρίας, οἷον εἰ μυρίων σταδίων εἴη ζῷον. Ὥστε δεῖ καθάπερ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν ζῴων ἔχειν μὲν μέγεθος, τοῦτο δὲ εὐσύνοπτον εἶναι, οὕτω καὶ ἐπὶ τῶν μύθων ἔχειν μὲν μῆκος, τοῦτο δὲ εὐμνημόνευτον εἶναι .... ὡς δ' ἁπλῶς διορίσαντας εἰπεῖν, ἐν ὅσῳ μεγέθει κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον ἐφεξῆς γιγνομένων συμβαίνει εἰς εὐτυχίαν ἐκ δυστυχίας ἢ ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβάλλειν, ἱκανὸς ὅρος ἐστὶ τοῦ μεγέθους."

1) *Γρηγορ. Ναυζ.* „*Τὸ λακωνίζειν οὐ τοῦτό ἐστιν, ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλειόνων ὀλίγας. Οὕτως ἐγὼ βραχυλογώτατον Ὅμηρον λέγω καὶ πολὺν τὸν Ἀντίμαχον. Πῶς; Τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασιν.*" 2) *Περὶ ποιητ.* XVII, 1 „*Δεῖ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον .... μετὰ ταῦτα δὲ ἤδη ὑποθέντα τὰ ὀνόματα ἐπεισοδιοῦν.*" 3) *Αὐτόθι* XXIII.

ἔχουσι μακρός, ὅπερ ἡμαρτημένον) ὁ λόγος ἐστίν, ἀποδημοῦντός τινος ἔτη πολλὰ καὶ παραφυλαττομένου ὑπὸ τοῦ Ποσειδῶνος καὶ μόνου ὄντος, ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων ὥστε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι· αὐτὸς δὲ ἀφικνεῖται χειμασθείς, καὶ ἀναγνωρίσας τινὰς αὐτοῖς ἐπιθέμενος αὐτὸς μὲν ἐσώθη, τοὺς δ' ἐχθροὺς διέφθειρεν. Τὸ μὲν οὖν ἴδιον τοῦτο, τὰ δ' ἄλλα ἐπεισόδια." Λοιπὸν ὁ Σταγειρίτης ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ἀνευρίσκει πλεῖστα ἐπεισόδια, δι' ὧν ὁ ποιητὴς ποικιλίαν καὶ μεγαλοπρέπειαν ἐμβαλὼν τὰ αὐτοῦ ἔπη ἐκόσμησεν.

Μετὰ τὰ εἰρημένα συγκεφαλαιώσωμεν τὰς ἀρετὰς τοῦ θεσπεσίου ποιητοῦ καὶ τὰ ἁμαρτήματα τῶν ἄλλων ἐπικῶν.

1) Ὁ Ὅμηρος ἐποίησε περὶ μίαν πρᾶξιν.	1) Οἱ ἄλλοι ἐπικοὶ (οἱ πλεῖστοί γε τούτων) περὶ ἕνα χρόνον.
2) Ἐπειδὴ τὰ ὁμηρικὰ ἔπη ἐποιήθησαν περὶ μίαν πρᾶξιν, περιέχουσιν ἐν ἑαυτοῖς τέλος.	2) Ἐπειδὴ τὰ ἔπη τῶν ἄλλων ἐπικῶν ποιητῶν ἐποιήθησαν περὶ ἕνα χρόνον, οὐ περιεῖχον ἐν ἑαυτοῖς τέλος.
3) Ἐπειδὴ ὁ Ὅμηρος ἐποίησε μόνον μικρὸν μέρος τοῦ Τρωικοῦ πολέμου, πολλὴν δ' ἄλλην ὕλην ὡς ἐπεισόδια εἰς τὰ ἔπη ἐνέβαλεν, ἐπέτυχε ποικιλίας σπουδαίας ἀρετῆς τῆς ἐποποιίας οὔσης.	3) Ἐπειδὴ οἱ κυκλικοὶ ποιηταὶ μέγα μέρος τοῦ Τρωικοῦ πολέμου ἢ ἐν γένει μέγα μέρος τῶν μύθων ἐπραγματεύοντο, τὰ ἔπη αὐτῶν ἐστεροῦντο ποικιλίας.
4) Ἐπειδὴ ὁ Ὅμηρος ἐν ἑκατέρῳ ἔπει μιᾶς πράξεως μονομεροῦς μίμησιν ἐποίησεν, τὰ ἔπη αὐτοῦ οὐ δύνανται τμηθῆναι εἰς μικρότερα ἑνότητα ἔχοντα ὅλα, ἢ εἰς τραγῳδίας, ἂν ἡ τραγῳδία τὸ μέτρον τῆς ἑνότητος θεωρηθῇ.	4) Ἐπειδὴ τῶν κυκλικῶν ποιητῶν οἱ μέν, ὡς ὁ τῆς Ἡρακλήιδος καὶ τῆς Θησηίδος, ἐποίησαν περὶ ἓν πρόσωπον[1]), ἀλλ' οὐχὶ περὶ μίαν πρᾶξιν, οἱ δέ, ὡς οἱ τῶν Κυπρίων καὶ τῆς μικρᾶς Ἰλιάδος, ἐποίησαν μὲν περὶ μίαν πρᾶξιν, ἀλλὰ πολυμερῆ, τὰ ἔπη αὐτῶν ἠδύναντο διαιρεθῆναι εἰς μικρότερα ὅλα π. χ. ἐκ τῶν Κυπρίων καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος ἠδύναντο, ὡς εἴρηται, πλέον τῶν ὀκτὼ τραγῳδιῶν ποιηθῆναι.

1) Περὶ ποιητ. VIII „Διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληίδα καὶ Θησηίδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν."

Ἡ τοῦ φιλόσοφου μαρτυρία, ὅτι τὰ ἔπη πάντων τῶν ἄλλων ἐπικῶν ποιητῶν εἰς πολλὰ ἑνότητα ἔχοντα ὅλα ἠδύναντο διαιρεθῆναι, πολύτιμός ἐστιν. Διότι ἀπολεσθέντων τῶν ἐπῶν ἐκείνων οὐδὲν ἠδυνάμεθα γινώσκειν, εἰ μὴ ὁ Σταγειρίτης ταῦτα πρὸς τὰ ὁμηρικὰ παρέβαλεν. Αἱ δὲ τέσσαρες εἰρημέναι ἀρεταὶ τῶν ὁμηρικῶν ἐπῶν ἐν παραβολῇ πρὸς ἰσάριθμα ἁμαρτήματα πάντων τῶν κυκλικῶν ποιητῶν καταδεικνύουσιν, ὅτι ὁ θεσπέσιος Ὅμηρος ἦν ἄξιος τῶν ἐπαίνων τοῦ κορυφαίου τῶν φιλοσόφων. Πρὸς δὲ αὗται ἄρδην ἀνατρέπουσιν οὐ μόνον τὴν τοῦ Wolf, ἀλλὰ καὶ τὴν τοῦ Lachmann θεωρίαν. Διότι, εἰ ὁ Wolf ἔλεγεν, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐπὶ τῆς ἀκμῆς τῆς δραματικῆς ποιήσεως (δηλαδὴ ἐπὶ τῆς ἐποχῆς, καθ' ἣν οἱ νόμοι τῆς ποιήσεως κρεῖττον ἐγνώσθησαν) συνηρμόσθησαν, ἴσως νοητὴ ἦν ἡ τῶν ὁμηρικῶν ἐπῶν ὑπεροχὴ πρὸς τὰ ἄλλα. Εἰ ὁ Σοφοκλῆς δημοτικα ᾄσματα συνήρμοζεν, ἴσως τῶν εἰρημένων τεσσάρων ἀρετῶν ἐπετύγχανεν. Ἀλλ', εἰ ὁ μὲν Wolf ἀποφαίνεται, ὅτι τὰ ὁμηρικὰ ἔπη ὑπὸ τοῦ Πεισιστράτου, ἄλλοι δ' ὑπὸ τοῦ Σόλωνος καὶ ἄλλοι ὑπ' ἄλλων συνηρμόσθησαν (δηλαδὴ ἐν ἐποχῇ, ἐν ᾗ μόλις μικραὶ ἀρχαὶ τοῦ δράματος ὑπῆρχον), ἄπορον πρὸς μυρίοις ἄλλοις φαίνεται ἡμῖν, ὅτι οἱ συναρμογεῖς οὗτοι, καίπερ εἰς τὰς δυσχερείας τῆς ὕλης τῶν δημοτικῶν ᾀσμάτων ὑποβεβλημένοι, ἐνέβαλον εἰς ταῦτα τοιαύτην ἑνότητα, οἵας οὔτε ὁ Ἀρκτῖνος, οὔτε ὁ Στασῖνος, οὔτε ὁ Λέσχης, οὔτε οἱ ἄλλοι κυκλικοὶ ποιηταὶ ἐπέτυχον. Καὶ ὅμως οὗτοι, ἅτε μὴ αὐτοτελῆ ᾄσματα συναρμόζοντες, ἀλλ' ἴδια ποιοῦντες, ἠδύναντο τὸ ὅλον σχέδιον τοῦ ἔπους πρὸ ὀμμάτων ἔχειν καὶ εἶτα ἐπεισοδιοῦν.

Πρὸ πάντων ὅμως ὁ Ἀριστοτέλης διὰ τῆς εἰρημένης παραβολῆς ἄρδην τὴν τοῦ Lachmann θεωρίαν ἀνατρέπει. Ὁ Σταγειρίτης ἐστὶν ὁ πρῶτος Kleinliederjäger, ἤ, κρεῖττον εἰπεῖν, Tragödienjäger (εἰ ἐπιτρέπεται ἡμῖν τοῖς Ἕλλησι γερμανικὴν λέξιν δημιουργῆσαι). Τὴν θήραν, ἣν ὁ Lachmann πρὸ ὀλίγου χρόνου ἐν τῇ Ἰλιάδι ἐποίησεν, ὁ Ἀριστοτέλης πρὸ δύο χιλιετηρίδων ἐν τοῖς Κυπρίοις καὶ τῇ μι-

κρᾷ Ἰλιάδι[1]) ἐπιχειρήσας ἐκεῖνα μὲν εἰς πολλάς, ταύτην δὲ εἰς πλείονας τῶν ὀκτὼ τραγῳδιῶν ἀνέλυσεν· λέγει τραγῳδίας· διότι τῷ φιλοσόφῳ τοῦτο ἦν τὸ τῆς ἑνότητος μέτρον. Ἀλλὰ οὐ μόνον τὰ δύο ταῦτα ἔπη, ἀλλὰ καὶ πάντα τὰ ἄλλα διὰ τὰς εἰρημένας αἰτίας εἰς πολλὰς τραγῳδίας διῃροῦντο. Τὰ ὁμηρικὰ ὅμως ἔπη περὶ μίαν πρᾶξιν μονομερῆ ποιηθέντα οὐ διαιροῦνται εἰς τραγῳδίας. Ἐκ τούτου δ' ἐξάγεται τὸ σπουδαιότατον συμπέρασμα, ὅτι ἡ τομὴ ἔπους τινὸς εἰς πολλὰ μικρὰ αὐτοτελῆ ὅλα οὐ τέμνει καὶ τὸν ποιητήν. Διότι καὶ τὰ ἔπη τοῦ ἀτμήτου Στασίνου καὶ Λέσχου ἐτέμνοντο.

Ἀλλ', ἐν ᾧ τὰ ὁμηρικὰ ἔπη περὶ μίαν μονομερῆ πρᾶξιν ποιηθέντα οὐ τέμνονται εἰς μικρότερα ἑνότητα ἔχοντα ὅλα, ἡ ἀρετὴ αὐτῶν ἡ μάλιστα ὑπὸ τοῦ φιλοσόφου ἐπαινεθεῖσα, ἡ ποικιλία, ἥτις, ὡς εἴδομεν, διὰ τῶν ἐπεισοδίων ἐπετεύχθη, παρέχει σημεῖα τομῆς. Διότι φύσει ἕκαστον ἐπεισόδιον ὅλον τί ἐστιν. Ἀλλά, καίπερ τοιοῦτον, προϋποτίθησι μεῖζόν τι ὅλον, εἰς ὃ ἐμβάλλεται. Ὁ Ἀριστοτέλης, ὡς εἴδομεν, παραβάλλει τὸν μῦθον πρὸς ζῶον. Ὡς δ' ἀπό τινος ζώου δύναταί τις ἀποκόψαι πολλὰ μέλη ἄνευ καθαιρέσεως τῆς ζωικῆς αὐτοῦ ὑπάρξεως, οὕτω καὶ ἐκ τῶν ὁμηρικῶν ἐπῶν δύναταί τις ἀφαιρέσαι πολλὰ ἐπεισόδια. Ἀλλ', ὡς ἐν τῷ ζώῳ, οὕτω καὶ ἐν τῷ μύθῳ προσεκτικὸς παρατηρητὴς ἐνορᾷ ἀκρωτηριασμόν. Τὸ δ' ἀποκοπὲν μέλος οὐ δύναται βιοῦν, ὡς καὶ τὸ ἀφαιρεθὲν ἐπεισόδιον οὐ δύναται ὡς αὐτοτελὲς ᾆσμα διαμένειν. Λοιπὸν οἱ περὶ τὸν Lachmann μόνον ἐπεισόδια, ἂν ἡ εὐαισθησία αὐτῶν ἐπιτρέπῃ,

---

1) Καὶ ὄντως, ἂν ἀπίδωμεν εἰς τὸ προοίμιον τῆς μικρᾶς Ἰλιάδος,
Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον,
ἧς πέρι πολλὰ πάθον Δαναοὶ θεράποντες Ἄρηος,
εὑρίσκομεν, ὅτι ἡ κρίσις τοῦ Σταγειρίτου ὀρθή ἐστιν. Τοῦτο ὁμολογεῖ καὶ ὁ Welcker, ὅστις κατ' ἐξοχὴν τὸν ἐπικὸν κύκλον ἐσπούδασεν. Der epische Cyklus II, 279 „Das Urtheil des Aristoteles über die Composition der Dichter, die er von Homer unterscheidet, finden wir demnach in Hinsicht der kleinen Ilias durch die Untersuchung bestätigt." Παράβαλ. καὶ Nitzsch, De Aristotel. contra Wolfianos σελ. 50.

δύνανται ἀποκόπτειν τῶν ὁμηρικῶν ἐπῶν. Ἡ δ' ἀποκοπὴ τῶν ἐπεισοδίων ἐνιότε οὐ βλάπτει μὲν τὴν ἑνότητα τοῦ μύθου, σπουδαίως ὅμως τὴν ποικιλίαν τοῦ ἔπους ζημιοῖ. Διότι τὸ μὲν δρᾶμα μόνον οἰκεῖα καὶ σύντομα ἐπεισόδια δέχεται, ἡ δ' ἐποποιία μεγάλα καὶ ἀνόμοια „ὅπως δ' ἔσται οἰκεῖα τὰ ἐπεισόδια σκοπεῖν, οἷον ἐν τῷ Ὀρέστῃ ἡ μανία, δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως. Ἐν μὲν οὖν τοῖς δράμασι τὰ ἐπεισόδια σύντομα, ἡ δ' ἐποποιία τούτοις μηκύνεται" [1]). Καὶ ἀλλαχοῦ εὐφυῶς ὁ φιλόσοφος λέγει· „ἔχει δὲ πρὸς τὸ ἐπεκτείνεσθαι τὸ μέγεθος πολύ τι ἡ ἐποποιία ἴδιον διὰ τὸ ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα πολλὰ μέρη μιμεῖσθαι, ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον· ἐν δὲ τῇ ἐποποιίᾳ, διὰ τὸ διήγησιν εἶναι, ἔστι πολλὰ μέρη ἅμα ποιεῖν περαινόμενα, ὑφ' ὧν οἰκείων ὄντων αὔξεται ὁ τοῦ ποιήματος ὄγκος. Ὥστε τοῦτ' ἔχει τὸ ἀγαθὸν εἰς μεγαλοπρέπειαν καὶ τὸ μεταβάλλειν [τὸν ἀκούοντα] καὶ ἐπεισοδιοῦν ἀνομοίοις ἐπεισοδίοις" [2]). Κατὰ δὲ τὴν κρίσιν τοῦ Σταγειρίτου τὰ ὁμηρικὰ ἐπεισόδια ἔχουσι τὸ πρέπον μέγεθος [3]).

Ἀλλ', ἐπειδὴ ἡ ἐποποιία πολλῶν καὶ μακρῶν καὶ ταῦτα ἀνομοίων ἐπεισοδίων ἐπιδεκτική ἐστι, πρὸς τὴν τραγῳδίαν παραβαλλομένη ἧττον μιᾶς πράξεως μίμησις φαίνεται. Διότι ἕκαστον ἐπεισόδιον ἔχει μέγεθος καί, ὡς εἴρηται, ἑνότητά τινα. Διὰ τοῦτο ἥτε Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, καίπερ μιᾶς πράξεως μιμήσεις οὖσαι καὶ ὡς ἄριστα συντεθειμέναι, ὅμως πρὸς ἐπίτευξιν τῆς ποικιλίας καὶ μεγαλοπρεπείας ἐπεισόδια ἔχουσαι ἐν παραβολῇ πρὸς τὴν τραγῳδίαν ἧττον μιᾶς πράξεως μιμήσεις φαίνονται. „Ἔτι ἧττον μία μίμησις ἡ τῶν ἐποποιῶν. Σημεῖον δέ· ἐκ γὰρ ὁποιασοῦν μιμήσεως πλείους τραγῳδίαι

---

1) Περὶ ποιητ. XVII, 4. 2) Περὶ ποιητ. XXIV, 4. 3) Αὐτόθι XVIII, 4 „Χρὴ δέ, ὅπερ εἴρηται πολλάκις, μεμνῆσθαι καὶ μὴ ποιεῖν ἐποποιικὸν σύστημα τραγῳδίαν. Ἐποποιικὸν δὲ λέγω τὸ πολύμυθον, οἷον εἴ τις τὸν τῆς Ἰλιάδος ὅλον μῦθον ποιεῖ. Ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος."

γίνονται. Ὥστε, ἐὰν μὲν ἕνα μῦθον ποιῶσιν, ἢ βραχέως δεικνύμενον μύουρον φαίνεσθαι, ἢ ἀκολουθοῦντα τῷ τοῦ μέτρου μήκει ὑδαρῆ. Ἐὰν δὲ πλείους, λέγω δὲ οἷον ἐὰν ἐκ πλειόνων πράξεων ᾖ συγκειμένη, οὐ μία, ὥσπερ ἡ Ἰλιὰς ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ Ὀδύσσεια, ἃ καὶ καθ' ἑαυτὰ ἔχει μέγεθος· καίτοι ταῦτα τὰ ποιήματα συνέστηκεν ὡς ἐνδέχεται ἄριστα, καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις" 1).

Πρὸς πᾶσι τούτοις ὁ μέγας Ἀριστοτέλης οὐ παρεῖδε καί τινα, ἅπερ τοῖς κριτικοῖς ἀνάρμοστα φαινόμενα γίνονται αἰτία, ὅπως οὗτοι συχνάκις ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ὑποβολὰς ἀνευρίσκωσιν. Τὰ τοιαῦτα ὁ φιλόσοφος ὀνομάζων ἄλογα ἐπιτρέπει τῇ ἐποποιΐᾳ, οὐχὶ δὲ καὶ τῷ δράματι „Ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασιν, εἰ δὲ μὴ ἔξω τῆς τραγῳδίας, οἷον τὰ ἐν τῷ Οἰδίποδι τοῦ Σοφοκλέους" 2). Πάνυ δικαίως· διότι τὰ ἐν τῷ δράματι οἱ θεαταὶ ὁρῶσιν, ὁρῶντες δ' ἄλογα οὐ πείθονται. Ἡ ἐποποιΐα ὅμως προϋποτίθησιν οὐχὶ θεατάς, ἀλλ' ἀκροατάς, οἵτινες ἀλόγων ἀκροώμενοι θαυμάζουσι, τὸν δὲ θαυμασμὸν ἀπαιτεῖ τὸ εἶδος τοῦτο τῆς ποιήσεως· „μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιΐᾳ τὸ ἄλογον (δι' ὃ συμβαίνει μάλιστα τὸ θαυμαστόν) διὰ τὸ μὴ ὁρᾶν εἰς τὸν πράττοντα, ἐπεὶ τὰ περὶ τὴν Ἕκτορος δίωξιν ἐπὶ σκηνῆς ὄντα γελοῖα ἂν φανείη, οἱ μὲν ἑστῶτες καὶ οὐ διώκοντες, ὁ δὲ ἀνανεύων 3)· ἐν δὲ

---

1) *Περὶ ποιητ.* XXVI, 6. *Τὸ Ἀριστοτελικὸν τοῦτο χωρίον ὁ* Ritter (Comment. ad. poet. Aristot. *σελ.* 294) *θεωρεῖ νόθον. Διότι τῷ σοφῷ ἀνδρὶ τὰ ἐνταῦθα περὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν λεγόμενα φαίνονται ἀντιφατικὰ πρὸς τὰ ἐν τοῖς κεφαλαίοις* XXIII, 3, XXIV, 4 *καὶ* VIII, 3 *εἰρημένα. Ἀλλ' οὐκ ὀρθῶς. Διότι ὁ Ἀριστοτέλης ὀνομάζει μὲν ἐνταῦθα τὴν ἐποποιΐαν ἧττον μιᾶς πράξεως μίμησιν, ἀλλ' ἐν ἀντιπαραβολῇ πρὸς τὸ δρᾶμα, ὅπερ μὴ ὂν ἐπιδεκτικὸν πολλῶν, μακρῶν καὶ ἀνομοίων ἐπεισοδίων μᾶλλον μιᾶς πράξεως μίμησις φαίνεται. Τὸ ἐπεισοδιοῦν ἔχει μὲν ἀρετάς, τὴς ποικιλίαν καὶ τὴν μεγαλοπρέπειαν, ὅμως καὶ τὴν κακίαν, ὅτι λύει πως τὴν ἑνότητα.* 2) *Αὐτόθι* XV, 7. 3) *Τὸ μέρος τοῦτο τῆς Ἰλιάδος ὁ Μεγακλείδης ἐθεώρησε πλάσμα Σχολ.* Becker *σελ.* 595 *„Μεγακλείδης ὁ γραμματικὸς πλάσμα εἶναί φησι τοῦτο τὸ μονομάχιον· πῶς γὰρ τοσαύτας μυριάδας νεύματι Ἀχιλλεὺς ἀπέστρεφεν;"*

τοῖς ἔπεσι λανθάνει. Τὸ δὲ θαυμαστὸν ἡδύ· σημεῖον δέ, πάντες γὰρ προστιθέντες ἀπαγγέλλουσιν ὡς χαριζόμενοι. Δεδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ. Ἔστι δὲ τοῦτο παραλογισμός“ 1). Ἀλλὰ τοῦ θαυμαστοῦ τὸ μὲν ἐν τῷ μύθῳ ὑπῆρχε, τὸ δὲ αὐτὸς ὁ ποιητὴς ἐπενόησεν. Παρὰ πᾶσι δὲ τοῖς λαοῖς, παρ᾽ οἷς ἡ ἱστορία οὐ γράφεται, ἀλλ᾽ ἀπὸ στόματος εἰς στόμα καταρρέουσα εἰς μῦθον μεταβάλλεται, τὰ γεγονότα προσκτῶσι τὸ ἄλογον καὶ θαυμαστόν. Ὁ δὲ θεσπέσιος Ὅμηρος τὴν φύσιν τῆς αὐτοῦ ποιήσεως μὴ παρανοήσας τὸ ἄλογον καὶ θαυμαστὸν ἐν τοῖς αὐτοῦ ἔπεσιν ἐνύφανεν. Διότι κατὰ τὸν Σταγειρίτην „Ὅμηρος δὲ ἄλλα τε πολλὰ ἄξιος ἐπαινεῖσθαι, καὶ δὴ καὶ ὅτι οὐκ ἀγνοεῖ ὃ δεῖ ποιεῖν αὐτόν“ 2).

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Διάδοσις καὶ περιπέτειαι τῶν ὁμηρικῶν ἐπῶν ἀπὸ Ἀριστοτέλους μέχρι Διδύμου τοῦ Χαλκεντέρου.

Εἰ περὶ τοῦ ὁμηρικοῦ ζητήματος ἐν τῷδε τῷ πονήματι ἐπραγματευόμεθα, ἴσως τὰς ἐφεξῆς τῶν ὁμηρικῶν ἐπῶν περιπετείας (εἰ καὶ οὐχὶ ἄνευ βλάβης τοῦ ζητουμένου) παρελείπομεν. Ἀλλ᾽, ἐπειδὴ ἐν τῇ ἐπιγραφῇ ἱστορίαν τῶν ὁμηρικῶν ἐπῶν συγγράψαι ὑπισχνούμεθα, καὶ ἐπειδὴ οἱ περὶ τὸν Wolf ἀποφαίνονται, ὅτι τὴν ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ἑνότητα οὐ μόνον τοῖς περὶ τὸν Πεισίστρατον, ἀλλὰ καὶ τοῖς κριτικοῖς τῆς Ἀλεξανδρείας ὀφείλομεν, τὴν ἔρευναν ἡμῶν ἐκτείνομεν μέχρι ἐκείνης τῆς ἐποχῆς, καθ᾽ ἣν πᾶσα σπουδαία μεταβολὴ τῶν ὁμηρικῶν ἐπῶν ἔπαυσεν. Γινώσκοντες δ᾽ ἀκριβῶς (κατὰ τὸ δυνατὸν δη-

---

1) Περὶ ποιητ. XXIV, 8. 2) Αὐτόθι XXIV, 7.

λαδὴ) τὰς περιπετείας αὐτῶν δυνάμεθα ἀσφαλέστερον κρίνειν, εἰ ἐκ τῆς παρούσης τῶν ἐπῶν μορφῆς βέβαια συμπεράσματα περὶ τῆς πρώτης αὐτῶν ἑνότητος ἐξάγονται. Διότι ἡ παροῦσα τῶν ὁμηρικῶν ἐπῶν μορφὴ καταρρέει ἐκ τῶν Ἀλεξανδρινῶν διορθώσεων πλὴν σμικροῦ αὐτῶν μέρους, ὅπερ οἱ ἀρχαιότεροι τούτων συγγραφεῖς ἐν ἀποσπάσμασι διετήρησαν. Ἀλλὰ τὰ ἀποσπάσματα ταῦτα ἐν πολλοῖς διαφέρουσι πρὸς τὴν διὰ τῶν Ἀλεξανδρινῶν περιελθοῦσαν εἰς ἡμᾶς ἔκδοσιν. Καὶ δὴ γεννᾶται τὸ ζήτημα, εἰ αἱ εὑρισκόμεναι διαφοραὶ ἐκ τῆς ἀλλοιώσεως τῶν ὁμηρικῶν ἐπῶν, ἢ ἐκ τῆς ἀπίστου τῶν ἀποσπασάντων μνήμης ἀπορρέουσιν. Νομίζομεν, ὅτι ἑκάτερα τῶν αἰτίων πρὸς διαφορὰν συνεβάλοντο, δηλαδὴ ἀλλαχοῦ μὲν τὸ ἕν, ἀλλαχοῦ δὲ τὸ ἕτερον.

Διὰ τοῦ ξίφους τοῦ μεγάλου Ἀλεξάνδρου ὡς διὰ μαγικῆς ῥάβδου ἡ Ἑλλὰς μετεβλήθη. Ἡ δὲ μεταβολὴ οὐ μόνον ἐν τῇ πολιτείᾳ ἐγένετο, ἀλλ' εἰς πᾶσαν τὴν πνευματικὴν τοῦ ἑλληνικοῦ κόσμου μόρφωσιν ἐξετάθη. Ἐν τῇ περιόδῳ ταύτῃ ἀντὶ ἐκκλησιῶν τοῦ δήμου, ἀντὶ δημοσίων συνελεύσεων, ἀντὶ λογείων καὶ σκηνῶν, Μουσεῖα καὶ βιβλιοθῆκαι ἱδρύθησαν, ἀντὶ εὐφυΐας, δημιουργικοῦ πνεύματος καὶ εὐγλωττίας, ἐπιμέλεια, φιλοπονία καὶ ψυχρὰ φιλομάθεια ἀνεπτύχθησαν. Γνωστὴ δ' ἐστιν ἡ τῶν Πτολεμαίων φιλοτιμία, ἡ εἰς τὴν πόλιν τοῦ Ἀλεξάνδρου πάντα τὰ προϊόντα τῆς ἑλληνικῆς μεγαλοφυΐας ἀφειδῶς ἐπισωρεύσασα. Τοσοῦτον δ' αὕτη προέβη, ὥστε τῶν Πτολεμαίων τις ἐκέλευσεν, ἵνα πάντων τῶν καταπλεόντων εἰς τὴν Αἴγυπτον τὰ βιβλία πρὸς αὐτὸν κομίζωνται. Τούτου δὲ γενομένου ἀντεγράφοντο, καὶ τὰ μὲν ἀντίγραφα τῷ δεσπότῃ ἀπεδίδοντο, τὰ δὲ βιβλία ἐν ταῖς βιβλιοθήκαις κατατιθέμενα ἐκ τῶν πλοίων ὠνομάζοντο[1]*. Οἱ Ἀλεξανδρινοὶ λοιπὸν πολλὰς ἐκδόσεις τῶν ὁμηρικῶν ἐπῶν ὑπ' ὄψιν ἔχοντες ἐπεχείρησαν, ἵνα ταῦτα διορθώσωσιν. Τὸ ἔργον ἦν μὲν δυσχερές, ἀλλ' αὐτὴ ἡ δυσχέρεια πολλοὺς διορθωτὰς ἐπῆγε καὶ ἐπέσπα. Ἀλλὰ τῶν πολλῶν τούτων διορθωτῶν μόνον ὀλίγους ἢ ἐπι-*

---

1) *Γαλην. Ὑπομνήμ. σελ.* 411.

στήμη δύναται δεῖξαι ὡς τὸ βαρὺ τοῦ κριτικοῦ ἔργον μετὰ σωφροσύνης ἐκπληρώσαντας. Σημειωτέον δ', ὅτι οἱ πλεῖστοι τῶν μνημονευομένων ὡς διορθωτῶν τοῦ Ὁμήρου οὐκ ἐποίησαν ὁλοκλήρους διορθώσεις, ἀλλ' οἱ μὲν μόνον μέρη τινὰ διώρθωσαν, οἱ δὲ στίχους, οἱ δὲ λέξεις, οἱ δὲ διὰ τῆς διορθώσεως ἑνὸς μόνου τόνου τῆς παπυρίνης ἀθανασίας ἔτυχον!

Κρίνοντες δ' ἐν γένει περὶ τῆς κριτικῆς τῶν Ἀλεξανδρινῶν ὁμολογοῦμεν μέν, ὅτι οὗτοι (οἵ γε πλεῖστοι τούτων) καὶ ἐξ ἡμαρτημένων ἀρχῶν ὁρμῶντο, καὶ ἐν τοῖς καθ' ἕκαστον ἐνιαχοῦ ἡμάρτανον, ὅμως νομίζομεν ὑπερβολικὴν τὴν τοῦ Wolf[1]) κρίσιν, ὅτι αὐτὸς ὁ Ἀρίσταρχος οὐκ ἄλλως τοῖς ὁμηρικοῖς ἔπεσιν ἐχρήσατο, ἢ ὡς ὁ Κάτων τοῖς τοῦ Λουκιλίου καὶ ὡς ὁ Ουάριος καὶ Τούκκας ἔμελλον χρήσασθαι τῇ τοῦ Μάρωνος Αἰνειάδι, εἰ μὴ ἡ βούλησις τοῦ τε θανόντος καὶ τοῦ Αὐγούστου αὐτοὺς ἐκώλυεν. Ταῦτα δὲ λέγων ὁ μέγας ἀνὴρ εἶχεν ὑπ' ὄψιν τοὺς μεγάλους κριτικοὺς τῶν νεωτέρων χρόνων, τὸν Bentley καὶ Valckenaer. Ἀλλὰ τοῦτό ἐστιν ἀναχρονισμός, ὡς δικαίως παρατηρεῖ ὁ Gräfenhan[2]). Τὰ φερόμενα ὁμηρικὰ χειρόγραφα οὕτω πρὸ τῶν Ἀλεξανδρινῶν ἤδη διεφθάρησαν καὶ οὕτως ἔτι ἐπ' αὐτῶν ἐφθείροντο, ὥστε οἱ κριτικοὶ οὗτοι, καίπερ διὰ τὰς πολλὰς αὐτῶν ἀθετήσεις δικαίως ψεγόμενοι, ὅμως δι' αὐτῶν δὴ τῶν ἀθετήσεων μέγα φράγμα πρὸς τοὺς ὑποβολεῖς καὶ διαφθορεῖς τῶν ὁμηρικῶν ἐπῶν ἔθεντο. Δυστυχῶς ὅμως καὶ οὗτοι πολλοὺς καλοὺς στίχους ἐξήλειψαν, καὶ τὴν ἑνότητα αὐτῶν ἴσως ἐνιαχοῦ διέσπασαν. Συνήθως αἱ αἰτίαι, δι' ἃς οὗτοι ἠθέτουν, ἦσαν ἠθικαὶ καὶ ῥητορικαί. Διὰ τοῦτο συχνάκις εὑρίσκομεν τὰς φράσεις, Πρὸς οὐδὲν ἀναγκαῖον[3]), Διὰ τὸ περιττόν[4]), Διὰ τὸ ἀπρεπές[5]),

---

1) Proleg. ad Homer. σελ. 233 „Wideri mihi solet Aristarchus non aliter tractavisse Homerum, ac Cato ille Lucilium, cujus male factos versus emendabat, atque Varius et Tucca Virgilii imperfectum poëma tractaturi fuissent, nisi morientis amici et Augusti voluntas intercesset." 2) Geschichte der class. Phil. II, 89. 3) Ἐνετ. σχόλ. εἰς Ἰλιάδ. Τ 23. 4) Εἰς Ἰλιάδ. Α 444. Φ 479. 5) Εἰς Ἰλιάδ. Γ 424. Δ 88.

Παρὰ τὴν τοῦ ποιητοῦ συνήθειαν[1]), *Μεμείωκε τὴν ἔμφασιν*[2]).

Κλήμης ὁ Ἀλεξανδρεὺς παραδίδωσιν[3]), ὅτι πρῶτος Ἀπολλόδωρος ἢ Αὐτόδωρος ὁ Κυμαῖος ἔλαβε τὸ ὄνομα τοῦ κριτικοῦ. Ἀλλ', ἐπειδὴ ἡ ἐποχὴ αὐτοῦ οὐχ ὁρίζεται, ἐν τοῖς πρώτοις κριτικοῖς τίθεται Φιλητᾶς, ὁ υἱὸς τοῦ Τηλέφου, ἐν τῇ αὐλῇ Πτολεμαίου τοῦ πρώτου ζήσας καὶ διδάσκαλος τοῦ υἱοῦ αὐτοῦ, Πτολεμαίου τοῦ Φιλαδέλφου, γενόμενος. Ὡς δ' ἐν τῇ ἡγουμένῃ περιόδῳ διορθωταὶ τῶν ὁμηρικῶν ἐπῶν ἦσαν ποιηταί, οὕτω καὶ ἐν τῇ ἀρχῇ τῆς παρούσης. Καὶ δὴ ὁ Φιλητᾶς ἦν ἔξοχος τῆς αὐτοῦ ἐποχῆς ποιητής, καὶ μαθητάς ἔσχε τοὺς ποιητὰς Θεόκριτον καὶ Ἑρμησιάνακτα. Ὁ ἀνὴρ ἐπαινεῖται ὡς ἀγαθὸς κριτικός, καὶ ὑπὸ τοῦ Τζέτζου τίθεται παρὰ τοῖς μεγάλοις κριτικοῖς, τῷ Ἀριστάρχῳ, λέγομεν, καὶ Ἀριστοφάνει. Ἴσως δὲ τιμᾷ τὸν υἱὸν τοῦ Τηλέφου καὶ τοῦτο, ὅτι ὁ Ἀρίσταρχος ἔγραψε *Σύγγραμμα πρὸς Φιλητᾶν*. Εἰ δ' ὁ Φιλητᾶς οὗτός ἐστιν ὁ αὐτὸς ἐκείνῳ, οὗ ὁ Στράτων παρ' Ἀθηναίῳ[4]) μνημονεύει, ἔγραψεν *Ἄτακτα* ἢ *Γλώσσας*. Ἀναμφίλεκτον ὅμως σύγγραμμα αὐτοῦ ἐστι τὸ *Περὶ τῆς ὁμηρικῆς ἐτυμολογίας*, οὗ ὀλίγα ἀποσπάσματα περισωθέντα συνέλεξεν ὁ Bach[5]). Εἰ καὶ ἐκ τῶν ἀποσπασμάτων τούτων ἀνακαλύπτονται ἁμαρτήματά τινα, ὅμως ὁ Wolf[6]) ἐκ τριῶν μόνων παραδειγμάτων τὸν ἄνδρα ψέγων γνώμην παρακεκινδυνευμένην ἀποφαίνεται. Μαθητὴς τοῦ Φιλητᾶ ἦν ὁ Ζηνόδοτος, πρὸς ὃν μεταβαίνομεν.

Ζηνόδοτος ὁ Ἐφέσιος περὶ τὰ 280 Π·Χ ἀκμάσας προέστη τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης κατὰ τὸν Ritschl[7]) ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου. Ὡς ἔφορος δὲ τῆς βιβλιοθήκης ἀνεδέξατο τὸ ἔργον, ὅπως κατὰ τὰς ὑπαρχούσας ἐκδόσεις τὰ ὁμηρικὰ ἔπη διορθώσῃ. Ἀλλ', εἰ καὶ τοὺς πρὸ

---

1) Σχόλ. εἰς Ὀδυσσ. Λ 548. 2) Εἰς Ἰλιάδ. Ρ 172. 3) Στρωμ. I, 133 „Αὐτόδωρος ὁ Κυμαῖος πρῶτος τοῦ κριτικοῦ εἰσηγήσατο τοὔνομα καὶ γραμματικὸς προσηγορεύθη.“ 4) IX, 383. 5) Nicol. Bach, Philet. Coi, Hermesianact. etc. fragmenta ἀριθμ. 61—64. 6) Proleg. ad Homer. σελ. 187 σημ. 55. 7) Die Alexandrinischen Bibliotheken σελ. 75—90.

αὐτοῦ διορθωτάς, ὡς δοκεῖ, ὑπ᾽ ὄψιν εἶχεν, ὅμως οὕτως αὐθαιρέτῳ μεθόδῳ ἐχρήσατο, ὥστε ἐξήλειφε καὶ συνέτεμνε φράσεις καὶ στίχους, ὡσεὶ ἴδιον ποίημα διώρθου. Αἱ δ᾽ ἀθετήσεις τοῦ Ζηνοδότου ουτω πολλαὶ ἦσαν, ὥστε ἔδοξέ τισιν, ὅτι ὁ κριτικὸς τὸν Ὅμηρον ἐκ τοῦ Ὁμήρου ἐξήγαγεν. Ἀλλὰ κατὰ τὸν Wolf[1]) *ἥκιστα πιστευτέον, ὅτι πρῶτος ὁ Ζηνόδοτος ἐπεχείρησε πάνθ᾽, ὅσα τούτῳ ἀποδίδονται. Ἐν τοῖς χρόνοις τοῦ* Wolf *αἱ γνῶμαι διῃρημέναι ἦσαν· καὶ οἱ μὲν τῷ ἀνδρὶ τὴν κρείττονα διόρθωσιν ἀπέδιδον, οἱ δὲ μεγάλης τόλμης καὶ πολλῆς κουφότητος ἔνοχον ἀπεφαίνοντο. Ἀλλ᾽ ἡ κρίσις τῶν τελευταίων τούτων ἐρείδεται ἐπὶ τῶν Σχολιαστῶν τῶν τελευταίων χρόνων. Αἱ δ᾽ εἰδήσεις τούτων ἠντλήθησαν ἐκ τῶν Ἀρισταρχείων μηδ᾽ αὐτῶν τὰς διορθώσεις τοῦ Ζηνοδότου ἰδόντων, ἀλλ᾽ ἐκ τῶν συγγραμμάτων τοῦ Ἀριστάρχου καὶ τῶν ἀρχαιοτέρων γραμματικῶν ταύτας παραλαβόντων. Πρὸς δὲ οὗτοι ἐπικριταὶ τῆς Ζηνοδοτείου διορθώσεως ὄντες μόνον τὰ ἡμαρτημένα ἐσημείουν καὶ ἔψεγον. Παραδείγματος χάριν ὁ ποιητὴς Ἀπολλώνιος ἔγραψε σύγγραμμα Πρὸς Ζηνόδοτον*[2]). *Ἀλλ᾽, ὡς ὁ ἀνὴρ εἶχεν ἐπικριτάς, οὕτω καὶ ὀπαδούς. Καὶ δὴ Πτολεμαῖος ὁ ἐπικληθεὶς Ἐπιθέτης ἐν ἰδιαιτέρῳ συγγράμματι τὰς γραφὰς τοῦ Ζηνοδότου ἐπραγματεύετο*[3]). *Ἡ δὲ προσοχὴ τῶν μεταγενεστέρων εἰς τὴν διόρθωσιν τοῦ Ζηνοδότου ὑπαινίσσεται ἀξίαν τινά. Τελευταῖον πρὶν τοῦ ἀνδρὸς καταψηφίσωμεν, ὀφείλομεν ἔχειν ἐν νῷ, ὅτι τότε ἡ κριτικὴ ἦν ἐν σπαργάνοις, ἤ, μᾶλλον εἰπεῖν, ὁ Ζηνόδοτος ἦν ὁ δημιουργὸς αὐτῆς. Διότι οὗτος πρῶτον τῇ κριτικῇ ὡρισμένον χαρακτῆρα ἔδω, καὶ διὰ τοῦτο ὑπὸ μὲν τοῦ Σουΐδα*[4]) *πρῶτος τοῦ Ὁμήρου διορθωτής, ὑπὸ δὲ τῶν σχολιαστῶν κατ᾽ ἐξοχὴν κριτικὸς ὀνομάζεται, ὅπερ διαστέλλει αὐτὸν ἀπὸ Ζηνοδότου τοῦ νεωτέρου. Ὁπωσδήποτε ἡ διόρθωσις αὐτοῦ παρὰ πολλοῖς κριτικοῖς ἔμενεν ὡς βάσις.*

---

1) *Αὐτόθι σελ.* 203. 2) *Ἑνετ. σχολ. εἰς Ἰλιάδ.* **Ν** 657. 3) *Δίδυμ. εἰς Ἰλιάδ.* **Β** 111. 4) *Ἐν λ.*

Ἡ Ζηνοδότειος κριτικὴ κατὰ τὸν Lehrs[1]) *δύο τινὰ ἐσκόπει· α΄) τὴν ἀποκατάστασιν τῆς συνεχείας τῶν ὁμηρικῶν ἐπῶν καὶ β΄) τὴν ἀπόσβεσιν ἀπρεπῶν πράξεων τῶν τε θεῶν καὶ τῶν ἡρώων. Ἕκαστος παρατηρεῖ, ὑπὸ πόσον κακοὺς οἰωνοὺς ἡ κριτικὴ ἤρξατο. Τίς δ' ἦν ἡ ἀξία τῆς πρώτης ἀρχῆς, ἐκ τῆς δευτέρας δῆλον γίνεται. Ὁ κριτικὸς διώρθου, ἐξήλειφε, μετετίθει καὶ ἐνίοτε προσετίθει στίχους, ὅπως θεοὺς καὶ ἀνθρώπους ἠθικωτέρους ἑαυτῶν ἀναδείξῃ, ὡσεὶ* censor *ἑκατέρων ἐξελέγετο. Ὁ μέγας Ἀριστοτέλης πρὸ αὐτοῦ περὶ ἐποποιίας φιλοσοφήσας ἀμίμητον ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ἑνότητα εὗρεν, τῷ κριτικῷ ὅμως οὐκ ἤρεσκεν αὕτη, ἀλλὰ δι' ἐξαλείψεως καὶ προσθήκης τὰ ἔπη διέφθειρε, καὶ ἴσως πρὸς διάσπασιν τῆς ἑνότητος συνεβάλετο. Δυστυχῶς οὐ γινώσκομεν τοὺς νόμους τῆς ἐποποιίας, οὓς οὗτος ἐτίθει, ὅπως περὶ τῆς γνωστῆς τοῦ Αὐσονίου*[2]) *φράσεως κρίνωμεν. Ἐπειδὴ δὲ αἱ ἐπαναλήψεις τῶν αὐτῶν στίχων ἀμφίβολοι*[3]) *τῷ κριτικῷ ἐφαίνοντο, τοὺς καλλίστους τῶν ὁμηρικῶν ἐπῶν ἐξήλειψεν. Ἀλλ' οὕτω τολμηρὸν χαρακτῆρα φέρει μεθ' ἑαυτῆς πᾶσα ἡ ἀρχαιοτέρα κριτική. Ὁ δὲ* Gräfenhan[4]) *νομίζει, ὅτι ἡ τοιαύτη κριτικὴ μέθοδος ὠφέλιμος ἦν, ὅπως τάς τε ἀλόγους ὑποβολὰς ἀποκρούσῃ, καὶ τὰς σοφιστικὰς τῶν φιλοσόφων, σοφιστῶν καὶ ῥητόρων ἑρμηνείας περιστείλῃ. Πρὸς δὲ ὁ Ζηνόδοτος τῇ ἀ ν α λ ο γ ί ᾳ χρώμενος τὴν ὁμηρικὴν γλῶσσαν διέφθειρεν. Διότι ὡς κανόνα τὴν γλῶσσαν τῆς αὐτοῦ ἐποχῆς ἔχων ἐπειρᾶτο, ὅπως τὴν ὁμηρικήν, ἥτις ποικίλον ἐν τοῖς διαφόροις χειρογράφοις χρῶμα ἔσχε, κατὰ τὴν ἀ ν α λ ο γ ί α ν διορθώσῃ. Οὕτως ἐποίησε διόρθωσιν ἔχουσαν μὲν τὴν ἀρετὴν τῆς ὁ μ ο ι ό τ η τ ο ς, ὅμως καὶ τὴν μεγίστην κακίαν, ὅτι αὕτη οὐ περιεῖχε πολλὰς γνησίας ὁμηρικὰς λέξεις τέως ἐν τοῖς χειρογράφοις*

---

1) De Aristarch. stud. Homer. *σελ.* 352. 2) Epistol. XVIII, 28
Quique sacri lacerum collegit corpus Homeri.

3) *Παραδείγματος χάριν Ἰλιάδ. Τ 23, ἔνθα ὁ Σχολιαστὴς λέγει περὶ τοῦ Ζηνοδότου τ ο ι ο ῦ τ ο ς δ έ ἐ σ τ ι ν ἐ π ὶ τ ῶ ν δ ι φ ο ρ ο υ μ έ ν ω ν.“* 4) Geschichte der class. Phil. II, 107.

φερομένας[1]). *Ἐκ τῶν εἰρημένων πρόδηλον γίνεται, πόσον τολμηραί εἰσιν αἱ εἰκασίαι τῶν ἐκ τῆς παρούσης μορφῆς τῆς ὁμηρικῆς γλώσσης συμπεράσματα περὶ ἑνὸς ἢ πολλῶν ποιητῶν ἐξαγόντων.*

Ἐνταῦθα δὲ μνημονεύομεν καὶ τῆς Ἀρατείου διορθώσεως[2]), *ἥτις, ὡς δοκεῖ, οὐκ ἐγένετο κατ' ἀντιπαραβολὴν τῶν φερομένων διορθώσεων, ἀλλὰ κατ' ἀρχαιότερα ἀντίγραφα*[3]). *Ἐπὶ Ἀράτου τὰ ὁμηρικὰ ἔπη ἐθεωροῦντο διεφθαρμένα, καὶ διὰ τοῦτο οὗτος κελεύσει τοῦ Ἀντιόχου τὴν διόρθωσιν τῆς Ἰλιάδος ἀνεδέξατο*[4]). *Ὡσαύτως ἐν τῇ περιόδῳ ταύτῃ ἔζη ὁ πολυΐστωρ Ἐρατοσθένης ὁ Κυρηναῖος, οὗ διόρθωσίν τινα διετήρησεν ἡμῖν ὁ Ἀθήναιος. Τῷ σοφῷ τούτῳ ἀνδρὶ οὐκ ἤρεσκεν ὁ τοῦ Ὀδυσσέως λόγος, ἐν ᾧ ὁ ἀπολαυστικὸς βίος ἐπαινεῖται, ἀλλὰ διώρθου αὐτόν*[5]). *Ἡ διόρθωσις αὕτη δείκνυσιν, ὅτι καὶ ὁ Ἐρατοσθένης ἐξ ἠθικῶν αἰτιῶν ὡρμᾶτο. Σύγχρονος τοῦ Ἐρατοσθένους ἦν Ῥιανὸς ὁ Κρής*[6]). *Οὗτος τὸ πρῶτον ἦν δοῦλος καὶ φύλαξ τῆς παλαίστρας, εἶτα δὲ παιδευθεὶς τῶν κρειττόνων τοῦ Ὁμήρου ἑρμηνευτῶν ἐγένετο. Ὁ Ῥιανὸς ἦν ποιητὴς ἑξάμετρά*[7]) *τινα ποιήσας. Ἂν κρίνωμεν ἐκ τῶν ὀλίγων λειψάνων, ἅπερ συνέλεξεν ὁ* Wolf[8]), *ὁ Κρὴς ἔκρινε τὰ ὁμηρικὰ ἔπη*

---

1) *Σχολ. εἰς Ἰλιάδ. Β* 1 *καὶ Κ* 1. *Παράβαλ.* Lersch, Sprachphilosophie II, 57. 2) *Σουίδ. ἐν λ. Βίος Ἀράτου* I, 431 „*Καὶ τὴν Ὀδύσσειαν δὲ διώρθωσε· καὶ καλεῖται διόρθωσις οὕτως Ἀράτειος ὡς Ἀριστάρχειος καὶ Ἀριστοφάνειος.*“ 3) *Διογέν. Λαέρτιος* IX, 113 „*Φασὶ δὲ καὶ Ἄρατον πυθέσθαι αὐτοῦ (δηλαδὴ Τίμωνος τοῦ σιλλογράφου), πῶς τὴν Ὁμήρου ποίησιν ἀσφαλῶς κτήσαιτο; Τὸν δὲ εἰπεῖν, „εἰ τοῖς ἀρχαίοις ἀντιγράφοις ἐντυγχάνοι, καὶ μὴ τοῖς ἤδη διωρθωμένοις.“ Εἰκῇ τε αὐτῷ ἔκειτο τὰ ποιήματα, ἐνίοτε ἡμίβρωτα.*“ 4) *Βίος Ἀράτου* I, 431 „*Τινὲς δὲ αὐτὸν (τὸν Ἄρατον) εἰς Συρίαν ἐληλυθέναι φασὶ καὶ γεγονέναι παρ' Ἀντιόχῳ καὶ ἠξιῶσθαι ὑπ' αὐτοῦ, ὥστε τὴν Ἰλιάδα διορθώσασθαι, διὰ τὸ ὑπὸ πολλῶν λελυμάνθαι.*“
5) *Ἀθην.* I, 16

Οὐ γὰρ ἔγω γέ τοί φημι τέλος χαριέστερον εἶναι,
ἢ ὅτ' ἂν εὐφρόσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα
διώρθωσεν εἰς
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κακότητος ἀπούσης.

6) *Σουίδ. ἐν λ.* 7) Meineke, Analecta Alexandrina *σελ.* 175. 8) Prolegom. ad Homer. *σελ.* 188 *σημ.* 57.

μετά τινος συνετῆς ἁπλότητος, ὡς δεικνύουσι καὶ τὰ ποιήματα αὐτοῦ, ἅπερ στεροῦνται τοῦ ὄγκου ταύτης τῆς ἐποχῆς. Ὡσαύτως ὁ ποιητὴς Ἀπολλώνιος ὁ Ῥόδιος ἔφορος τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης γενόμενος περὶ τὴν διόρθωσιν τῶν ὁμηρικῶν ἐπῶν ἠσχολεῖτο. Οὗτος εἶχεν ὑπ' ὄψιν τὴν διόρθωσιν τοῦ Ζηνοδότου, ὅν, ὡς εἴρηται, ἐν ἰδιαιτέρᾳ πραγματείᾳ ἐπέκρινεν. Ἀλλ' ἀμφίβολον, εἰ ὁ Ῥόδιος ποιητὴς μεῖζόν τι τοῦ Ζηνοδότου διεπράξατο. Τὰ σχόλια μνημονεύουσι[1]) μὲν διορθώσεών τινων αὐτοῦ, ἀλλ' ὁ Gräfenhan[2]) εἰκάζει, ὅτι αὗται οὐχὶ ἐκ διορθώσεως τῶν ὁμηρικῶν ἐπῶν, ἀλλ' ἐκ τῆς εἰρημένης Πρὸς Ζηνόδοτον πραγματείας ἐλήφθησαν.

Ἐκ τῶν εἰρημένων λοιπὸν δῆλον γίνεται, ὅτι ἐν ἀρχῇ ταύτης τῆς περιόδου ὡς ἐπὶ τὸ πολὺ ποιηταὶ τὴν διόρθωσιν τῶν ὁμηρικῶν ἐπῶν ἐπεχείρουν. Ἠθικαὶ δὲ ἢ αἰσθητικαὶ αἰτίαι ὑπηγόρευον διορθώσεις τὰ ὁμηρικὰ ἔπη διαφθειρούσας. Ὁ μαθητὴς ὅμως τοῦ Ζηνοδότου, Ἀριστοφάνης ὁ Βυζάντιος[3]), σπουδαῖον πρὸς κρείττω κριτικὴν βῆμα βαίνει. Ὁ μέγας οὗτος ἀνὴρ ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου (246 — 221 Π·Χ) καὶ Πτολεμαίου τοῦ Φιλοπάτορος (221 — 204) ζῶν ἐτελεύτησεν ἐπὶ Πτολεμαίου τοῦ Ἐπιφανοῦς (204—181). Ὁ Ἀριστοφάνης ὑπερέβη τὸν διδάσκαλον, τὰ δὲ ἔργα αὐτοῦ ἐν πάσῃ ἐποχῇ πολλῶν καὶ μεγάλων ἐπαίνων ἔτυχον. Ἡ δὲ ἑλληνικὴ φιλολογία ὀφείλει τῷ ἀνδρὶ μεγάλην τὴν εὐγνωμοσύνην, ὅτι οὗτος τὰ σημεῖα τῶν τόνων, τοῦ πνεύματος, τῶν στιγμῶν καὶ τῆς ποσότητος τῶν συλλαβῶν ἐπινοήσας τοὺς συγγραφεῖς ἀπὸ μεγάλης διαφθορᾶς διέσωσεν. Εἰ καὶ ὁ κριτικὸς οὗτος ἐν τῇ ἐκδόσει ἄλλων ποιητῶν μείζονας ἀξιώσεις ἔχει, ἢ ἐν τῷ ἡμετέρῳ, ὅμως καὶ ἐν τούτῳ πολλά, ὡς δοκεῖ, ἐποίησεν. Ὁ Ἀριστοφάνης εἰς τὴν σπουδὴν τῆς ἀρχαιότητος καὶ τῆς γλώσσης ἐγκύψας ἐγένετο ἐπιτήδειος, ὅπως τὰ ὁμηρικα ἔπη κρεῖττον αἰσθάνηται καὶ νοῇ. Καίπερ ἀμφιβόλου ὄντος,

1) Εἰς Ἰλιάδ. Α 3. Β 436. Ν 657. 2) Geschichte der class. Phil. II, 111. 3) Ὅρα Σουίδαν ἐν λ.

εἰ αὐτὸς ὁ Βυζάντιος κριτικὸς εἰς πάντας τοὺς ὑπ' αὐτοῦ ἐκδοθέντας ποιητὰς κριτικὰς σημειώσεις συνῆψεν, ἢ οἱ πολυάριθμοι αὐτοῦ μαθηταὶ τὰ ὑπὸ τοῦ διδασκάλου εἰρημένα διετήρησαν, ὅμως ἐστὶ βέβαιον, ὅτι εἰς τὰ ὁμηρικὰ ἔπη τοιαύτας προσέθηκεν. Ἡ δὲ διόρθωσις αὐτοῦ, ἥτις Ἀριστοφάνειος, ἡ κατὰ Ἀριστοφάνη, ἡ Ἀριστοφάνους καλεῖται, ἐν ταῖς χαριεστάταις τίθεται[1]). Καίπερ ὁ Ἀριστοφάνης τὰ ὁμηρικὰ ἔπη κατὰ τὴν ἀναλογίαν διορθῶν καὶ τὴν Ζηνοδότειον διόρθωσιν ὡς βάσιν ἔχων, ὅμως πολὺ τοῦ διδασκάλου προέχει. Πλείστους στίχους, οὓς ὁ Ζηνόδοτος ἠθέτει, ὁ Βυζάντιος ἐπανήγαγεν. Ὁ δὲ Ἀρίσταρχος τὴν σωφρονεστέραν ταύτην κριτικὴν ἐπιδοκιμάζων προὐτίμα τὴν Ἀριστοφάνειον τῆς Ζηνοδοτείου διορθώσεως. Γραφαὶ δέ τινες τοῦ Ἀριστοφάνους, καίπερ ὑπὸ τοῦ Ἀριστάρχου ἀποδοκιμασθεῖσαι, ὅμως ὑπὸ τῶν μεταγενεστέρων κριτικῶν πάλιν εἰς τὰ ὁμηρικὰ ἔπη εἰσήχθησαν.

Ἀλλὰ καὶ ὁ Ἀριστοφάνης οὐ μόνον πολλὰς Ζηνοδοτείους ἀθετήσεις ἐδέχετο[2]), ἀλλὰ καὶ νέας ἐποίει. Ἄξιον δὲ σημειώσεώς ἐστιν, ὅτι οὗτος μέρος[3]) τῆς προτελευταίας καὶ ὁλόκληρον τὴν τελευταίαν ῥαψῳδίαν τῆς Ὀδυσσείας ἠθέτει. Τὴν δὲ ἀθέτησιν ἐδέχετο καὶ ὁ Ἀρίσταρχος. Ἐπειδὴ δὲ ἔν τισι τῶν καλῶν χειρογράφων περὶ τὸ εἰρημένον σημεῖον τοῦ ἔπους εὑρέθη ὀβελός, ἠγέρθη τὸ ζήτημα, εἰ οὗτος ὄντως ἐν τοῖς ἀρχαίοις χειρογράφοις ὑπῆρχεν, ἢ βραδύτερον ὑπὸ τῶν γραμματικῶν κατὰ παράδοσιν προσετέθη. Ὁπωσδήποτε τὰ εἰρημένα παρώτρυναν τὸν Fr. Spohn[4]), ἵνα τὸ τελευταῖον τοῦ ἔπους μέρος ἀπὸ τοῦ ὁμηρικοῦ αἰῶνος ἀφαιρέσῃ. Ἐπειδὴ ὅμως αἱ μέχρις ἡμῶν περισωθεῖσαι εἰδήσεις δυστυχῶς φειδωλαί εἰσι, καὶ αἱ ὑπάρχουσαι οὐχὶ τῶν αἰτιῶν, ἀλλὰ μόνον τῶν διορθώσεων μνημονεύουσιν, οὐ δυνάμεθα γινώσκειν, εἰ αἱ εἰς αὐτὸν ἀποδιδόμεναι γραφαὶ ἐπὶ εἰκασιῶν, ἢ ἐπὶ ἀρχαιοτέρων χειρογράφων ἐρεί-

---

1) Ἐνετ. σχόλ. εἰς Ἰλιάδ. Γ 18. 2) Wolf, Proleg. ad Homer. σελ. 223
3) Ἀπὸ τοῦ στίχου 296 καὶ ἑξῆς, ἔνθα ἰδὲ τὸν Εὐστάθιον σελ. 1948.
4) Comment. de extrema Odysseae parte inde a rhapsodia Ψ, versu 296 aevo recentiore orta quam Homerico Lips. 1816.

δονται. Ἂν ὅμως, ὡς ὁ Wolf, κατ' ἀναλογίαν ἐκ τῆς διορθώσεως τῶν ἄλλων ποιητῶν κρίνωμεν, ὀφείλομεν ἐπαινέσαι τὸν Βυζάντιον.

Ὁ Ἀριστοφάνης κατὰ μίμησιν τῶν φιλοσόφων καὶ ῥητόρων ἵδρυσε γραμματικῆς σχολήν, ἐξ ἧς πλεῖστοι μαθηταί, ὡς Ἀγαλλίας ὁ Κερκυραῖος, Διόδωρος ὁ γραμματικός, ὁ Ἀρτεμίδωρος, ὁ Καλλίστρατος καὶ πλεῖστοι ἄλλοι ἐξῆλθον. Πρὶν δὲ μεταβῶμεν εἰς τὸν κορυφαῖον τῶν μαθητῶν αὐτοῦ, τὸν Ἀρίσταρχον, μνημονεύομεν τοῦ τελευταίου τῶν εἰρημένων. Ὁ Ἀθηναῖος Καλλίστρατος[1]) ὡς ἐπιμελέστατος γραμματικός, ὑπομνηματιστὴς καὶ κριτικὸς ἐπαινεῖται καὶ ἡ διόρθωσις αὐτοῦ μετὰ τῆς Ἀριστοφανείου ἐν ταῖς χαριεστάταις τίθεται[2]). Οὗτος ἔγραψε πραγματείαν Περὶ Ἰλιάδος[3]), Πρὸς τὰς ἀθετήσεις[4]) (πιθανῶς κατὰ Ἀριστάρχου τὸν διδάσκαλον ὑπερασπιζόμενος) καὶ Διορθωτικά[5]). Ἐν γένει ὁ Ἀθηναῖος κριτικὸς ἠσχολεῖτο περὶ τὴν διάδοσιν καὶ ὑπεράσπισιν τῶν ὑπὸ τοῦ διδασκάλου εἰρημένων[6]). Ἀλλ', ἐπειδὴ μόνον τὰς ἐπιγραφὰς τῶν συγγραμμάτων αὐτοῦ καί τινας μικρὰς σημειώσεις περὶ τῶν διορθώσεων αὐτοῦ ἔχομεν, οὐ δυνάμεθα κρίνειν περὶ τῆς ἀξίας αὐτῶν. Κρίνοντες ὅμως ἐκ τούτου, ὅτι ὁ Δίδυμος τὰ συγγράμματα τοῦ Καλλιστράτου ὑπ' ὄψιν εἶχεν, εἰκάζομεν, ὅτι ὁ ἀνὴρ ἐν οὐ σμικρᾷ τιμῇ παρὰ τοῖς μεταγενεστέροις ἦν.

Ὁ δὲ κορυφαῖος τῶν μαθητῶν τοῦ Ἀριστοφάνους, Ἀρίσταρχος ὁ Σαμόθρᾳξ[7]), ζῶν ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος ἐτελεύτησε περὶ τὸ 72ον ἔτος τῆς αὐτοῦ ἡλικίας ἐν Κύπρῳ, ὅπου Πτολεμαίου τοῦ Φύσκωνος τοὺς γραμματικοὺς ἐκ τῆς Ἀλεξανδρείας διώξαντος κατέφυγεν. Ὅσον μέγας ὁ Ἀριστοτέλης ἐν τῇ φιλοσοφίᾳ, τοσοῦτον καὶ ὁ Σαμόθρᾳξ ἐν τῇ γραμματικῇ καὶ κριτικῇ. Ἂν δέ τις ἐξαιρέσῃ τὸν Πυθαγόραν, οὐδεὶς τῆς ἀρχαιότητος ἀνὴρ οὕτω σφόδρα

---

1) Fabr., Biblioth. Graec. V, 560. 2) Ἑνετ. σχολ. εἰς Ἰλιάδ. Γ 18. 3) Σχολ. Διδύμ. εἰς Ἰλιάδ. Β 111 καὶ 435. 4) Σχολ. εἰς Ἰλιάδ. Δ 523. 5) Εἰς Ἰλιάδ. Ξ 255. 6) Ἑνετ. σχολ. εἰς Ἰλιάδ. Τ 327. 7) Ὅρα Σουΐδαν ἐν λ.

ὑπό τῶν μαθητῶν ἐτιμήθη, ὡς ὁ Ἀρίσταρχος· Πολλαχοῦ ὀνομάζεται ὁ κορυφαῖος ἐν τοῖς γραμματικοῖς, πάνυ ἄριστος γραμματικός, ὁ κατ' ἐξοχήν, ὁ ἀνήρ. Οἱ γραμματικοὶ προὐτίμων τούτου ἡγουμένου πλανηθῆναι, ἢ τοῖς ἄλλοις τὰ ἀληθῆ λέγουσιν ἕπεσθαι. Οἱ λόγοι αὐτοῦ εἶχον κῦρος χρησμοῦ! Ὁ Ῥόδιος φιλόσοφος, ὁ Παναίτιος, ὀνομάζει τὸν Ἀρίσταρχον μάντιν διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων διανοίας[1]). Οὕτω τὸ ὄνομα τοῦ κριτικοῦ τὸ πρότυπον ἐγένετο, Alter Aristarchus, λέγει ὁ Κικέρων[3]). Εἰ καὶ οἱ ἀρχαῖοι ἐπαινοῦντες μέχρις ὑπερβολῶν ἔφθανον, ὅμως ἀναντιρρήτως ὁ Σαμόθραξ ἦν ὁ κορυφαῖος τῆς αὐτοῦ ἐποχῆς κριτικὸς καὶ τὸ πρότυπον τῶν μεταγενεστέρων.

Ὁ Ἀρίσταρχος ἠσχολήθη μὲν καὶ περὶ ἄλλους ποιητάς, ὅμως τὸ μέγιστον τῆς αὐτοῦ δόξης μέρος ἐκ τῆς ἐξηγήσεως καὶ διορθώσεως τῶν ὁμηρικῶν ἐπῶν ἐκτήσατο. Ὀρθῶς δὲ κρίνομεν τὴν ἀξίαν τοῦ ἀνδρὸς μόνον, ἂν ἀναλογισθῶμεν, ὅτι τὰ ὁμηρικὰ ἔπη μέχρις αὐτοῦ οὐ μόνον ἀλληγορικῶς ἡρμηνεύοντο, ἀλλὰ καὶ κατὰ ἠθικοὺς λόγους διωρθοῦντο. Ὁ Σαμόθραξ πρῶτος πιστὸς ἐν τῇ ἑρμηνείᾳ τῶν ὁμηρικῶν λέξεων ἐμμένων τὴν σοφίαν τοῦ Μελησιγενοῦς ἐν τοῖς φυσικοῖς ὁρίοις περιώρισεν[4]). Ἂν δὲ παραβάλωμεν τὸν κριτικὸν τοῦτον πρὸς τὸν τολμηρὸν Ζηνόδοτον, ὅστις στίχους καὶ φράσεις εἰς τὰ ὁμηρικὰ ἔπη ὑπέβαλεν, ὅπως τὸν Ὅμηρον Ὁμηρικώτερον ἀναδείξῃ, ἐννοοῦμεν τὴν ἀξίαν τοῦ ἀνδρός. Εἰ καὶ ὁ Ἀρίσταρχος ἐν παραβολῇ πρὸς τοὺς νεωτέρους μετά τινος τόλμης τὸν Ὅμηρον διώρθωσε καὶ οὐχὶ ὀλίγους στίχους ἠθέτησεν, ὅμως οὐδαμοῦ τῶν σχολίων λέγεται, ὅτι οὗτος ἰδίους στίχους ὑπέβαλεν. Διότι οὕτω σφόδρα τὰ ἀρχαῖα χειρόγραφα ἐσέβετο, ὥστε ὑπὸ τῶν Σχο-

1) Σχολ. εἰς Ἰλιάδ. Δ 485 „Καὶ μᾶλλον πειστέον Ἀριστάρχῳ ἢ τῷ Ἑρμαπίᾳ, εἰ καὶ δοκεῖ ἀληθεύειν.“ Εἰς Ἰλιάδ. Β 316 „Ἀλλ' ἐπειδὴ οὕτω δοκεῖ στίζειν τῷ Ἀριστάρχῳ, πειθόμεθα αὐτῷ, ὡς πάνυ ἀρίστῳ γραμματικῷ.“ 2) Ἀθήν. XIV, 634 C. 3) Epistol. fam. IX, 10. 4) Prolegom. ad Homer. σελ. 165.

λιαστῶν ἀποδίδοσαι αὐτῷ περιττὴ εὐλάβεια[1]). Εὐτυχὴς ὁ Ὅμηρος, ὅτι τέλος τοιούτου διορθωτοῦ ἔτυχεν, εὐτυχέστερος δ', ὅτι οἱ σύγχρονοι καὶ οἱ μεταγενέστεροι τὴν πρὸς τὸν ποιητὴν εὐλάβειαν τοῦ κριτικοῦ ἐπεδοκίμασαν, εὐτυχεῖς τέλος καὶ ἡμεῖς, ὅτι ὁ τοῦ ἡμετέρου αἰῶνος Χαλκέντερος, ὁ Lehrs, τὸ βαρὺ ἔργον ἀνεδέξατο, ἵνα τὰς ὁμηρικὰς τοῦ Ἀριστάρχου σπουδὰς συλλέξῃ καὶ ἑρμηνεύσῃ.

Ἀλλὰ καὶ ὁ Ἀρίσταρχος ἠθέτει πολλοὺς στίχους. Τὰ διφορούμενα ἐθεώρει ἀμφίβολα καὶ ὡς ἀναρμόστως παρεμβεβλημένα. Διὰ τοῦτο ἠθέτει τὰ χωρία, ἅπερ ἀνακεφαλαιώσεις προηγουμένων στίχων[2]) ἦσαν. Ὡσαύτως ἠθέτει οὐ μόνον τὰς συνωνύμους λέξεις, αἵτινες ἐν δυσὶ κατὰ συνέχειαν στίχοις εὑρίσκοντο, διὰ τὸ περιττόν[3]), ἀλλὰ καὶ στίχους ἀσθενῆ ἢ μὴ ποιητικὴν σημασίαν ἔχοντας[4]). Ἐκ τούτου ὁρμώμενος ὁ Κικέρων εἶπεν· „Aristarchus Homeri versum negat, quem non probat“[5]). Εὐτυχῶς δ' οὐ πάντας τοὺς στίχους, ὅσους ἠθέτει, ἐξήλειφεν, ἀλλὰ μόνον δι' ὀβελοῦ ἐσημείου[6]). Δυστυχῶς ὅμως ὁ Ἀριστάρχειος ὀβελὸς ἐγένετο αἰτία, ὅπως οἱ τολμηρότεροι τῶν μεταγενεστέρων τοὺς δι' ὀβελοῦ σημειωθέντας ἐξαλείψωσιν. Ἐκεῖ δ', ἔνθα ὁ Ἀρίσταρχος εὕρισκε φράσεώς τινος δύο γραφὰς ἴσην σημασίαν ἐχούσας, προὐτίμα[7]) τὴν μᾶλλον τῷ ὁμηρικῷ ἔθει ἁρμόζουσαν. Τούτου δ' ὁ μέγας ἀνὴρ ἐπετύγχανε διὰ τὴν βαθεῖαν γνῶσιν καὶ τὴν λεπτὴν αἴσθησιν,

1) Σχόλ. εἰς Ἰλιάδ. I, 222 „Ἄμεινον οὖν εἶχεν ἄν, φησὶν Ἀρίσταρχος, εἰ ἐγέγραπτο ἄψ ἐπάσσαντο (ἀντὶ ἐξ ἔρον ἕντο), ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον· ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐ μετέθηκεν, ἐν πολλοῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν.“ Παράβαλ. Lehrs, De Arist. stud. homer. σελ. 375. 2) Παραδείγματος χάριν Ἰλιάδος Α 365. Σ 444. Ὀδυσσ. Ψ 310. 3) Lehrs, De Aristarch. stud. Homer. σελ. 359. 4) Σχόλ. εἰς Ἰλιάδ. Δ 515 καὶ Ρ 172 „Μεμείωκε τὴν ἔμφασιν καὶ τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίσταρχος.“ 5) Epistol. fam. III, 11. 6) Διὰ τοῦτο ὁ Αὐσόνιος λέγει περὶ Ἀριστάρχου XVIII

Quique notas spuriis versibus opposuit.

7) Lehrs αὐτόθι σελ. 376 „Πῶς δ' αἱ καὶ Πῶς δαί. Καὶ οὕτως ἀκριβέστερον τὸ ὁμηρικὸν ἔθος ἀπεδείκνυτο· καὶ γὰρ ἄλλων τὸ δέον ἦν παραδέξασθαι καὶ τὸ σύνηθες προὐκρίνετο.“

ἣν περί τε τὴν ὁμηρικὴν γλῶσσαν καὶ τὰ πράγματα αὐτὰ εἶχεν. Πρὸς δὲ ὁ Σαμόθραξ οὔτε τῶν ἐνστατικῶν, οὔτε τῶν λυτικῶν φίλος ἦν, οἵτινες περὶ πάντων ἀπορίας ἤγειρον καὶ λύσεις ἀπήτουν. Παραδείγματος χάριν ἐν τῇ ἐποχῇ αὐτοῦ ἠγέρθη τὸ ζήτημα, διὰ τί ὁ ποιητὴς ἐν τῷ καταλόγῳ ἐκ τῶν Βοιωτῶν ἤρξατο. Πρὸς τὸ ζήτημα τοῦτο ὁ Ἀρίσταρχος ἀπεκρίνετο, ὅτι οὐδεμία αἰτία ὑπάρχει. Διότι, καὶ εἰ ὁ ποιητὴς ἐξ ἄλλων ἤρχετο, αὖθις ἠδύνατό τις τὴν αἰτίαν ζητεῖν [1]).

Κατὰ τὸν Σουίδαν ὁ Σαμόθραξ ἔγραψεν 800 ὑπομνήματα, δηλαδὴ παραφράσεις ἢ ἐξηγήσεις λέξεων, ὡς δεικνύει τὸ κάτωθι παράδειγμα [2]). Ἐπειδὴ δ' ὁ Ἀμμώνιος συνέγραψε σύγγραμμα ἔχον τὴν ἐπιγραφὴν Περὶ τοῦ μὴ γεγονέναι πλείους ἐκδόσεις τῆς Ἀριστάρχου διορθώσεως [3]), ἠγέρθη τὸ ζήτημα, εἰ ὁ Ἀρίσταρχος μίαν ἢ πλείονας διορθώσεις τῶν ὁμηρικῶν ἐπῶν ἐξέδωκε. Ὅτι ἐφέροντο δύο τοῦ Σαμόθρακος διορθώσεις, ἀναντίρρητον. Διότι συχνάκις ἐν τοῖς σχολίοις εὑρίσκομεν τὰς φράσεις αἱ Ἀριστάρχου, αἱ Ἀριστάρχειοι, διήλλαττον αἱ Ἀριστάρχου, ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου. Πολλαχοῦ δὲ φέρονται γραφαὶ τῆς μιᾶς ἢ τῆς ἑτέρας τῶν διορθώσεων, ἢ καὶ τῶν δύο ὁμοῦ. Ἀλλὰ τὸ ζήτημά ἐστιν, εἰ αὐτὸς ὁ Ἀρίσταρχος καὶ τὰς δύο διορθώσεις ἐξέδωκε. Ὁ μὲν Villoison [4]), οὗ τὴν γνώμην ἠσπάσθη καὶ ὁ Wolf [5]), νομίζει, ὅτι ἡ δευτέρα ἔκδοσις ἐγένετο ὑπὸ τῶν κληρονόμων, ἢ τῶν μαθητῶν τοῦ Ἀριστάρχου ἐκ τῶν παρεπιγραφῶν, ἢ κατὰ τὰ ὑπομνήματα καὶ τὴν στοματικὴν τοῦ δι-

---

1) Ἐνετ. σχολ. εἰς Ἰλιάδ. Β 494 „Ἦρκται δὲ ἀπὸ Βοιωτῶν κατὰ μὲν Ἀρίσταρχον οὐκ ἔκ τινος παρατηρήσεως.“ Ἕτερον σχόλιον „Ἀρίσταρχός φησι κατὰ ἐπιφορὰν αὐτὸν τὴν ἀρχὴν ποιήσασθαι· εἰ γὰρ καὶ ἀπ' ἄλλου ἔθνους ἀπήρξατο, ἐζητοῦμεν ἂν τὴν αἰτίαν τῆς ἀρχῆς.“ 2) Σχολ. εἰς Ἰλιάδ. Β 435 „Μηκέτι νῦν δῆθ' αὖθι λεγώμεθα] οὕτως αἱ Ἀριστάρχου λέξεις ἐκ τοῦ Β τῆς Ἰλιάδος· δηθὰ πολὺν χρόνον· αὖθι αὐτοῦ, λεγώμεθα συναθροιζώμεθα. Ὁ δὲ λόγος τοιοῦτος· μηκέτι νῦν ἐπὶ πολὺν χρόνον αὐτοῦ συνηθροισμένοι μένωμεν.“ 3) Σχολ. Διδύμ. εἰς Ἰλιάδ. Κ 397. 4) Proleg. ad Iliad. σελ. 27. 5) Proleg. ad Homer. σελ. 238.

διδασκάλου παράδοσιν. Ὁ δὲ Lehrs [1]) ἀποφαίνεται, ὅτι αὐτὸς ὁ Ἀρίσταρχος δύο διορθώσεις ἐποίησεν. Διότι τὴν ἐπιγραφὴν τοῦ συγγράμματος τοῦ Ἀμμωνίου ἑρμηνεύει οὕτως· Περὶ τοῦ ὅτι οὐχ ὑπῆρχον πλείονες ἐκδόσεις τῆς Ἀρισταρχείου διορθώσεως. Ἡ τοῦ Villoison εἰκασία ὡς δυσχερείας παρέχουσα φαίνεται ἧττον πιθανή. Διότι, εἰ αἱ μαθηταὶ τοῦ Ἀριστάρχου ἐκ τῆς στοματικῆς παραδόσεως ἐποίουν διορθώσεις, ὤφειλον ἴσως εἶναι πολλαὶ ἐκδόσεις καὶ οὐχὶ μία. Πρὸς δέ, τὰ τοιαῦτα τῶν μαθητῶν ἔργα μόλις ἠδύναντο περιβληθῆναι τὸ ὄνομα τοῦ διδασκάλου. Διὰ τοῦτο ἡ τοῦ Lehrs εἰκασία φαίνεται πιθανωτέρα καὶ ἡ ἑρμηνεία αὐτοῦ οὐχὶ ἀφυής. Ὁ Ἀρίσταρχος λοιπόν, ὡς δοκεῖ, προϊόντος τοῦ χρόνου ἐν τῇ πρώτῃ διορθώσει κατεῖδεν ἁμαρτήματα, ἅπερ ἐν τῇ δευτέρᾳ ἐπειράθη ἐξαλεῖψαι. Διὰ τοῦτο δὴ καὶ ἐπαινεῖται ἡ δευτέρα διόρθωσις καὶ τοῦτο σημαίνει ἡ φράσις, πρότερον δὲ γράφων μετέγραψεν ὕστερον [2]).

Εἰ καὶ αἱ ἐκδόσεις τοῦ Ἀριστάρχου μετὰ τῶν κριτικῶν αὐτῶν παρατηρήσεων οὐ περιῆλθον μέχρις ἡμῶν, ὅμως τὰ σχόλια πολλὰς ὁλοκλήρους φράσεις τοῦ μεγάλου ἀνδρὸς περιέχουσιν. Διότι οἱ νεώτεροι κριτικοὶ νομίζουσιν, ὅτι ἐκεῖ, ἔνθα ὑπάρχουσιν αἱ φράσεις, φησὶν ὁ Ἀρίσταρχος, σεσημείωται Ἀρίσταρχος, κατὰ μὲν Ἀρίσταρχον, αὐτὰς τὰς λέξεις τοῦ Σαμόθρᾳκος ἐνορῶσιν. Διότι οἱ μαθηταὶ αὐτοῦ καὶ ἰδίως Διονύσιος ὁ Θρᾷξ, ὁ Παρμενίσκος, ὁ Τρύφων καὶ ὁ Δίδυμος ἐκ τῶν συγγραμμάτων τοῦ διδασκάλου ἀπέσπων, τὰ δ' ἀποσπάσματα εἰς τὰ φερόμενα σχόλια εἰσέρρευσαν. Πρὸς δὲ καὶ ἐκεῖ, ἔνθα μνεία τῆς διπλῆς γίνεται, ὑπάρχουσιν Ἀριστάρχειοι φράσεις. Διότι αὕτη ἦν σημεῖον, ὅτι ὁ κριτικὸς περὶ τῆς λέξεως, περὶ ἣ ἡ διπλῆ ἐσημείωσέ τι [3]). Ἡ τοῦ Ἀριστάρχου ἔκδοσις ταχέως ἐγένετο ἀξιωματικὴ μαρτυρία, Παράδοσις [4]). Καὶ δὴ ἐν τοῖς σχολίοις συχνάκις εὑρίσκομεν τὰς

---

1) De Aristarch. stud. Homer. σελ. 27. 2) Σχόλ. εἰς Ἰλιάδ. Τ 386.
3) Ἐνετ. σχόλ. εἰς Ἰλιάδ. Κ 53. Δ 6. Ν 381. 4) Μέγ. ἐτυμολ. σελ. 815, 16

φράσεις, ἐπείσθη ἡ παράδοσις Ἀριστάρχῳ[1]), ἐπείσθησαν αὐτῷ οἱ γραμματικοί[2]), ἐκράτησεν ἡ ἀνάγνωσις αὐτοῦ[3]), οὕτως ἔχει τὰ τῆς ἀναγνώσεως[4]). Τὸ δ' ἀξιωματικὸν τοῦ Ἀριστάρχου κῦρος οὕτω μέγα ἦν, ὥστε οἵ τε σύγχρονοι καὶ οἱ μεταγενέστεροι οὐκ ἐτόλμων, ἵνα τῆς Ἀρισταρχείου διορθώσεως ἀποκλίνωσι καὶ ἐκεῖ, ἔνθα γραφή τις αὐτοῦ προδήλως ἡμαρτημένη ἦν[5]).

Τῶν δὲ πολυαρίθμων τοῦ Σαμόθρᾳκος μαθητῶν ἀριθμοῦνται περὶ τοὺς τεσσαράκοντα, οἵτινες κατὰ τὸ μᾶλλον ἢ ἧττον περὶ τὰ ὁμηρικὰ ἔπη ἠσχολήθησαν. Ἀλλ', ἐπειδὴ ἡ τῶν ἔργων αὐτῶν ἐξέτασις ἄγει ἡμᾶς εἰς μέγα μῆκος, παραπέμπομεν τὸν βουλόμενον εἰς τὴν διατριβὴν τοῦ Sengebusch[6]) Ἀρισταρχείων τινῶν τὰ ἔργα πραγματευθέντος. Ἀλλ' ὁ Σαμόθρᾳξ οὐκ εἶχε ὀπαδοὺς μόνον τοὺς ἰδίους μαθητάς. Διότι διὰ τῆς ὀξείας αὐτοῦ κρίσεως τούς τε συγχρόνους καὶ μεταγενεστέρους εἰς δύο στρατόπεδα διεῖλεν. Οἱ μὲν θερμοὶ τῆς Ἀρισταρχείου κριτικῆς ὀπαδοὶ ἦσαν, οἱ δ' ἔψεγον αὐτὴν καὶ ἰδίως οἱ περὶ τὸν Κράτητα, πρὸς οὓς μετ' ὀλίγον μεταβαίνομεν. Ὁ δὲ φιλολογικὸς ταύτης τῆς ἐποχῆς κόσμος διῃρέθη εἰς Ἀρισταρχείους καὶ Κρατητείους. Διατριβαὶ καὶ συγγράμματα κατ' ἀλλήλων ἐγράφοντο.

Πρὶν ὅμως μεταβῶμεν εἰς τὴν Περγαμηνὴν σχολὴν μνημονεύομεν τοῦ τελευταίου ταύτης τῆς περιόδου ἀνδρός, Διδύμου τοῦ Χαλκεντέρου καὶ Βιβλιολάθα[7]). Οὗτος ἠσχολήθη μὲν καὶ περὶ ἄλλους ποιητάς, ἰδίως δὲ περὶ τὸν ἡμέτερον. Ὁ πολυμαθὴς ἀνὴρ ἐν τῷ συγγράμματι αὐτοῦ Περὶ τῆς Ἀριστάρχου διορθώσεως ἐπραγματεύετο

„Διαφέρει χρῆσις παραδόσεως· χρῆσις μὲν γὰρ λέγεται ἡ τῶν ἀρχαίων ποιημάτων μαρτυρία, παράδοσις δὲ ἡ τῶν γραμματικῶν· οἷον τὰ μὲν Ὁμήρου καλεῖται χρῆσις, τὰ δὲ Ἀριστάρχου τοῦ γραμματικοῦ παράδοσις."

1) Σχόλ. εἰς Ἰλιάδ. Δ 188. Ε 280. Φ 162. Ω 316. 2) Εἰς Ἰλιάδ. Π 415. 3) Εἰς Ἰλιάδ. Α 572. Ε 69. Ζ 150. 4) Σχόλ. εἰς Ἰλιάδ. Δ 651. Ψ 387 5) Σχόλ. εἰς Ἰλιάδ. Α 175. Μ 158, 193, 201, 258. 6) Homerica dissert. prior σελ. 130. 7) Σουίδας ἐν λ. Δίδυμος ὅρα καὶ Fabric. Biblioth. Graec. I, 386 καὶ VI, 863.

τὰς πρὸ τοῦ Ἀριστάρχου, τὰς Ἀρισταρχείους καὶ τὰς μετὰ τοῦτον γραφάς. Διὰ τὴν ἀπώλειαν δὲ τούτου ὑπὲρ πάντα τὰ ἄλλα συγγράμματα τοῦ αὐτοῦ εἴδους ἄξιον λυπεῖσθαι. Ὁ Δίδυμος ἐπεδοκίμαζε μὲν ἐν τοῖς πλείστοις τὴν τοῦ Ἀριστάρχου διόρθωσιν, ὅμως εἶχε καὶ τὴν ψῆφον ἐλευθέραν, ὅπως καὶ ὑπὲρ τῶν ἄλλων ψηφίσῃ, εἴ τι τούτων κρεῖττον ἐφαίνετο. Ὁ Βιβλιολάθας κατὰ τὸ πλεῖστον ἔγραψεν ὑπομνήματα, ἅπερ ἦσαν συγκεφαλαιωτικαὶ ἐπιτομαὶ τῶν ὑπομνημάτων τῶν προγενεστέρων. Διὰ τοῦτο ὁ Χαλκέντερός ἐστιν ὁ πάππος πάντων τῶν Σχολιαστῶν, οἵτινες ἀπὸ τοῦ πρώτου Μ·Χ αἰῶνα ἀρξάμενοι ἔργα ἐν συγκρίσει πρὸς τὰ τοῦ Διδύμου εὐτελῆ ἐποίησαν. Τὰ ὑπὸ τὸ ὄνομα ὅμως τοῦ Διδύμου φερόμενα σχόλια νόθα εἰσὶ γραφέντα ὑπὸ ἀγνώστου γραμματικοῦ ἀποσπάσαντος ἰδίως ἐκ τοῦ Διδύμου, οὗ καὶ μνημονεύει. Ἐν γένει ὁ Χαλκέντερος ἦν ὁ συγκεφαλαιωτικὸς νοῦς ταύτης τῆς περιόδου, ὡς ὁ Ἀριστοτέλης τῆς ἡγουμένης. Εἰς τοῦτον λήγει ἡ γονιμότης τῶν γραμματικῶν καὶ κριτικῶν τῆς Ἀλεξανδρείας. Διότι οἱ μετὰ τοῦτον ἢ ἐμμένουσιν ἐν τοῖς ὑπὸ τῶν προγενεστέρων εἰρημένοις, ἢ εἰς χείρονα ὁδὸν βαίνουσιν. Ἀλλὰ πρὶν μεταβῶμεν εἰς τὴν ἑπομένην περίοδον τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν, ὀλίγας περὶ τῆς Περγαμηνῆς σχολῆς λέξεις χαράξωμεν.

Ἡ Περγαμηνὴ σχολὴ ἤκμαζε μὲν παραλλήλως πρὸς τὴν Ἀλεξανδρινήν, ὅμως οὐκ εἴπομέν τι περὶ αὐτῆς, ὅπως μὴ τὴν σειρὰν τῶν Ἀλεξανδρινῶν διακόψωμεν. Ὡς οἱ Πτολεμαῖοι ἐν Ἀλεξανδρείᾳ, οὕτως οἱ Ἄτταλοι ἐν Περγάμῳ τοὺς σοφοὺς τῆς ἐποχῆς ἄνδρας ἐπέσπων. Ἡ δὲ πολιτικὴ αὐτῶν ζηλοτυπία καὶ εἰς τοὺς περὶ αὐτοὺς σοφοὺς μεταδοθεῖσα ἐπὶ τῶν ὁμηρικῶν σπουδῶν ἐπέδρασεν. Καίπερ μὴ γινώσκοντες, εἰ ἐν Περγάμῳ, ὡς ἐν Ἀλεξανδρείᾳ, ὑπῆρχε Μουσεῖον, ὅμως ἐκ τῶν Περγαμηνῶν κύκλων τοῦ Σουίδα[1]) ἀνάλογόν τι εἰκάζομεν. Ὁ δὲ Στράβων[2]) ἱστορεῖ, ὅτι Εὐμένης ὁ δεύτερος κατεσκεύασε βιβλιοθήκας. Ἐν

1) Ἐν λ. Μουσαῖος Ἐφέσιος. 2) XIII, 4.

Περγάμῳ ἐπὶ τοῦ πρώτου ἤδη Ἀττάλου αἱ σπουδαὶ τῆς φιλοσοφίας, τῆς μαθηματικῆς καὶ τῶν φυσικῶν ἐπιστημῶν ἤκμαζον.

Ἀρχηγὸς δὲ τῆς Περγαμηνῆς σχολῆς ἦν Κράτης ὁ Μαλλώτης[1]), σύγχρονος τοῦ Ἀριστάρχου. Ὁ στωικὸς οὗτος φιλόσοφος πρεσβευτὴς ὑπὸ Εὐμένους τοῦ δευτέρου εἰς Ῥώμην πεμφθεὶς ἐπί τινα χρόνον τοὺς νέους ἐκεῖ ἐδίδασκεν. Περὶ τοῦ κριτικοῦ τούτου μεγάλη διαφωνία ἐπικρατεῖ. Ὁ μὲν Wolf[2]) μήτε ὡς γραμματικόν, μήτε ὡς ἐξηγητήν, μήτε ὡς κριτικὸν ἀναγνωρίζει, ὁ δὲ Nitzsch[3]) ἄκριτον τοῦ Ἀριστάρχου ἀντίπαλον ὀνομάζει. Τοὐναντίον ὁ B. Thiersch[4]) μετά τινος ἐπιτυχίας ἐπειράθη, ἵνα τὴν ὑπὸ τῆς ἀρχαιότητος ἤδη ἀφαιρεθεῖσαν ἀξίαν τοῦ ἀνδρὸς ἀποδώσῃ. Ὁμολογοῦμεν μέν, ὅτι ὁ Μαλλώτης τοσοῦτον τῆς ὀρθῆς ὁμηρικῆς κριτικῆς ἀπέσχεν, ὅσον τῆς Ἀρισταρχείου ἀπέκλινεν, ἀλλὰ καὶ αἱ κρίσεις τῶν εἰρημένων σοφῶν ἀνδρῶν ἐν μέρει ὑπερβολικαί εἰσιν. Ὁ Σαμόθραξ τὴν σοφίαν τοῦ Ὁμήρου ἐν στενοῖς ὁρίοις περιορίσας ἀναντιρρήτως μέγα πρὸς τὰ κρείττω βῆμα ἐποίησεν, ὁ Μαλλώτης ὅμως, ὡς φιλόσοφος καὶ ὡς ζῶν ἐν ἀτμοσφαίρᾳ, ἐν ᾗ αἱ φυσικαὶ ἐπιστῆμαι ἤκμαζον, οὔτε ἐπιτήδειος ἦν, οὔτε τὴν κλίσιν ᾐσθάνετο, ὅπως τὸν θεσπέσιον ποιητὴν στερήσῃ τῶν γνώσεων, ἃς οὔτε αὐτὸς οὔτε οἱ περὶ αὐτὸν ἠγνόουν. Ἐν ᾧ ὁ Ἀρίσταρχος μέγα βῆμα ἐποίει, ὁ Κράτης διετήρει τὴν ἀρχαίαν τῆς κριτικῆς μέθοδον, ἣν οἱ πρὸ αὐτοῦ φιλόσοφοι καὶ σοφισταὶ εἶχον. Καὶ τῇ ἀληθείᾳ παρὰ φιλοσόφου[5]) ταύτης

---

1) Σουΐδας ἐν λ. Κράτης. 2) Proleg. ad Homer. σελ. 279, σημ. 70. 3) Ὅρα ἐπίκρισιν τῆς διατριβῆς τοῦ Cramer, Vorschule zu Homer ἐν τῇ Allg. Literaturzeitung 1831 ἀριθμ. 90 σελ. 715. 4) Ueber das Zeitalter und Vaterland des Homer σελ. 29—64. 5) Εὐφυέστατα ὁ Σενέκας λέγει Epist. LXXXVIII, 4 „Nisi forte tibi Homerum philosophum fuisse persuadent, quum iis ipsis quibus colligunt negent. Nam modo stoicum illum faciunt, virtutem solam probantem et voluptates refugientem et ab honesto ne immortalitatis quidem pretio recedentem; modo Epicureum, laudantem statum quietae civitatis et inter convivia cantusque vitam exigentis: modo Peripateticum ..... modo Academicum ..... “

τῆς ἐποχῆς ὡς διορθωτοῦ τῶν ὁμηρικῶν ἐπῶν οὐ κρείττονα προσδοκῶμεν.

Ὁ Κράτης ὅμως τὴν μέθοδον ταύτην ἐπὶ τὰ βελτίω ἀνέπτυξεν. Ὁ κριτικὸς ἐξέδω Διόρθωσιν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις θ', ἥτις ὑπό τε τῶν Σχολιαστῶν καὶ τοῦ Εὐσταθίου συχνάκις μνημονεύεται. Αἱ δὲ παρατηρήσεις αὐτοῦ ἦσαν ἐθνογραφικαί, τοπογραφικαί, γεωγραφικαί, αἰσθητικαὶ καὶ γενικωτέρου τινὸς εἴδους γραμματικαί. Ἂν δέ τις ταύτας παρατηρήσῃ ἐμβριθῶς, εὑρίσκει μὲν ἴσως ἁμαρτήματά τινα, ὅμως ἐκ τούτων οὐ δύναται τὸν Κράτητα ἄκριτον τοῦ Ἀριστάρχου ἀντίπαλον ὀνομάσαι. Εἰ καὶ ὁ Μαλλώτης οὐκ εἶχε τὴν γραμματικὴν τοῦ Σαμόθρακος αἴσθησιν, ὅμως τῇ ἀνωμαλίᾳ ἑπόμενος ἴσως οὐ διέφθειρε τὰ ὁμηρικὰ ἔπη, ὡς ὁ Ἀρίσταρχος, ὅστις τὴν ἀναλογίαν προείλετο 1). Ὁ Περγαμηνὸς κριτικὸς τοῦ συγγράμματος τοῦ Χρυσίππου ἐπωφεληθεὶς συνέγραψεν ἓξ βιβλία περὶ ἀνωμαλίας 2) κατὰ τῆς ἀναλογίας τοῦ Ἀριστάρχου. Εἰ καὶ ἐν τῇ περιόδῳ ταύτῃ ἡ Ἀριστάρχειος σχολὴ ἐκράτει, καὶ πρὸς τὸν Κράτητα δυσμενῶς εἶχεν, ὅμως περιεσώθησαν ἡμῖν εἰδήσεις, καθ' ἃς ὁ ἀνὴρ ἐν οὐ σμικρᾷ τιμῇ ἦν. Ὁ μὲν Γέλλιος ὀνομάζει αὐτὸν grammaticum illustrem, ὁ δ' Οὐάρρων grammaticum nobilem, πολλαχοῦ δὲ τῶν σχολίων ὀνομάζεται Ὁμηρικός, Κριτικός, Κορυφαῖος κριτικῶν. Κατὰ δὲ τὸν Σουΐδαν 3) αὐτὸς ὁ Ἀρίσταρχος μεταβὰς εἰς Πέργαμον διημιλλήσατο πρὸς τὸν ἄνδρα.

Ὡσαύτως οἱ τοῦ Κράτητος μαθηταί, οἵτινες Κρατήτειοι, ἢ οἱ ἐκ Περγάμου γραμματικοὶ ὀνομάζονται, ἠσχολοῦντο περὶ τὸν Ὅμηρον. Ἐξοχώτεροι τούτων εἰσὶ Ζηνόδοτος ὁ νεώτερος γράψας Πρὸς τὰ ὑπ' Ἀριστάρχου ἀθετούμενα, Βιβλία δέκα περὶ τῆς ὁμηρι-

---

1) Gell. N. A. II, 25 „Ἀναλογία est similium similis declinatio, quam quidem proportionem vocant. Ἀνωμαλία est inaequalitas declinationum, consuetudinem sequens. Duo autem Graeci grammatici illustres Aristarchus et Crates summa ope ille ἀναλογίαν, hic ἀνωμαλίαν defensitavit.“ 2) Διογέν. Λαέρτ. VII, 192. 3) Ἐν λ. Ἀρίσταρχος.

κῆς συνηθείας, ἐν οἷς τὴν ὁμηρικὴν γλῶσσαν ἐξήταζε καὶ *Λύσεις ὁμηρικῶν ἀπορημάτων*[1]. Πρὸς δὲ μαθηταὶ τοῦ Κράτητος ἦσαν ὁ Ταυρίσκος, ὁ Τήλεφος, ὁ Ἰξίων, Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, ὁ περὶ τῆς Κρατητείου αἱρέσεως συγγράψας καὶ πλεῖστοι ἄλλοι. Τὰς ἀρχὰς τοῦ Κράτητος ἠσπάζοντο, ὡς εἰκός, καὶ οἱ φιλόσοφοι, ὡς Παναίτιος ὁ Ῥόδιος. Οἱ μαθηταὶ τοῦ Μαλλώτου σφοδρὸν πρὸς τοὺς Ἀρισταρχείους πόλεμον ἤγειραν. Καὶ ἐν ᾧ ὁ Σαμόθραξ πρὸς τὸν Μαλλώτην ἐπιστημονικὰς ἔριδας εἶχεν, οἱ μαθηταὶ τούτων ἔτρεψαν αὐτὰς εἰς ἀκόσμους ἔριδας. Πρὸ πάντων δὲ διακρίνεται ὁ Κρατήτειος Ἡρόδικος, ὅστις ἔν τινι ἐπιγράμματι τὴν πρὸς τοὺς Ἀρισταρχείους ἔχθραν αὐτοῦ δι' ὕβρεων ἐδήλωσεν[2].

ΚΕΦΑΛΑΙΟΝ Η'.

Διάδοσις καὶ περιπέτειαι τῶν ὁμηρικῶν ἐπῶν ἀπὸ Διδύμου τοῦ Χαλκεντέρου μέχρι Πορφυρίου.

Ἡ Ἑλλὰς ἤδη πρὸ πολλοῦ τὴν αὐτῆς ἐλευθερίαν ἀπώλεσεν. Οὔτε Πτολεμαῖοι, οὔτε Ἄτταλοι τοὺς νόας τῆς ἐποχῆς ἐπέσπων. Τῇ δὲ τοῦ Ἑλληνισμοῦ πτώσει ἡ πτῶσις τῆς πνευματικῆς γονιμότητος καὶ ὀξυνοίας ἀκολουθεῖ καὶ σὺν ταύτῃ αἱ ὁμηρικαὶ σπουδαί, ἂν μὴ μαραίνωνται, ἐξαμβλοῦνται. Τούτου ἕνεκεν ὀλίγων μόνον ἀνδρῶν δυνάμεθα μνημονεῦσαι, καὶ τούτων σμικρὸν ἐπὶ τῆς τύχης τῶν

---

1) Ἐνετ. σχόλ. εἰς Ἰλιάδ. Α 1. Β 12. Γ 236. 2) Ἀθην. Ε 222

Φεύγετ' Ἀριστάρχειοι ἐπ' εὐρέα νῶτα θαλάσσης
  Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλεν
  τὸ σφὶν καὶ τὸ σφῷν καὶ τὸ μὶν ἠδὲ τὸ νίν.
Τοῦθ' ὑμῖν εἴη δυσπέμφελον· Ἡροδίκῳ δὲ
  Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

ὁμηρικῶν ἐπιδρασάντων. Διότι ἐν τῇ περιόδῳ ταύτῃ οἱ γραμματικοὶ περὶ τὴν ἑρμηνείαν τῶν ἐπῶν ἀσχολούμενοι οὐ συχνάκις εἰς τὴν κριτικὴν τὸν νοῦν προσέχουσιν. Οὗτοι ἔχοντες ὑπ᾽ ὄψιν τινὰ τῶν φερομένων διορθώσεων σπανίως ἐξέρχονται ταύτης, ὅπως τὴν γραφὴν ἄλλης διορθώσεως ἐπαινέσωσιν, ἢ ψέξωσι, καὶ ἔτι σπανιώτερον ἰδίαν διδόασιν. Ὑπὸ τὴν ἔποψιν ταύτην οἱ κριτικοὶ ταύτης τῆς περιόδου εἰσὶν ἐκλεκτικοὶ ἄνευ βεβαίας καὶ ὡρισμένης ἀρχῆς ἐπιδοκιμάζοντες ἢ ἀποδοκιμάζοντες. Μόλις δὲ παρὰ τοῖς κρείττοσι τῶν γραμματικῶν μνεία τῆς ἀναλογίας καὶ ἀνωμαλίας γίνεται. Ἀλλ᾽ ὅσον λυπούμεθα διὰ τὸ ἄγονον καὶ τὴν ἀκρισίαν ταύτης τῆς περιόδου, τοσοῦτον χαίρομεν, ὅτι οἱ ἄνδρες αὐτῆς οἱονεὶ τὴν ἰδίαν ἀσθένειαν κατιδόντες τολμηρῶν διορθώσεων ἀπέσχον. Διότι αἱ διορθώσεις τούτων ἔμελλον εἶναι οὕτως ἄκριτοι, ὡς καὶ αἱ ἑρμηνεῖαι.

Ὡς ἐπισημότερος ἀνὴρ ταύτης τῆς περιόδου λέγεται ὁ τοῦ Διδύμου θρεπτός, Ἀπίων ὁ ἐπικληθεὶς Μόχθος[1]). Οὗτος ἐπὶ μὲν Τιβερίου καὶ Κλαυδίου ἐδίδαξεν ἐν Ῥώμῃ, ὅπου Πλίνιος ὁ πρεσβύτερος ἐγνώρισεν αὐτόν, ἐπὶ δὲ Καλιγούλα εἰς Ἀλεξάνδρειαν ἐπανελθὼν διάδοχος τοῦ γραμματικοῦ Θέωνος ἐγένετο. Ὁ ἀνὴρ διὰ τῆς μεγάλης αὐτοῦ ἐπιμελείας πολλὰς καὶ παντοίας γνώσεις κτησάμενος καὶ τῶν συγχρόνων προέχων ὠνομάζετο Πλειστονίκης[2]), περιεργότατος γραμματικῶν[3]), ἀνὴρ δοκιμώτατος[4]) καὶ Ὁμηρικός. Ὁ Ἀπίων ἔγραψε σύγγραμμα Γλῶσσαι ὁμηρικαί, οὗ ὁ Εὐστάθιος[5]) συχνάκις μνημονεύει. Ὁ γραμματικὸς οὗτος κατὰ τὸν Σενέκαν[6]) ἔλεγεν, ὅτι ὁ Ὅμηρος τοὺς πρώτους τῆς Ἰλιάδος στίχους τελευταῖον ἐποίησεν. Διότι ὁ ποιητὴς διὰ τοῦ ΜΗ (τοῦ Μῆνιν ἄειδε) τὰς 48 τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας ῥαψῳδίας ὑπῃνίχθη. Ὡς δ᾽ ὁ Κράτης ἐν τῇ ἡγουμένῃ περιόδῳ, οὕτως

---

1) Σουίδας ἐν λ. Ἀπίων. 2) Gell. N. A. V, 14 καὶ VI, 8. Παράβαλ. Κλήμ. Ἀλεξ. Στρωμ. I, 285. 3) Εὐσέβ. Εὐαγγ. προπ. X, 10. 4) Τατιαν. Πρὸς Ἕλλην. κεφ. 37. 5) Εἰς Ἰλιάδ. σελ. 476. 6) Epist. LXXXVIII, 34.

ὁ Ἀπίων ἐν τῇ παρούσῃ ἔδιδε μεγάλας διαστάσεις τῇ τοῦ Ὁμήρου σοφίᾳ[1]). Εἰ καὶ ὡς γραμματικὸς ὁ Ἀπίων πάνυ ὀλίγα ἄξια λόγου ἐποίησεν, ὅμως ὡς ἑρμηνευτὴς τῶν ὁμηρικῶν λέξεων πλεῖστα καὶ διὰ τοῦτο συχνάκις μνημονεύεται[2]). Ὁ Μόχθος ἐξέδω καὶ διόρθωσιν τῶν ὁμηρικῶν ἐπῶν, ἧς οὔτε τὴν σχέσιν πρὸς τὴν Ἀριστάρχειον, οὔτε ἄλλο τι δυστυχῶς γινώσκομεν. Ἡ διόρθωσις ὅμως αὐτοῦ ὑπὸ μὲν τῶν ἀρχαίων μέγα ἐτιμᾶτο, ὑπὸ δὲ τῶν νεωτέρων ἡ τελευταία τῶν σπουδαιοτέρων ὁμηρικῶν διορθώσεων θεωρεῖται. Καθ᾽ ὅλον εἰπεῖν, ἐν τοῖς λειψάνοις τῶν ἔργων τοῦ Ἀπίωνος εὑρίσκομεν μὲν ματαιότητά τινα καὶ σοφιστικήν, ὅμως οὐ δυνάμεθα πιστεῦσαι καὶ τὰ ὑπὸ Ἰωσήπου περὶ αὐτοῦ λεγόμενα. Διότι ὁ Ἰουδαῖος, ὡς καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου εἴρηται, ἔγραφεν ἐξ ἐθνικοῦ μίσους πρὸς τὸν εἰς Ῥώμην κατὰ τῶν Ἰουδαίων πρεσβεύσανται[3]). Ἀπολλώνιος δ᾽ ὁ Θέωνος, κατὰ πᾶσαν πιθανότητα μαθητὴς τοῦ Ἀπίωνος, διώρθου τὴν ὁμηρικὴν φράσιν ἀνηρείψαντο[4]) εἰς ἂν ἠρείψαντο.

Περὶ τοὺς χρόνους δὲ τοῦ Ἀπίωνος Σέλευκος ὁ Ἀλεξανδρεὺς[5]) ὑπεμνημάτισε τήν τε Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν καὶ πεντάκις ἐν τοῖς ἐνετικοῖς σχολίοις ὡς διορθωτὴς τῶν ὁμηρικῶν ἐπῶν μνημονεύεται. Ἀλλ᾽ ὁ Gräfenhan[6]) εἰκάζει, ὅτι οὗτος οὐκ ἐποίησεν ὁλόκληρον διόρθωσιν, ἀλλ᾽ ὅτι αἱ μνημονευόμεναι γραφαὶ ἐκ τοῦ ὑπομνήματος αὐτοῦ ἐλήφθησαν. Τοῦτο οὐ φαίνεται πιθανόν. Διότι τῷ Σελεύκῳ ἀποδίδοται πολύστιχος, ἢ μᾶλλον πολύστικτος ἔκδοσις[7]). Ὁ δὲ κριτικὸς οὗτος προσέσχε τὸν νοῦν ἐπὶ τῆς στίξεως τῶς ὁμηρικῶν ἐπῶν[8]). Ἐν γένει τὴν περιόδον ταύ-

1) Ἀχιλλ. Τάτιος „Μαρτυροῦσι δὲ Κράτης καὶ Ἀπίων, ὅτι ἀστρονόμος Ὅμηρος.“ 2) Fabr. Bibl. Graec. I, 503. 3) Κατὰ Ἀπίων. II, 12. 4) Ἰλιάδ. Υ 234. 5) Σουίδ. ἐν λ. Σέλευκος. 6) Geschichte der class. Phil. III, 259. 7) Σχολ. εἰς Ἰλιάδ. Α 340 „Σέλευκος ἐν τῇ πολυστίχῳ γραφει ἀναιδέος· εὐεπίφορον γὰρ εἶναι τὸν Ἀχιλλέα εἰς τὸ ἀναιδῆ καλεῖν τὸν Ἀγαμέμνονα· „αἰὲν ἀναίδειαν ἐπιειμένε, κερδαλεόφρον“ καὶ αὐτόθι 258 οἱ περὶ μὲν βουλήν] διὰ τοῦ ν βουλήν, οὐ διὰ τοῦ ι. Οὕτως Ἀρίσταρχος καὶ ἐν τῇ πολυστίχῳ.“ 8) Ἔπεσι μὲν ὀνείδισον] Πτολεμαῖος καὶ Σέλευκος ἐπὶ τὸ ὀνείδισον

την χαρακτηρίζει τοὔθ', ὅτι οἱ γραμματικοί, ὑπομνηματισταὶ καὶ κριτικοὶ περὶ τὸν πνευματισμόν, τὸν τονισμὸν καὶ τὴν στίξιν τῶν ὁμηρικῶν ἐπῶν ἀσχολοῦνται. Τελευταῖον αἱ διορθώσεις τοῦ Σελεύκου πρὸς τὰς Ἀρισταρχείους παραβάλλονται. Ὁ δ' Ἀθήναιος διόρθωσίν τινα αὐτοῦ τῆς Ἀρισταρχείου προτιμᾷ[1].

Ὡσαύτως Ἡρωδιανός, ὁ Περὶ ὁμηρικῆς προσῳδίας[2]) *γράψας, κατὰ τὰ ἐνετικὰ σχόλια*[3]) *διώρθωσε τὰ ὁμηρικὰ ἔπη καὶ γραφαί τινες αὐτοῦ μνημονεύονται. Ἀλλ' ὁ* Gräfenhan[4]) *εἰκάζει, ὅτι αὗται ἐλήφθησαν ἐκ τοῦ εἰρημένου συγγράμματος τοῦ ἀνδρός, ὅπερ ἐν μεγάλῃ τιμῇ παρὰ τοῖς κριτικοῖς ἦν. Σύγχρονος δὲ τοῦ Ἡρωδιανοῦ ἦν Πτολεμαῖος ὁ Ἀσκαλωνίτης*[5]). *Δυστυχῶς πρὸς πολλοῖς ἄλλοις ἀπωλέσθησαν δύο σπουδαῖα τοῦ ἀνδρὸς συγγράμματα* Περὶ τῆς Κράτητος αἱρέσεως[6]) *καὶ* Περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως[7]), *ἐξ ὧν ἠδυνάμεθα κρίνειν ἀσφαλέστερον περὶ τῶν δύο σχολῶν τῆς ἡγουμένης περιόδου. Ἡ δ' ἀπώλεια τοσοῦτον λυπηρά ἐστιν, ὅσον ὁ Ἀσκαλωνίτης μηδετέρῳ τῶν ἀνδρῶν χαριζόμενος ἔκρινεν. Ἐκ τῆς μεγάλης δὲ πληθύος τῶν διορθώσεων αὐτοῦ κρίνοντες εἰκάζομεν, ὅτι ἡ κριτικὴ αὐτοῦ μέγα ἐτιμᾶτο. Πρὸς δὲ περιεσώθησαν γραμματικαί, ὀρθογραφικαὶ καὶ προσῳδιακαὶ τοῦ ἀνδρὸς παρατηρήσεις.*

Διονύσιος Κάσσιος Λογγῖνος, ἐν Ἀθήναις ἐπὶ Καίσαρος Αὐρηλιανοῦ γεννηθεὶς καὶ μακρὸν χρόνον παρὰ τῇ βασιλίσσῃ τῆς Παλμύρας, Ζηνοβίᾳ, διατρίψας ὡς μέγιστος τῆς αὐτοῦ ἐποχῆς κριτικὸς θαυμάζεται[8]). *Καὶ δὴ εὑρίσκομεν τὰς φράσεις* Κριτικὸς κατ' ἐξοχήν, ἐν κρίσει πρῶτος ὢν καὶ ὑπειλημμένος ἄχρι νῦν[9]), *οὐ*

στίζειν ἀξιοῦσι καὶ ὑποστίζειν *κατὰ τὸ τέλος τοῦ στίχου, ἵν' ᾖ τὸ λεγόμενον, ὥσπερ γὰρ ἔσται, οὕτω καὶ ἐρῶ.“*

1) V, 188 *„Βέλτιον γὰρ οὕτως φησὶν ὁ Σέλευκος γράφεσθαι. Ἀρίσταρχος δὲ οὐ δεόντως γράφει ...“* 2) *Σχόλ. εἰς Ἰλιάδ. Δ* 160. 3) *Εἰς Ἰλιάδ. σελ.* 209. 4) Geschichte der class. Phil. III, 332. 5) *Σουίδ. ἐν λ.* 6) *Σχόλ. εἰς Ἰλιάδ. Γ* 155. 7) *Σουίδ. ἐν λ. Πτολ.* 8) *Σουίδ. ἐν λ. Λογγ.* 9) *Πορφυρ. ἐν βίῳ Πλωτ.*

κατὰ *Λογγῖνον* κρίνειν[1]). Ὡς δ' ἡ τοῦ Ἀριστάρχου ἐν τῇ ἡγουμένῃ περιόδῳ γνώμη, οὕτως ἐν ταύτῃ ἡ τοῦ Λογγίνου μέγα κῦρος εἶχεν. Κατὰ τὸν Σουίδαν ὁ Ἀθηναῖος κριτικὸς πρὸς πολλοῖς ἄλλοις συνέγραψεν *Ἀπορήματα ὁμηρικά*, *Προβλήματα Ὁμήρου καὶ λύσεις*, *Εἰ φιλόσοφος Ὅμηρος*, *Περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων*. Ὁ Lehrs[2]) νομίζει, ὅτι τὰ *Ἀπορήματα* καὶ *προβλήματα καὶ λύσεις* ἦσαν τὸ αὐτὸ σύγγραμμα. Πιθανωτέρα ὅμως ἐστιν ἡ τοῦ Gräfenhan[3]) γνώμη, ὅτι ἐν μὲν τοῖς *Ἀπορήμασιν* ὁ Λογγῖνος τὰς αὐτοῦ ἀπορίας περί τινων ὁμηρικῶν χωρίων ἐξέφραζεν, ἐν δὲ τοῖς Προβλήμασιν ὑπ' ὄψιν πρωγενεστέρους συγγραφεῖς ἔχων ἀκριβεστέρων σπουδῶν προϊόντι συνέγραψεν. Παρ' Εὐσταθίῳ[4]) εὑρίσκομεν ἀθετήσεις τινὰς τοῦ κριτικοῦ τούτου. Πιθανὸν δ', ὅτι καὶ ἡ παρὰ Cramer[5]) σημειώσεις τῆς ὁμηρικῆς λέξεως *ἀνόπαια* ἐκ τοῦ συγγράμματος τοῦ Λογγίνου *Περὶ τῶν παρ' Ὁμήρῳ πολλὰ σημαινουσῶν λέξεων* ἐλήφθη.

Μαθητὴς δὲ τοῦ Λογγίνου ἦν ὁ Μάλχος ἢ (κατὰ τὸν ὑπὸ τοῦ διδασκάλου ἐξελληνισμὸν) Πορφύριος περὶ τὸ 233 Μ·Χ γεννηθεὶς καὶ τὸ 304 ἢ 305 ἐν Ῥώμῃ τελευτήσας[6]). Ὁ Πορφύριος ἐκ τῆς Ἀρισταρχείου ἀρχῆς ὁρμώμενος, ὅτι ὁ Ὅμηρος ἑρμηνεύει ἑαυτόν[7]), ἡρμήνευε τὸν ποιητήν. Δυστυχῶς ὅμως τὴν ἀρχὴν ταύτην οὐκ ἐφήρμοζεν. Ὁ ἀνὴρ οὗτος κατὰ προτροπὴν τοῦ φίλου αὐτοῦ Ἀνατολίου ἐξέδωκε *Ζητήματα ὁμηρικά*, ἅπερ ἦσαν εἰσαγωγή τις εἰς τὰς *Μείζους εἰς Ὅμηρον πραγματείας*. Μέρος δὲ τού-

---

1) Θεοφύλ. Ἐπιστ. XVII. 2) De Aristot. stud. Homer. σελ. 228. 3) Geschichte der class. Phil. III, 229. 4) Εἰς Ἰλιάδ. Α 140, σελ. 67 „Καὶ ὅτι ἀνωτέρω τούτου στίχος κεῖται δοκῶν κατὰ τὸν Λογγῖνον εἶναι παρένθετος. Ἔστι δὲ ἐκεῖνος τὸ" ἄξω ἑλών." Αὐτόθι 295 „Τινὲς δὲ ἀρέσκονται, ὡς καὶ Λογγῖνος δηλοῖ, νόθον εἶναι τὸν δεύτερον στίχον, οὐ κατάρχει τὸ σήμαινε [Σήμαιν', οὐ γάρ ἔγωγ' ἔτι σοι πείσεσθαι ὀΐω], . . ." 5) Anecd. Graec. I, 83. 6) Εὐνάπ. ἐν βίῳ Πορφυρίου. 7) Ζητήμ. ὁμηρ. σελ. 292 ἔκδ. Basil. 1551 „Πολλάκις μὲν ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις Ὁμηρικῶν ζητημάτων γιγνομένων, Ἀνατόλιε, κἀμοῦ δεικνύνειν πειρωμένου, ὡς αὐτὸς μὲν ἑαυτὸν τὰ πολλὰ Ὅμηρος ἐξηγεῖται . . ."

του τοῦ μεγάλου συγγράμματος, ὡς δοκεῖ, ἣν ὁ Κατάλογος, οὗ Σχολιαστής[1]) τις μνημονεύει. Πρὸς τούτοις ὁ Πορφύριος ἔγραψε Περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων, Περὶ τοῦ ἐν Ὀδυσσείᾳ τῶν νομφῶν ἄντρου καὶ Περὶ τῆς Ὁμήρου φιλοσοφίας[2]). Ἐν τῇ ἐπιγραφῇ τοῦ τελευταίου συγγράμματος ἕκαστος ὁρᾷ τὴν ποιότητα τῆς ἑρμηνείας τοῦ ἀνδρός. Μνείας δ' ἄξιά εἰσι τὰ σχόλια αὐτοῦ,. ἅπερ μέχρι τοῦδε, καθ' ὅσον οἴδαμεν, οὐκ ἐξεδόθησαν ὁλόκληρα. Διότι πρῶτον ὁ Walckenaer, εἶτα ὁ Wassenbergh καὶ Matthae καὶ τελευταῖον ὁ Bekker μόνον μέρη τινὰ μετὰ τῶν ἐνετικῶν σχολίων ἐξέδωκεν. Οὐκ ὀρθῶς δὲ ὁ Πορφύριος ἢ ὁ Δίδυμος συγγραφεὺς τῶν μικρῶν σχολίων ὀνομάζεται. Διότι ἐν τούτοις οὐ μόνον τοῦ Πορφυρίου, ἀλλὰ καὶ τοῦ Ἰαμβλίχου μνεία γίνεται. Ἡ δὲ Ἐπίτομος διήγησις εἰς τὰς καθ' Ὅμηρον πλάνας τοῦ Ὀδυσσέως ἐγράφη οὐχὶ ὑπὸ τοῦ Πορφυρίου, ἀλλὰ κατά τινα πιθανότητα ὑπὸ Νικηφόρου Γρηγορᾶ (1295—1359 Μ·Χ).

Ἐν τῇ βραχείᾳ περιγραφῇ ταύτης τῆς περιόδου ἕκαστος παρετήρησεν, ὅτι τὰ τῆς κριτικῆς ἔργα εἰσὶ πάνυ ὀλίγα. Διότι οἱ σοφοὶ τῆς ἐποχῆς ταύτης ἄνδρες περὶ τὴν ἑρμηνείαν τῶν ὁμηρικῶν ἐπῶν ἀσχολοῦνται. Εἰ δὲ καὶ τὴν ἑπομένην περίοδον ἐπραγματευόμεθα, ἐμέλλομεν μνημονεῦσαι σχολίων καὶ σχολιαστῶν, ὧν ὁ ἀριθμός ἐστι μέγιστος. Διότι ὅ τε Walckenaer[3]) καὶ ὁ Villoison[4]) βεβαιοῦσιν ἡμᾶς, ὅτι οὐδὲν τῶν ὁμηρικῶν ἐπῶν χειρόγραφον ὑπάρχει, ὅπερ στερεῖται σχολίων. Ἀλλ', ἐπειδὴ οὔτε ἱστορίαν τῶν σχολίων καὶ σχολιαστῶν, οὔτε ἱστορίαν τῆς ἑρμηνείας τῶν ὁμηρικῶν ἐπῶν γράφομεν, τὴν ἑπομένην περίοδον παραλειπτέαν ἐνομίσαμεν. Ὅμως ταύτην ὡς περιττὴν τῷ ἡμετέρῳ σκοπῷ παραλείποντες νομίζομεν οὐχὶ ἄσκοπον, ἵνα ἐν ἰδιαιτέρῳ κεφαλαίῳ εἴπωμεν ὀλίγα περί τε τῆς διαδόσεως τῶν ὁμηρικῶν ἐπῶν μετὰ τὴν ἀναγέννησεν τῶν γραμ-

---

1) Εἰς Ἰλιάδ. Ο 333. 2) Σουίδ. ἐν λ. Πορφύρ. 3) De schol. in Homer. inedit. σελ. 106. 4) Proleg. ad Apollon. lex. Homer. IX.

μάτων καὶ περὶ τῶν Προλεγομένων τοῦ Wolf, ἅπερ ἐν τῇ ἱστορίᾳ τῶν ὁμηρικῶν ἐπῶν σπουδαίαν ἐποχὴν ἀποτελοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Θ′.

Ἀναγέννησις τῶν ὁμηρικῶν σπουδῶν.

Τὰ ὑπὸ τῶν Ἀλεξανδρινῶν γραφέντα (τὰ πλεῖστά γε τούτων) οἱ Βυζαντινοὶ παραλαβόντες ἐσπούδαζον, ἢ ἠμίβρωτα ἐν κεκονιαμέναις βιβλιοθήκαις εἶχον. Περὶ τοὺς χρόνους δὲ τῆς πτώσεως τοῦ Βυζαντίου ἐν Ἰταλίᾳ κλίσις τις πρὸς τὴν ἑλληνικὴν παιδείαν ἠγείρετο. Ἕλληνες δ' ἐκεῖσε διὰ διαφόρους αἰτίας ἀποδημοῦντες εἰς εὐρυτέραν ταύτης διάδοσιν συνεβάλλοντο. Καὶ δὴ ὁ μαθητὴς τοῦ ὁμηρικοῦ Εὐσταθίου Βαρλαὰμ ἐν ἔτει 1339 πρεσβευτὴς εἰς Ἰταλίαν πεμφθεὶς τὸν Πετράρχην τὰ μεγάλα τῆς ἑλληνικῆς σοφίας μυστήρια ἐδίδασκεν. Παρὰ τοῦ ἀνδρὸς δὲ τούτου ὁ Πετράρχης ἔλαβε τῶν ὁμηρικῶν ἐπῶν χειρόγραφον, οὗ τέως ἐπιτομή τις τῆς Ἰλιάδος ἀγνώστου μαθητοῦ ἐφέρετο. Ὁ Βαρλαὰμ εἰς τὸ Βυζάντιον ἐπανελθών, ὅπως τὴν ἀποτυχίαν τῷ πέμψαντι ἀναγγείλῃ, καὶ αὖθις εἰς Νεάπολιν ἐν ἔτει 1341 ἀποδημήσας ἦγε μεθ' ἑαυτοῦ Λεόντιον τὸν Πιλάτον, ὅστις ἐν τῇ Ἀκαδημίᾳ τῆς Φλωρεντίας δύο περίπου ἔτη τὰ ὁμηρικὰ ἔπη ἐδίδασκεν. Ἐν δ' ἔτει 1429 ἑάλω ἡ Θεσσαλονίκη, ὅθεν Θεόδωρος ὁ Γαζῆς εἰς Ἰταλίαν ἀποδημήσας τὴν Ἀκαδημίαν τῆς Φερράρας ἀνενέωσεν, ἤ, μᾶλλον εἰπεῖν, τὸ δεύτερον ἵδρυσεν. Ἐν τοῖς μάλιστα δ' εὐδοκιμήσασι τῶν μαθητῶν τοῦ Γαζῆ ἦν ὁ Ἀθηναῖος Δημήτριος Χαλκοκονδύλης, ὁ ἐν Φλωρεντίᾳ διδάξας καὶ τὰ ὁμηρικὰ ἔπη δ ι ὰ τ ο ῦ τ ύ π ο υ εἰς δύο τόμους ἐκδούς. Ἡ δ' ἔκδοσις αὕτη θεωρεῖται ἐκρεύσασα ἐκ τοῦ χειρογράφου, ὅπερ ὁ ὁμηρικὸς Εὐστάθιος ὑπ' ὄψιν εἶχεν.

Οὕτω λοιπὸν τὰ ὁμηρικὰ ἔπη καὶ αὖθις ἐν τῇ ἑσπερίᾳ Εὐρώπῃ γνωστότερα ἐγένοντο. Οἱ δὲ μῦθοι, ἐν οἷς ὁ τοῦ ποιητοῦ βίος ἐλάνθανεν, ὡς ἱστορικαὶ ἀλήθειαι ἐνομίζοντο. Οἱ διδάσκαλοι τῶν τότε χρόνων τὸν βίον τοῦ Ὁμήρου συγγράφοντες ἐπλανῶντο καὶ ἐπλάνων, ὡς ὁ Petrus Candidus Decembrius [1]), *ὁ* Angelo Ambrogini (Politianus [2]), *ὁ* Camerarius [3]), *ὁ* Spondanus [4]), *ὁ* Joh. Sander [5]), *ὁ* Pasch [6]) *καὶ πλεῖστοι ἄλλοι. Ὁ δὲ πρὸς τὸν Ὅμηρον θαυμασμὸς οὕτω προέβη, ὥστε μέχρι τῆς γυναικωνίτιδος εἰσελάσας εὗρε πρόθυμον τὴν Γαλλίδα* Anna Dacier, *ὅπως διὰ γυναικείας τρυφερότητος τὸν ἀρρενωπὸν τοῦ Ὁμήρου χαρακτῆρα εἰκονίσῃ. Ἀλλὰ παραλλήλως πρὸς τὸν θαυμασμὸν καὶ τὸν ἔπαινον ὁ ψόγος καὶ φθόνος βαίνουσιν. Τοῦ γενικοῦ δὲ τούτου κανόνος οὐδ' ὁ Ὅμηρος ἐξῃρέθη. Ἐν ἔτει* 1687 *τῆς γαλλικῆς Ἀκαδημίας πληθούσης καὶ τοῦ* 14ου *Λουδοβίκου παρόντος ὁ Περώλτης χειρόγραφόν τι τοῦ Ἀββᾶ ὑπ' ὄψιν ἔχων ἐτόλμησεν, ἵνα τὸν Ὅμηρον ψέξῃ. Ἀλλ', ἐπειδὴ ἐν τοῖς χρόνοις τοῦ θαυμασμοῦ οἱ ψόγοι σπανίως τυγχάνουσιν ἐπαίνων, ὁ Περώλτης ὑπὸ πάντων ἀποδοκιμασθεὶς ἐν τῷ ἑπομένῳ ἔτει ἐξέδω σύγγραμμα ἀπολογούμενος.*

Ἀλλὰ μᾶλλον ἡ ἄκριτος πρὸς τὸν Ὅμηρον πίστις, ἢ οἱ ψόγοι τὸν ποιητὴν ἐζημίωσαν. Διότι οὕτως ἐδόθη ἄλλοις εὐκαιρία, ἵνα βιαιότεροι ἐπ' αὐτὸν ἐπέλθωσιν. Ἐπειδὴ δὲ τὸ μέρος τοῦτο τῆς ἱστορίας σπεύδοντες, ὡς ἔδει, διερχόμεθα, οὐ μνημονεύομεν μικρῶν τινων ὑπαινιγμῶν ἄλλων σοφῶν ἀνδρῶν πλὴν τοῦ πολυθρυλήτου Vico. *Ὁ Ἰταλὸς οὗτος ἐν ἔτει* 1744 *σύγγραμμα περὶ τῶν ἀρχῶν τῆς νέας ἐπιστήμης* [7]) *ἐκδοὺς ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τῆς ἀνακαλύψεως τοῦ ἀληθοῦς, ὡς νομίζει, Ὁμήρου πραγματεύεται. Ὁ* Vico *οὐκ ἦν κάτοχος μεγάλων ἐπιστημονικῶν γνώσεων, ἀλλ'*

---

1) Vita Homeri. *Ἡ βιογραφία εὑρίσκεται χειρόγραφος καὶ φαίνεται, ὅτι συνεγράφη ἀπὸ τοῦ* 1458—1479. 2) Oratio in expositione Homeri 1519. 3) *Ἐν τῷ προλόγῳ τοῦ πρώτου βιβλίου τῆς Ἰλιάδος* 1538. 4) Homeri quae exstant omnia 1583. 5) De Homeri vita et scriptis collectanea, Magdeburg 1661. 6) De poetarum rege Homero dissertatio 1687. 7) Giamb. Vico, Principij die scienza nuov., Napoli 1744.

ἦν εὐφυής, ὀξύνους παραδοξολόγος καί, οὕτως εἰπεῖν, εἶχε προφητικὸν πνεῦμα, δι᾽ οὗ πολλὰς βραδύτερον ἐπιστημονικῶς ἀποδειχθείσας θεωρίας προεφήτευσεν, ἂν μὴ τὸ ἐναντίον εἰκάσωμεν, ὅτι οἱ μεταγενέστεροι παρὰ τούτου σιωπηλῶς τὰ σπέρματα τῶν αὐτῶν θεωριῶν ἤντλησαν. Καὶ δὴ ἐν τῷ ὁμηρικῷ ζητήματι οὐ λείπουσιν ὑπόνοιαι, ὅτι ὁ Wolf ὑπ᾽ ὄψιν τὴν θεωρίαν τοῦ Vico εἶχεν, ἤ τι περὶ αὐτῆς ἤκουσεν. Ὁπωσδήποτε ὁ Ἰταλὸς πρὸ μιᾶς πεντηκονταετηρίδος ἐν τῷ εἰρημένῳ συγγράμματι ἐκήρυσσεν, ὅ, τι βραδύτερον ἐπιστημονικώτερον ὁ Wolf ἀνέπτυσσεν. Διότι ἔλεγεν, ὅτι τὰ ὁμηρικὰ ἔπη ἄγραφα ἐποιήθησαν, ὅτι ἐκ τῶν τοῦ Νουμᾶ χρόνων, ἐν οἷς τὴν γένεσιν τούτων ἢ τῶν τελευταίων μερῶν αὐτῶν τίθησιν, ὑπὸ τῶν ῥαψῳδῶν παρεδίδοντο, ὅτι οἱ Πεισιστρατίδαι ταῦτα εἰς τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν κατέταξαν, καὶ ὅτι τέλος Ὅμηρός ἐστι ἔκφρασίς τις τῆς δημοτικῆς ποιήσεως ἐκείνου τοῦ αἰῶνος, ὃν ἡρωικὸν ὀνομάζει. Ἐν γένει ὁ Ἰταλὸς παραβάλλει τὸν Ὅμηρον πρὸς τὸν τῶν Αἰγυπτίων Ἑρμῆν, ᾧ οὗτοι πάσας τὰς ἀνακαλύψεις ἀπέδιδον[1]). Ἐν τῇ βραχείᾳ ταύτῃ ἐκθέσει ἕκαστος ὁρᾷ, ὅτι ὁ Wolf βραδύτερον οὐκ εἶπε πλείονα. Ἀλλ᾽ ἡ θεωρία τοῦ Ἰταλοῦ ἔμελλε τῇ λήθῃ παραδοθῆναι, εἰ μὴ ὁ Γερμανὸς ἐπιστημονικώτερον αὐτὴν ἀνέπτυσσεν.

Ὁ Wolf ἐστὶ γνήσιον προϊὸν τῆς αὐτοῦ ἐποχῆς. Διότι ὁ χρόνος, καθ᾽ ὃν οἱ κατὰ τοῦ Ὁμήρου κεραυνοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ ἐσφυρηλατοῦντο, συμπίπτει τῇ ἐποχῇ, καθ᾽ ἣν ἐπιδημική τις νόσος εἰς τοὺς ἀνθρώπους ἐνσκήψασα τὰ παρὰ τῶν πατέρων παραδοθέντα κατέστρεφεν. Ὁ Wolf ὅμως μετὰ τῶν συγχρόνων συναναβὰς εἰς τὴν σφαῖραν ἐκείνην τῶν ἰδεῶν, ὧν τὴν ἐφαρμογὴν οἱ πρὸ χιλιετηρίδων ἱδρυθέντες νόμοι οὐκ ἀνέχονται, οὔτε ἁπλοῦς θεατής, οὔτε κενὸς ἰδεολόγος κατέβη, ἀλλ᾽ ὡς πυρφόρος Προμηθεὺς ἔκλεψε τὸ πῦρ, δι᾽ οὗ πλεῖσται μυθολογίαι τοῦ βίου τοῦ Ὁμήρου ἐκάησαν. Εἰ καὶ ἡ θεωρία αὐτοῦ ἡμαρτημένη ἐλέγχεται, ὅμως τὸ σύγγραμμά ἐστι πολύτιμον καὶ ἴσως τὴν

1) Αὐτόθι Libro terzo: della discoverta del vero Omero σελ. 379—413.

ἐπιστήμην μᾶλλον ὠφέλησεν, ἢ τὸ πολυθρύλητον τοῦ Bentley *σύγγραμμα περὶ τῶν ἐπιστολῶν τοῦ Φαλάριδος. Τῷ μεγάλῳ τούτῳ ἀνδρὶ ὀφείλομεν τὴν ἀναγέννησιν τῶν ὁμηρικῶν σπουδῶν. Αἱ δ' ἰδέαι, ἐξ ὧν τὰ Προλεγόμενα τοῦ* Wolf *συνετέθησαν, ἐδημιουργοῦντο ἐν τῷ πνεύματι τοῦ συγγραφέως ἐκ τῆς ἐποχῆς, καθ' ἣν οὗτος ἐσπούδαζεν. Ἤδη ἐν ἔτει* 1779 *εἰκοσαετὴς σπουδαστὴς ἐν Γοτίγγῃ ἔδειξε τῷ γνωστῷ φιλολόγῳ* Heyne *τὴν αὐτοῦ θεωρίαν. Ἀλλὰ τὴν ἀποδοκιμασίαν τοῦ ἀνδρὸς ἤκουσεν. Ἐν δὲ τῷ ἑπομένῳ ἔτει προὔτεινε τῷ βιβλιοπώλῃ* Nicolai, *ἵνα οὗτος τὴν ἐκτύπωσιν τοῦ συγγράμματος ἀναδεχθῇ. Ἀλλ' ὁ βιβλιοπώλης τῆς δαπάνης φεισάμενος ἠρνήθη. Μετὰ τὴν διπλῆν δὲ ταύτην ἀποτυχίαν ὁ* Wolf *τὸ ἔργον ἀναβαλὼν καὶ εἰς τὰς φιλολογικὰς αὐτοῦ σπουδὰς χωρῶν ᾀείποτε τὰς ἰδέας ἐκείνας ἐν νῷ συνέστρεφε καὶ ἐνάργειαν ἠρύετο. Ἀλλ' ἐνίοτε ἐπήρχετο ἐπικαταλογισμὸς καὶ δειλὸς διὰ τὴν τόλμην τῶν σκέψεων ἐγίνετο. Ἀναγνοὺς δὲ γαλλικόν τι σύγγραμμα, ἐν ᾧ ὁ συγγραφεὺς τολμηρότερον καὶ αὐθαιρέτως ὁμοίαν πρὸς τὴν αὐτοῦ θεωρίαν ἐξέφραζε, δειλότερος ἐγένετο. Ἡ δὲ δειλία οὕτως ἐν αὐτῷ ηὔξησεν, ὥστε δώδεκα ὁλόκληρα ἔτη ἐν Ἅλλῃ τὴν ἱστορίαν τῆς γενέσεως τῶν ὁμηρικῶν ἐπῶν διδάσκων τὸν τέως συνήθη τρόπον οὐ παρέβη. Τελευταῖον τὴν ἔκδοσιν τῶν ὁμηρικῶν ἐπῶν ἀναδεξάμενος κατ' ἔθος ὤφειλε προτάξαι πρόλογόν τινα τὴν κριτικὴν αὐτοῦ μέθοδον ἐξηγοῦντα. Προχωρούσης δὲ τῆς ἐκδόσεως ὁ μέγας ἀνὴρ εἰργάζετο πρὸς τοῦτο καὶ ἐν ἔτει* 1795 *ἐξέδω τὰ* Prolegomena ad Homerum, sive de operum Homericorum prisca et genuina forma variisque mutationibus et probabili ratione emendandi. *Οὕτως αἱ ἰδέαι τοῦ ἀνδρὸς μακρὸν χρόνον ἐν τῇ κεφαλῇ αὐτοῦ τεθαμμέναι μέν, ἀλλ' οὐχὶ νεκραί, ζῶσαι δὲ μάλιστα καὶ ἐν τῷ γονίμῳ αὐτοῦ πνεύματι τρεφόμεναι εἰς τὸν ἐπιστημονικὸν ὁρίζοντα ἀνεφάνησαν. Ἀλλ' οἱ τὰ Προλεγόμενα ἀναγνόντες παρετήρησαν τὸν τοῦ συγγραφέως φόβον, ὃν συνήθως πάσχουσιν οἱ ἀγωνιζόμενοι, ὅπως μεγάλας ἐπικρατούσας ἰδέας διασείσωσιν. Ἰδίως δ' ὁ ἀνὴρ φοβούμενος, μὴ ἡ θεωρία αὐτοῦ ὡς*

ψιλὴ ὑπόθεσις κατακριθῇ [1], *παντὶ σθένει ἐπειρᾶτο, ὅπως αὐτὴν μέχρις ἱστορικῆς ἀληθείας ἀνυψώσῃ.*

Ἀλλὰ τίς ἆρά γε ἦν ἡ πρώτη τῶν Προλεγομένων τύχη; Ἆρά γε ὀπαδοὺς ἢ διώκτας εὗρον; Ὁ αἰὼν τοῦ Wolf *ηὐνόει τολμηρὰς ὑποθέσεις καὶ δυνάμεθα εἰπεῖν, ὅτι οὗτος μὴ εὑρεθέντων ἀνδρῶν, ὅπως πολεμήσωσιν αὐτόν, ὅπου, ὅσον καὶ ὅπως ἔδει, εὐτυχὴς ἐγένετο. Τοῦτο δὲ λέγοντες οὐκ ἐννοοῦμεν, ὅτι ἐν τοῖς τῆς ἐκδόσεως τῶν Προλεγομένων χρόνοις, οἵτινες δὴ οἱ γονιμώτατοι τῆς φιλολογίας θεωροῦνται, οὐχ ὑπῆρχον σοφοὶ καὶ μεγάλοι ἄνδρες, ἀλλ' ἄλλο τι. Ὁ* Wolf *δεκαετηρίδας ὄπισθεν τῶν φιλολογικῶν αὐτοῦ ἐπάλξεων μετ' ἐχεμυθίας ὀχυρούμενος αἴφνης κατὰ τοῦ Ὁμήρου σφοδροῦ πυρὸς ἤρξατο, ἐν ᾧ πάντες ἀπαράσκευοι πρὸς ἄμυναν ἦσαν. Καὶ οἱ μὲν τῶν τότε φιλολόγων ἐν ἄλλοις τῆς ἐπιστήμης κλάδοις δεινοὶ ἦσαν, οἱ δ' ἐπυροβόλουν ἐκεῖ, ἔνθα οὗτος ἦν ἄτρωτος, οἱ δ' ἀσθενῆ ὅπλα ἔβαλλον, οἱ δὲ καὶ ηὐτομόλουν πρὸς τὸ στρατόπεδον αὐτοῦ ἐκ τῆς ματαιότητος, ὅπως ὀπαδοὶ τῶν νέων ἰδεῶν φαίνωνται, οἱ δ' ἐσεμνύνοντο, ὅτι τὴν θεωρίαν ταύτην πρότερον ἐγίνωσκον, ἢ ὁμοίας ἰδέας ἐξέφρασαν, οἱ δ' ἐπῆλθον λίαν βραδέως, ὅτε ἐκεῖνος ἤδη τὸ πεδίον τῆς μάχης κατέλιπεν. Ἡ τοῦ* Wolf *λοιπὸν θεωρία αἴφνης τὰ πλεῖστα τῆς ἐπιστήμη ὀχυρώματα κατασχοῦσα ἐν τῇ πεποιθήσει τῶν σοφῶν τῆς Γερμανίας ἀνδρῶν οὕτως ἑδραία ἐγένετο, ὥστε νῦν ἀπαιτεῖται μείζων δύναμις, μείζων τόλμη καὶ εὐνούστεραι περιστάσεις, ὅπως τις τὴν ὑπ' ἐκείνου ἱδρυθεῖσαν θεωρίαν ῥίψῃ, ἢ αὐτὸς ἐδεῖτο, ὅπως τὴν περὶ Ὁμήρου τῆς ἀρχαιότητος πεποίθησιν διασείσῃ. Εὐτυχῶς ὅμως τῆς θεωρίας ταύτης οἱ ὀπαδοὶ κατὰ τὸ πλεῖστον ἐν Γερμανίᾳ περιορίζονται. Παρὰ δὲ τοῖς σοφοῖς τῶν ἄλλων λαῶν ἡ παρὰ τῆς ἀρχαιότητος παραδοθεῖσα πεποίθησις κρατεῖ. Ἀλλὰ καὶ ἐν τούτοις δύναταί τις ἀριθμῆσαι πολλοὺς ὀπαδούς. Ἐν τοῖς πρώτοις τὴν θεωρίαν τοῦ* Wolf *ἐδέξαντο ὁ* Ilgen,

---

1) **Proleg. ad Homer.** *σελ.* **109 „Conjecturas hujusmodi hodie vulgus infamare solet nomine Hypothesium. Dura conditio: . . .“**

ὁ G. Hermann *καὶ ὁ* W. Humboldt. *Οἱ δ' ὡς δεινοὶ τότε νομιζόμενοι φιλολόγοι, ὁ* Heyne *καὶ ὁ* Herder, *ἔλεγον, ὅτι καὶ οὗτοι τὴν θεωρίαν ἐγίνωσκον· ἰδίως δ' ὁ πρῶτος διισχυρίζετο, ὅτι ὁ* Wolf *τὰς ἰδέας τῶν Προλεγομένων ἐκ τῶν παραδόσεων αὐτοῦ ἐσφετερίσθη. Ἀλλ' ἡ δυσφημία αὕτη οὕτω τὴν χολὴν τοῦ συγγραφέως τῶν Προλεγομένων ἤγειρεν, ὥστε διὰ σειρᾶς εἰρωνικῶν ἐπιστολῶν πρὸς τὸν τότε μέγαν καὶ πολὺν* Heyne *ἀπεκρίθη. Ὁ εἰρωνευθεὶς ἐσιώπησε μὲν τότε, βραδύτερον δ' ἐμέμφετο τὸν* Wolf *ὡς ἀκόσμοις ὅπλοις χρησάμενον. Ὁ* Heyne *οὐκ ἦν μὲν γονίμου νοὸς ἄνθρωπος, ὅμως καὶ τούτῳ, ὡς δοκεῖ, ἐπῆλθεν ἡ ἰδέα, ὅτι τὰ ὁμηρικὰ ἔπη κατ' ὀλίγον ἐποιήθησαν, ὡς ἔν τινι ἐπιστολῇ πρὸς τὸν* Zoega *ἐν ἔτει* 1790 *ἀποφαίνεται. Ἀλλ' ἐν μὲν τῇ κεφαλῇ τοῦ* Heyne *ἐγεννήθη εἰκασία, ἐν δὲ τῇ τοῦ* Wolf *ἐδημιουργήθη θεωρία. Σαφέστερον ὅμως ἠρνεῖτο τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν ὁ* Zoega, *οὗ τὰ περὶ Ὁμήρου μετὰ τὸν θάνατον ἐν ἔτει* 1788 *ἐξεδόθησαν*[1]). *Διότι ὁ ἀνὴρ οὗτος εἰς τὴν πατρίδα, τὴν ἐποχὴν καὶ τὰ ἔπη τοῦ Ὁμήρου ἀπιδὼν ἠρνεῖτο τὴν προσωπικὴν αὐτοῦ ὕπαρξιν. Ἴσως καὶ ἄλλοι πολλοὶ τοιαύτας ἰδέας ὠνειροπόλουν, ὅμως οὐκ ἐτόλμων τὴν ἰδίαν πεποίθησιν ἀποφανθῆναι. Καὶ δὴ ὁ μέγιστος ἰδεολόγος* Fichte *μετὰ τὴν ἔκδοσιν τῶν Προλεγομένων ἔγραψεν, ὅτι καὶ οὗτος ἐκ τῶν προτέρων* (a priori) *ἔφθασεν εἰς τὸ συμπέρασμα, ὅπερ ὁ* Wolf *δι' ἱστορικῶν ἀποδείξεων ἐδήλωσεν*[2]). *Ἀλλ' οὗτος ἀπεκρίθη μετ' εἰρωνείας.*

Ἀλλ', ὅσον εὐτυχὴς ὁ Wolf *παρὰ τοῖς φιλολόγοις ἐγένετο, τοσοῦτον τῶν προσδοκιῶν ἀπέτυχε τὴν μαρτυρίαν τῶν μεγάλων τῆς αὐτοῦ ἐποχῆς ποιητῶν ἐπικαλεσάμενος, ὅπως ἀποφανθῶσιν, εἰ ἓν πνεῦμα δύναται οὕτω μεγάλα ποιήματα ποιῆσαι*[3]). *Διότι οἱ ποιηταὶ ὀρθότερον τῶν φιλολόγων ἔκριναν. Καὶ δὴ ὁ τοῦ Ὁμήρου μεταφραστὴς* Voss, *ποιη-*

---

1) Zoega's Abhandlungen VII, *σελ.* 307. *Ἐξεδόθησαν ὑπὸ* Welcker. 2) G. Fichte's Leben und lierar. Briefwechsel II, 432—436. 3) Prolegom. ad Homer. *σελ.* 116—117.

της καὶ φιλολόγος διάσημος, οὐκ ἠδύνατο πλανηθῆναι ἐκ τῶν ἀσθενῶν τοῦ Wolf ἀποδείξεων. Ὁ δὲ Wieland τὸν ἄνδρα ἀποδοκιμάσας ἐνέμενεν ἐν τῇ θεωρίᾳ, ὅτι ὁ Ὅμηρος κατὰ τὸ προϋπάρχον σχέδιον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἐποίησεν[1]. Τῷ μὲν Schiller ἡ τοῦ Wolf θεωρία ἐφάνη βάρβαρος, ὁ δὲ Göthe τὸ μὲν πρῶτον ἡδέως τὰς ἰδέας αὐτοῦ ἀσπασάμενος[2], βραδύτερον ὅμως τὴν αὐτοῦ πλάνην ὁμολογήσας ἐπεῖπεν, ὅτι τὰ ὁμηρικὰ ἔπη ὡς ὅλα αἰσθάνεται. Καὶ ἐν γένει τὴν ἑνότητα τῶν ὁμηρικῶν ἐπῶν ὁμολογοῦσι πάντες, ὅσοι οὐχὶ ἐκ φιλολογικῶν, ἀλλ' ἐξ αἰσθητικῶν ἀρχῶν ὁρμῶνται, ὡς ὁ Tiek, ὁ Vischer καὶ πλεῖστοι ἄλλοι[3].

Τοιαύτη λοιπὸν ἦν ἡ τύχη τῶν Προλεγομένων τοῦ Wolf. Ὁ μέγας ἀνὴρ ἥμαρτε νομίσας, ὅτι, ἂν τὴν γραφὴν ἐν τοῖς χρόνοις τῆς γενέσεως τῶν ὁμηρικῶν ἐπῶν ἄγνωστον ἀποδείξῃ, συνάμα ἀπεδείκνυεν, ὅτι τὰ τῷ Ὁμήρῳ ἀποδιδόμενα ἔπη οὐκ ἦσαν προϊόντα ἑνὸς μόνου πνεύματος, ἀλλὰ πλειόνων. Τοῦτο ὅμως τὸ ἐναντίον ἀποδεικνύει. Διότι ἡ μνήμη, ὡς ἐν τῷ δευτέρῳ κεφαλαίῳ εἴρηται, ἱκανή ἐστιν, ὅπως συλλάβῃ καὶ διατηρήσῃ μακρὰ ἔπη, οἷα ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, καὶ ἡ τῆς γραφῆς ἄγνοια, εἰ ἀπεδείκνυτο, μέγα ὅπλον κατὰ τῆς θεωρίας τοῦ Lachmann ἐστίν. Διότι τῆς γραφῆς ἀγνώστου οὔσης ἕκαστος ἐπιτρέπει τῷ Ὁμήρῳ μείζονας καὶ πλείονας ἀντιφάσεις, ἢ ὅσας οἱ περὶ τὸν Lachmann ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εὑρίσκουσιν.

1) L. Friedländer, Die Homerische Kritik von Wolf bis Grote σελ. 5.

2) Ἐν τῷ ποιήματι Hermann und Dorothea

Erst die Gesundheit des Mannes, der, endlich vom Namen Homeros
Kühn uns befreiend, uns auch ruft in die vollere Bahn!
Denn wer wagte mit Göttern den Kampf, und wer mit dem Einen?
Doch Homeride zu sein, auch nur als letzter, ist schön.

3) Kiene, Die Composition der Ilias des Homer σελ. 4.

ΒΙΒΛΙΟΝ ΙΙΙ.

Ἑνότης τῶν ὁμηρικῶν ἐπῶν καὶ παραβολὴ αὐτῶν πρὸς ἄλληλα.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Αἰτίαι τῶν ἐν τοῖς ὁμηρικοῖς ἔπεσι δεικνυομένων ἀντιφάσεων.

Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τὰ κατὰ τὸν Ὅμηρον ἐξετάσαντες εἴδομεν, ὅτι ἐκ τούτων ὁ ποιητὴς οὐ κινδυνεύει, ἐν δὲ τῷ δευτέρῳ τὴν διάδοσιν καὶ τὰς περιπετείας τῶν ὁμηρικῶν ἐπῶν ἱστορήσαντες ἐδείξαμεν, ὅτι ταῦτα μετὰ πολλῶν ἐπισκευῶν μέχρις ἡμῶν περιῆλθον. Ἰδίως δ' ἐν ἀρχῇ τοῦ δευτέρου βιβλίου ἐπειράθημεν, ὅπως τὸν ποιητὴν διὰ τῆς γραφῆς ἢ ἐν ἐλλείψει ταύτης διὰ τῆς στοματικῆς παραδόσεως μετὰ τῶν ἐπῶν συνδέσωμεν. Εἰς τὸ τέλος δὲ τοῦ δευτέρου βιβλίου ἔληγεν ἡ ἱστορία, εἰ μὴ τὰ ὁμηρικὰ ἔπη ἐσώζοντο. Εὐτυχῶς ὅμως ταῦτα σωθέντα παρέχουσιν ἡμῖν τὸν τρίτον καὶ τελευταῖον τοῦ ζητήματος ὅρον. Οὗτος δ' ἐν τοῖς τελευταίοις χρόνοις οὕτω σπουδαῖος ἐθεωρήθη, ὥστε οἱ πλεῖστοι τῶν φιλολόγων ἐκ τούτου καὶ μόνου τὸ ὁμηρικὸν ζήτημα λύουσιν, ὡς οἱ σύγχρονοι τοῦ Wolf ἐκ μόνου τοῦ δευτέρου ἔλυον. Ἀλλὰ νομίζομεν, ὅτι ἑκάτεροι εἰς τοσοῦτον μονομερῆ συμπεράσματα φθάνουσιν, ὅσον οἱ τρεῖς ὅροι στενῶς μετ' ἀλλήλων

συνδέονται. Καὶ δὴ τὰ ἐκ τοῦ τρίτου ὅρου ἐξαγόμενα συμπεράσματα τοσοῦτον ὀρθά εἰσιν, ὅσον τὰ ἐκ τοῦ δευτέρου ἐπιτρέπουσιν. Ὡς δ' ἀρχαῖός τις ναὸς μαρτυρεῖ περὶ τοῦ πρώτου ἀρχιτέκτονος, εἰ μὴ πολλὰς καὶ ποικίλας ἐπισκευὰς ὑπέστη, οὕτω τὰ ὁμηρικὰ ἔπη ἔμελλον μαρτυρεῖν περὶ τῆς πρώτης αὐτῶν ἑνότητος, εἰ μηδεμίαν μεταβολὴν ὑφίσταντο. Ἀλλ', εἰ οἱ Ὁμηρίδαι, οἱ ῥαψῳδοί, οἱ Κύναιθοι, οἱ νομοθέται, οἱ τύραννοι, οἱ σοφισταί, οἱ Ζηνόδοτοι, οἱ Ἀρίσταρχοι καὶ οἱ Βυζαντινοὶ μέχρι Δημητρίου τοῦ Χαλκοκονδύλου τὰ ὁμηρικὰ ἔπη κακῶς ῥαψῳδοῦντες, πολλαχῶς διαφθείροντες, κατὰ ἡμαρτημένους κανόνας διορθοῦντες καὶ οὐχὶ ἐπιμελῶς ἀντιγράφοντες διεφθαρμένα ἡμῖν κατέλιπον, ἀμφιβάλλομεν, εἰ ἐκ τούτων σπουδαῖα περὶ τοῦ ποιητοῦ συμπεράσματα δυνάμεθα ἐξάγειν. Ἐντεῦθεν ἐξηγεῖται, ὅτι ἄλλος τὸν δεύτερον καὶ ἄλλος τὸν τρίτον τοῦ ζητήματος ὅρον ἠρεύνησεν. Διότι τὰ ἐκ τῶν δύο τελευταίων ὅρων ἐξαγόμενα συμπεράσματα κατ' ἀλλήλων μαρτυροῦσιν.

Διὰ τοῦτο δικαίως ὁ εὐφυὴς Friedländer[1]) *θαυμάζει, ὅτι ἐν εἴκοσι καὶ ἐννέα ἔτεσιν, ἅπερ ὁ* Wolf *μετὰ τὴν ἔκδοσιν τῶν Προλεγομένων ἐπέζησεν, οὐδέποτε ἐπεχείρησεν, ὅπως τὰ ὁμηρικὰ ἔπη κριτικῶς ἐξετάσας ἐσωτερικὰ ἴχνη τῆς γενέσεως αὐτῶν ἀνακαλύψῃ. Τοσούτῳ δὲ μᾶλλον ἀξία θαυμασμοῦ ἡ ἀποχὴ αὕτη ἐστίν, ὅσῳ ὁ ἀνὴρ ἐν πληρεστάτῃ ὑγείᾳ τὸν μετὰ τὴν ἔκδοσιν τῶν Προλεγομένων βίον διήγαγεν. Μόλις δὲ κατὰ τὸν* Friedländer *δύναταί τις πιστεῦσαι, ὅτι δυσθυμία καὶ ὀκνηρία τὸν ἄνδρα κατέλαβον ἐν τῇ ὁδῷ, ἣν λίαν τολμηρῶς ἐχάραξεν. Διότι αἱ λίαν συχνάκις καὶ προχείρως ὑπὸ τῶν περὶ τῶν* Lachmann *εὑρισκόμεναι ἀποδείξεις κατὰ τῆς ἑνότητος τῆς Ἰλιάδος ὤφειλον διεγεῖραι τὴν ἐπιθυμίαν τοῦ ἀνδρός, ὅπως δι' ἀποδείξεων ἐξ αὐτῶν τῶν ἐπῶν ἐξαγομένων τὴν θεωρίαν, ἣν δι' ἐξωτερικῶν ἀποδείξεων καὶ εἰκασιῶν ἐδημιούργησεν, ἐπικυρώσῃ. Ἀλλ' ὁ ἀνήρ, ὡς νομίζομεν, μᾶλλον τὴν ἔρευναν ταύτην, ἢ τοὺς φοβερωτέρους τῶν Προλεγομένων πολεμίους*

---

1) Die Homerische Kritik von Wolf bis Grote *σελ.* 16—17.

ἐφοβήθη. Διότι ὁ Wolf ἐν τούτοις, ὡς εἴδομεν, ἐπειράθη ἀποδεῖξαι, ὅτι τὰ ὁμηρικὰ ἔπη διὰ τὴν ἄγνοιαν τῆς γραφῆς καὶ διὰ τὰς ὑποβολὰς καὶ διασκευὰς σπουδαίως ἠλλοιώθησαν. Εἰ λοιπὸν οὗτος κριτικὴν τῶν ἐπῶν ἔρευναν ἐπεχείρει, κατέστρεφεν, ὅ, τι διὰ τῶν Προλεγομένων ἀνήγειρεν. Διότι, εἰ μὲν ἐν τούτοις τὴν ἀπαιτουμένην ἑνότητα εὕρισκεν, ἄρδην τὴν αὐτοῦ θεωρίαν κατέστρεφεν, εἰ δὲ μή, τοῦτο ἦν ἀναγκαία ἀκολουθία τῆς τῶν ἐπῶν τύχης, ἣν αὐτὸς ἐπιμελῶς ἠρεύνησε, καὶ ἀπόδειξις, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐν τῷ ῥεύματι τῶν αἰώνων μᾶλλον ἐθολώθησαν καὶ ἑνότητα ἀπώλεσαν, ἢ ἐλειάνθησαν καὶ ἑνότητα ἐκτήσαντο, ὡς αὐτὸς ἀπεφαίνετο. Τοιαύτην κριτικὴν ἔρευναν ἠδύναντο ποιῆσαι, ὅσοι ἐν τούτῳ τῷ διλήμματι οὐ περιεπλέχθησαν. Καὶ δὴ τὸ ἔργον ἐπεχείρησεν ὁ μέγας τοῦ ἡμετέρου αἰῶνος κριτικός, ὁ K. Lachmann, ὅστις μεγίστην διὰ τοῦτο δόξαν ἐκτήσατο.

Ἡ δ' ἔρευνα τοῦ κριτικοῦ οὕτω μεγάλη ἐθεωρήθη, ὥστε ἀνώνυμός τις ἔν τινι περιοδικῷ συγγράμματι [1]) λέγει, ὅτι ὁ Lachmann ἐξεπλήρωσε τὴν παρὰ τῷ Wolf τέως μὴ ἐκπληρωθεῖσαν ἀπαίτησιν, *δός μοι ποῦ στῶ*. Νομίζομεν ὅμως, ὅτι τὸ σημεῖον, ἐφ' οὗ ὁ Wolf ἵστατο, ἦν ἀσφαλέστερον τοῦ ὑπὸ τοῦ Lachmann δοθέντος. Ὥστε οὐ φοβούμεθα, μὴ τὸν Ὅμηρον τὸν πᾶσαν τὴν ἀρχαιότητα συνέλκοντα κινήσῃ, ἀλλὰ μὴ οἱ ἐπὶ τοῦ δοθέντος σημείου ἀναβάντες ἀκλεῶς καταπέσωσιν. Οἱ περὶ τὸν Lachmann ἔθεντο τὴν ἀρχήν, ὅτι τὰ ὁμηρικὰ ἔπη, εἰ ὑφ' ἑνὸς ποιητοῦ ἐποιήθησαν, ὀφείλουσιν ἔχειν ἑνότητα, ἣν *αὐτοὶ* ὁρίζουσιν. Ἀλλὰ πρὸς κρίσιν ποιημάτων ποιηθέντων ἐν ἐποχῇ οὐσιωδῶς διαφόρῳ τῆς ἡμετέρας ἀπαιτεῖται πῆχύς τις. Τοῦτον δ' ἐκτώμεθα, εἰ πολλὰ ποιητικὰ προϊόντα τῶν χρόνων ἐκείνων μέχρις ἡμῶν διεσώζοντο. Δυστυχῶς ὅμως δύο μόνον ὑπάρχουσι καὶ ταῦτα εἰς τὴν αὐτὴν κατηγορίαν ὑπά-

---

1) Blätter für literarische Unterhaltung ἔτ. 1844 ἀριθμ. 126—129 σελ. 505 „Lachmann hat zuerst die bei Wolf noch unerfüllte Forderung des δός μοι ποῦ στῶ erfüllt."

γονται. Τοῦ πήχεως δὲ τούτου στερούμενοι οἱ περὶ τὸν Lachmann λαμβάνουσιν αὐτὸν ἐκ τῶν νεωτέρων ποιημάτων. Ἀλλ' ὁ πῆχυς οὗτος μόνον σύγχρονα ποιητικὰ προϊόντα δύναται μετρῆσαι, οὐχὶ δὲ καὶ ἔπη ποιηθέντα ἐν χρόνοις, ἐν οἷς μᾶλλον δημιουργικὰ πνεύματα, ἢ ἐπιτήδεια πρὸς διαγραφὴν ποιητικῶν σχεδίων ἤκμαζον. Ἀλλὰ καὶ ὁ πῆχυς οὗτος ἠδύνατο μετρῆσαί πως τὰ ὁμηρικὰ ἔπη, εἰ ταῦτα εἰς ἡμᾶς περιήρχοντο, οἷα ἐκ τοῦ στόματος τοῦ ποιητοῦ ἐξέρρευσαν. Πρὸς δὲ ἡμαρτημένη ἐστὶ καὶ ἡ ἑπομένη ἀρχή, ἣν οἱ περὶ τὸν W. Müller, Hermann καὶ Lachmann ἔθεντο. Διότι οὗτοι πᾶν μέρος τῶν ἐπῶν, ὅπερ διὰ τὸ στρογγύλον τῆς ὕλης ἢ διά τινος εἴδους ἐξωτερικῆς ἀποδείξεως νοητόν τι ὅλον δύναται ἀποτελεσθῆναι, πάραντα ὡς αὐτοτελὲς ᾆσμα ἀναγνωρίζουσιν. Πόσον ὅμως ἡ κριτικὴ αὕτη ἀρχὴ παρακεκινδυνευμένη ἐστί, πείθει ἡμᾶς τοῦτο, ὅτι μέχρι τοῦδε οἱ κριτικοὶ οὐ κατέδειξαν ἐσωτερικὰ διακριτικὰ σημεῖα τὸ ἓν ἀπὸ τοῦ ἑτέρου μέρους χωρίζοντα, ὡς εὐφυῶς ὁ σοφὸς Geppert[1]) παρετήρησεν. Ὥστε, ἄν τις δεχθῇ διαφόρους ποιητὰς τῶν ᾀσμάτων τούτων, ὀφείλει δημιουργῆσαι αὐτοὺς ἀτομικῶς μὲν διαφόρους, πνευματικῶς δὲ μέχρι συγχύσεως ὁμοίους, ὅπερ παρὰ φύσιν.

Πρὸς δὲ ὁ Lachmann πρὸ τῆς τομῆς τῆς Ἰλιάδος ὤφειλε τρία σπουδαῖα ζητήματα λῦσαι. Πρῶτον ὤφειλεν ἀποδεῖξαι, ὅτι τὰ ἔπη τοῦ Ἀρκτίνου, τοῦ Λέσχου, τοῦ Στασίνου καὶ τῶν ἄλλων κυκλικῶν τῶν μεθ' Ὅμηρον ἀκμασάντων εἶχον κρείττονα τῶν ὁμηρικῶν ἑνότητα. Ἀλλὰ τοὐναντίον ὁ Ἀριστοτέλης, ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ ἐδείξαμεν, τὰ ἔπη πάντων τῶν ἄλλων ἐπικῶν χείρονα τὴν ἑνότητα ὀνομάζων ἐπιλέγει, ὅτι ἡ μικρὰ Ἰλιὰς καὶ τὰ Κύπρια ἔπη εἰς πλείονας τῶν ὀκτὼ τραγῳδιῶν διῃροῦντο. Ἀλλ', εἰ πάντα τὰ τῆς ἐπικῆς ποιήσεως προϊόντα οὐ μόνον οὐκ ἦσαν κρείττονα τὴν ἑνότητα τῶν ὁμηρικῶν ἐπῶν, ἀλλὰ καὶ πολὺ χείρονα, τὰ ἁμαρτήματα, ἅπερ οἱ περὶ τὸν Lachmann δεικνύουσιν, ἴσως, ἂν ὄντως ἀποδειχθῶσιν, ἀποδει-

1) Ueber den Ursprung der Homerischen Gesänge, Leipz. 1840.

κνύουσι μόνον, ὅτι οἱ Ἕλληνες ἐπικοὶ ποιηταὶ τοὺς ὀρθοὺς νόμους τῆς ἐποποιίας, οὓς ὁ Lachmann τίθησιν, ἠγνόουν καὶ πλέον οὔ. Δεύτερον δυνάμεθα παρ' ἐπῶν ἑνότητα ἐχόντων οὕτως αὐστηρὰν μέχρι τοῦ ἐλαχίστου συμφωνίαν ἀπαιτεῖν, πᾶν δὲ εἰς αὐστηρὰν κριτικὴν μὴ ὑποβαλλόμενον ὡς προϊὸν ἄλλου ποιητοῦ θεωρεῖν; Τελευταῖον αἱ ἀντιφάσεις, ἀνωμαλίαι, τὰ ῥήγματα καὶ πάνθ', ὅσα οἱ περὶ τῶν Lachmann εὑρίσκουσιν, οὐδὲν ἄλλο σημαίνουσιν, ἢ ὅτι τὰ ὁμηρικὰ ἔπη ἐξ αὐτοτελῶν ᾀσμάτων συνέστησαν; Τὸ μὲν δεύτερον ζήτημα ἐξετασθήσεται ἔν τινι τῶν ἑπομένων κεφαλαίων, ἐν ᾧ ὁ λόγος περὶ τῆς θεωρίας τοῦ Lachmann, πρὸς δὲ τὸ τρίτον δικαίως ὁ Friedländer [1]) ἀρνητικὴν ἀπόκρισιν δίδωσιν. Ἡμεῖς τὰ ἁμαρτήματα, ἅπερ οἱ περὶ τὸν Lachmann δεικνύουσιν, ἀποδίδομεν εἰς τὰς ἑπομένας ἐννέα αἰτίας.

1) *Εἰς τοὺς μύθους καθ' ὅλου.* Τούτους δυνάμεθα διελεῖν εἰς δύο τάξεις· α′) εἰς τοὺς περὶ θεῶν μύθους καὶ β′) εἰς τοὺς περὶ ἡρώων. Οἱ πρῶτοι τοσοῦτον διάφοροι πρὸς ἀλλήλους ἦσαν, ὅσον ἡ θρησκευτικὴ φαντασία ἑκάστου ἀτόμου. Νῦν, εἰ καὶ ἐκκλησιαστικοὶ σύνοδοι καὶ δόγματα τὰ περὶ τοῦ θείου ὥρισαν καὶ ἁμάρτημα μέγα παρὰ τοῖς ἀνθρώποις νομίζεται, εἴ τις διάφορον περὶ τοῦ θείου γνώμην ἐκφράσει, ὅμως συχνάκις παρατηρεῖται ἡ περὶ τῆς φύσεως τοῦ θείου διάφορος θεωρία τοῦ ἀτόμου. Παρὰ δὲ τοῖς μεθ' Ὅμηρον Ἕλλησιν, οἵτινες δημοκρατικήν τινα θρησκείαν εἶχον, τοσαῦται θρησκευτικαὶ διαφοραὶ ὑπῆρχον, ὅσοι καὶ οἶκοι. Οἱ καλούμενοι *ἱεροὶ λόγοι* οὕτω πολλοὶ καὶ οὕτω περιπεπλεγμένοι ἦσαν, ὥστε καὶ τὸ ἐξοχώτερον πνεῦμα οὐκ ἠδύνατο ἐκ τούτων θρησκευτικὸν σύστημα πρὸς ἑαυτὸ μὴ ἀντιφάσκον ἀποτελέσαι. Ἡ δὲ τῶν ὁμηρικῶν χρόνων φύσις πείθει ἡμᾶς, ὅτι τότε ἡ θρησκευτικὴ φαντασία πλουσιωτέρα ἦν καί, ὡς εἰκός, αἱ θρησκευτικαὶ διαφοραὶ πλείονες. Διὰ τοῦτο δικαίως ὁ σοφὸς Curtius ἐλέγχει τὸν Cauer [2]) τὸν ἐπὶ τῆς Ἴδης Δία πρὸς τὸν

---

1) Homerische Kritik von Wolf bis Grote σελ. 17—18. 2) Ueber die Urform einiger Rhapsodien der Ilias, Berlin 1850, σελ. 55.

ἐν τῇ Πατροκλείᾳ παραβάλλοντα καὶ ἀποφαινόμενον, ὅτι ὁ εἷς πρὸς τὸν ἕτερον οὐδὲν ἄλλο κοινὸν ἔχει, ἢ τὸ ὄνομα. Διότι κατὰ τὸν σοφὸν ἄνδρα ἡ διαφορὰ κεῖται ἐν τῷ μύθῳ [1]). Λυπούμεθα ὅμως, ὅτι ὁ Curtius τὴν ἀρχὴν ταύτην οὐκ ἐφαρμόζει πανταχοῦ τῶν ὁμηρικῶν ἐπῶν, ἀλλὰ προείλετο τὴν τοῦ Lachmann θεωρίαν ἐπιδοκιμάσαι. Οἱ περὶ θεῶν λοιπὸν μῦθοι περιεῖχον ἀντιφάσεις δυναμένας εἰς τὰ ὁμηρικὰ ἔπη εἰσρεῦσαι. Εἰς τὸ αὐτὸ δὲ συμπέρασμα φθάνομεν, ἂν τὴν γένεσιν τῶν περὶ ἡρώων μύθων ἐξετάσωμεν. Συχνάκις ἁλίσκομεν καὶ τοὺς κριτικωτέρους τῶν ἱστορικῶν χρόνων ἄνδρας πράττοντάς τε καὶ λέγοντας ἀντιφατικὰ πρὸς τὰ ὑφ' ἑαυτῶν πεπραγμένα καὶ εἰρημένα. Τοῦτο δὲ συμβαίνει ὁτὲ μὲν ἀκουσίως, ὁτὲ δὲ καὶ ἑκουσίως. Ἂν δέ τις τὴν ἱστορίαν τῶν ἀνδρῶν τούτων ἀκριβῶς περιγράψῃ, ὁ ἀναγνώστης εὑρίσκει ἐν τῇ ἱστορίᾳ αὐτῇ ἀντιφάσεις. Εἰ δὲ ἄνδρες, ὧν ἡ κρίσις ἄρχει, πρὸς ἑαυτοὺς ἀντιφάσκουσιν, οἱ ὁμηρικοὶ ἄνθρωποι, ὧν ἡ πρὸς ἑαυτὴν φύσει ἀντιφάσκουσα φαντασία ἐδέσποζε, πολὺ πλείονα ἀντιφατικὰ καὶ ἔπρασσον καὶ ἔλεγον. Ἐν αὐτῇ λοιπὸν τῇ γενέσει τῶν μύθων ἔγκεινται σπέρματα ἀντιφάσεων. Οὕτω λοιπὸν οἱ μῦθοι τῶν τε θεῶν καὶ ἡρώων ἀντιφατικοὶ ὄντες εἰς τὰ ὁμηρικὰ ἔπη εἰσέρρευσαν.

2) Εἰς τὰς διαφορὰς τὰς ἐν τοῖς τοπικοῖς μύθοις ἐνυπαρχούσας. Διότι οἱ ἐν τοῖς ὁμηρικοῖς ἔπεσι μῦθοί εἰσι προϊόντα τῶν διαφόρων τοῦ ἑλληνικοῦ κόσμου χωρῶν καί, ὡς εἰκός, τοσοῦτον διάφοροι ἦσαν, ὅσον διάφοροι ἦσαν αἱ χῶραι, ἐν αἷς ἐποιήθησαν. Ὁ δὲ ποιητής, ὅστις πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω, οὐ μόνον τὴν ἰδίαν φύσιν κατὰ τὰ διάφορα ἔθιμα ἐμόρφωσεν, ἀλλὰ καὶ τῶν τοπικῶν μύθων διάφορα ἔθιμα παρέλαβεν. Δυστυχῶς οἱ κριτικοί, ἀρχαῖοί τε καὶ νεώτεροι, κρίνουσι τὰ ὁμηρικὰ ἔπη, ὡσεὶ οἱ ἐν τούτοις μῦθοι προϊόντα τοῦ αὐτοῦ νοὸς ἦσαν.

---

1) Andeutungen über den gegenwärtigen Stand der Homerischen Frage σελ. 41.

3) *Εἰς τὴν διάδοσιν τῶν μύθων.* Οὗτοι οὐκ ἐγράφοντο, ἀλλὰ πτερόεντες ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἐφέροντο. Ὁ μῦθος, φέρ' εἰπεῖν, τῆς ἔριδος τοῦ Ἀγαμέμνονος καὶ Ἀχιλλέως οὐ μόνον ἄλλως ἐνοήθη καὶ παρεδόθη ὑπὸ τῶν Ἀργείων καὶ ἄλλως ὑπὸ τῶν Μυρμιδόνων, ἀλλὰ καὶ οἱ ἑκατέρων ἀπόγονοι τὰς Ἑλληνίδας πόλεις περιερχόμενοι ἄλλως ταύτην παρέδιδον.

4) *Εἰς ἀκούσια τοῦ ποιητοῦ ἁμαρτήματα.* Παρὰ τοῖς ποιηταῖς, ἀρχαίοις τε καὶ νεωτέροις, ἡ ἀντίφασις οὕτω κοινὴ ἐγένετο, ὥστε κινδυνεύει νόμος τῆς ποιήσεως γενέσθαι. Αὕτη ψεκτὴ μέν ἐστι, ἀλλ' ἐνυπάρχει τῇ φαντασίᾳ, τῇ δημιουργῷ τῆς ποιήσεως. Ὡς τὸ θερμόμετρον σπανίως δείκνυσι τὸν αὐτὸν βαθμὸν θερμοκρασίας, οὕτω καὶ ἡ φαντασία σπανίως ἐξ ἴσου ἐκ τοῦ ἐξωτερικοῦ κόσμου θερμαινομένη ἀνόμοια καὶ ἀντιφατικὰ προϊόντα παράγει. Πολλοὶ μὲν τῶν ποιητῶν πειρῶνται, ὅπως τὰ τῆς φαντασίας προϊόντα διὰ τῆς κρίσεως λειάνωσι, καὶ τὰς ἐν αὐτοῖς ἀντιφάσεις ἀποτρίψωσιν, ἀλλ' ἐν τοῖς ὁμηρικοῖς χρόνοις ἡ κρίσις ἦν ἀσθενὴς καὶ πρὸς τοιοῦτον ἔργον ἀνεπιτηδεία. Διὰ ταῦτα νομίζομεν, ὅτι, καὶ εἰ ἄπειρον πλῆθος ἐπῶν ἐν τοῖς ὁμηρικοῖς χρόνοις ἐποιεῖτο καὶ μέχρις ἡμῶν περιήρχετο, ἔμελλεν ἔχειν ἀντιφάσεις, οἵας ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια. Ἐπειδὴ δὲ πρὸ τοῦ Lachmann ἐν πολλοῖς ἑκατομμυρίοις ἀκροατῶν καὶ ἀναγνωστῶν οὐδεὶς εὗρε τοιαύτας ἀντιφάσεις, οἵας ὁ εἰρημένος κριτικός, αὗται οὕτω μικραί εἰσιν, ὥστε μόνον διὰ τοῦ μικροσκοπίου τῆς κριτικῆς ὁραταί γίνονται. Οἱ ὁμηρικοὶ ὅμως ἀναγνῶσται πρὸ τῶν ὀφθαλμῶν τοιοῦτον μικροσκόπιον μὴ ἔχοντες ἠδύναντο ποιητὴν ἔνοχον τοιούτων ἀντιφάσεων ἐπαινεῖν καὶ θαυμάζειν. Τοὺς δὲ ποιητὰς ὀφείλομεν θεωρεῖν μεγάλους ἢ μικροὺς οὐχὶ ἀπολύτως, ἀλλ' ἐν παραβολῇ πρὸς τὴν ἀνάπτυξιν τῆς ἐποχῆς, καθ' ἣν ἔζησαν. Διότι, εἰ ἦν δυνατόν, ἵνα πάντες οἱ ἄνθρωποι μικροσκόπια πρὸ τῶν ὀφθαλμῶν φέρωσι, δηλαδή, εἰ εὔκολον ἦν, ἵνα οἱ λαοὶ τοὺς αὐτῶν ποιητὰς διὰ τοῦ ὀφθαλμοῦ τῆς κριτικῆς ὁρῶσι, τότε δὴ καὶ αἱ περὶ αὐτῶν ἰδέαι ἔμελλον πολὺ μεταβληθῆναι.

Ἀλλ' οὐχ οὕτως. Διότι ταῦτα παρὰ φύσιν εἰσίν. Ἐν τοῖς ἀκοσίοις δὲ τοῦ ποιητοῦ ἁμαρτήμασι θετέαι οὐ μόνον αἱ ἀντιφάσεις, ἀλλὰ καὶ ἡ ὑποδεεστέρα ποιητικὴ ἀξία στίχων πρὸς κρείττονας παραβαλλομένων. Διότι καὶ ὁ θεῖος Ὅμηρος ἐνίοτε κοιμᾶται, ὡς πάντες οἱ ποιηταί. Ἐν οὐδενὶ δὲ ποιήματι δυνάμεθα εὑρεῖν πάντα τὰ μέρη ἴσα τὴν ποιητικὴν ἀξίαν. Ἡ δ' ἀνισότης ἐπὶ ψυχολογικῶν νόμων ἐρείδεται. Διότι ἡ φαντασία, ὡς εἴρηται, καὶ αἱ ἄλλαι τῆς ψυχῆς δυνάμεις οὐδέποτε ἢ σπανίως ἴσην δύναμιν ἔχουσιν. Ἄλλως πάντα τὰ μέρη τῶν ὁμηρικῶν ἐπῶν, ἅπερ ὑπὸ τῶν κριτικῶν ὡς ὑποδεέστερα ἄλλων δεικνύονται, οὐκ ἔχουσι πρὸς ἄλληλα τοσαύτην διαφοράν, ὅση οὐ δύναται ἀποδοθῆναι τῇ διαφόρῳ ψυχικῇ καταστάσει τοῦ αὐτοῦ ποιητοῦ, ἀλλὰ τῇ ἐν πολλοῖς ποιηταῖς ὑπαρχούσῃ [1]). Ἂν δὲ τὰ ὑποδεέστερα τὴν ἀξίαν χωρία θεωρηθῶσι προϊόντα μιμητικοῦ νοός, νομίζομεν, ὅτι μᾶλλον οἱ μιμηταὶ τὴν ἰδίαν φύσιν ὑπερβάντες τῷ γνησίῳ μέχρι συγχύσεως προσεπέλασαν, ἢ ἐκεῖνος ἐν τῷ ὕπνῳ καὶ τῇ λήθῃ οὕτω διάφορος ἑαυτοῦ ἐγένετο, ὥστε μιμηταῖς ἀφωμοιώθη.

5) **Εἰς ἑκούσια τοῦ ποιητοῦ ἁμαρτήματα.** Ἐν τοῖς ἔμπροσθεν ἤδη εἴρηται, ὅτι ὁ Ὅμηρος ᾄσματα προγενεστέρων ἀοιδῶν ἐν τοῖς αὑτοῦ ἔπεσιν ἐνύφανεν. Ἐπιθυμῶν δέ, ὅπως ταῦτα περιεκτικώτερα ἀναδείξῃ, ἠναγκάσθη δέξασθαι ὕλην, ἥτις παραβαλλομένη πρὸς ἐκείνην, ἣν ἤδη κατεῖχεν, ἀντιφατικὴ ἦν, καὶ ὡς τοιαύτην ἴσως καὶ αὐτὸς ὁ ποιητὴς ἀνεγνώριζεν. Εἰς ἑκουσίαν δὲ παραδοχὴν ἀντιφάσεων συνεβάλλοντο καὶ τὸ φιλόπατρι τοῦ ποιητοῦ καὶ ἡ κολακεία πρὸς τοὺς τῆς μικρᾶς Ἀσίας ἡγεμόνας, οἵτινες ἦσαν ἢ ἐνομίζοντο ἀπόγονοι τῶν ἡρώων, ὡς εὐφυῶς ὁ Otfr. Müller [2]) παρετήρησεν. Εἰ καὶ ὁ Ὅμηρος ὑπισχνεῖται ἐν ἀρχῇ τῆς Ἰλιάδος, ἵνα συμφορὰς τῶν Ἀχαιῶν ᾄσῃ, ὅμως ἕκαστος παρατηρεῖ, ὅτι ὁ ποιητὴς τείνει, ἵνα τὸν

---

1) Ὁ σοφὸς Geppert ὁμολογεῖ τοῦτο, ἀλλὰ δυστυχῶς τῆς ἐφαρμογῆς αὐτοῦ ἀπέσχεν. Ueber den Ursprung der Homerischen Gesänge I, 450 „Wer ist im Stande, daran zu unterscheiden, ob ein Fremder den Homer nachahmt, oder ob er sich selbst vergisst?" 2) Geschichte der griech. Literatur I, 89.

φόνον ἑκάστου ἐξόχου ἥρωος τῶν Ἀχαιῶν διὰ τοῦ φόνου ἐξοχωτέρου Τρωὸς τιμωρήσῃ, καὶ ὅτι ἐν ταῖς ἡμέραις, καθ' ἃς οἱ Ἀχαιοὶ ἡττῶνται, πλείονες Τρῶες, ἢ Ἕλληνες πίπτουσιν.

6) *Εἰς τὴν ἀποτυχίαν τοῦ ποιητοῦ.* Ἐπειδὴ ὁ Ὅμηρος μέγας καὶ θεσπέσιος ὑπὸ τῶν ἀρχαίων ὀνομάζεται, οἱ κριτικοὶ ἐνόμισαν, ὅτι οὗτος ὁ μέγας παρὰ τοῖς ἀρχαίοις ποιητὴς ὤφειλεν ἔχειν πάσας τὰς ἀρετάς, ὅσας οἱ μεγάλοι τῶν νεωτέρων χρόνων ποιηταὶ ἐπιδεικνύουσιν. Οὐχὶ δικαίως. Διότι ὁ μέγας τῶν ὁμηρικῶν χρόνων ποιητὴς ἴσως οὐκ ἦν ἱκανός, ὅπως σχέδιον (ἐν τῇ ὑποθέσει, ὅτι οἱ περὶ τὸν Lachmann ἡμαρτημένον ἠδύναντο ἀποδεῖξαι) ὑποτυπώσῃ καὶ ὅπως τὴν ὕλην οὕτως ἐπιτηδείως διατάξῃ, ὡς νεώτερος ποιητής. Διότι ἐν μὲν τοῖς νεωτέροις χρόνοις τὸ πνεῦμα τῆς διατάξεως τῆς ὕλης λίαν ἀνεπτύχθη, ἐν τοῖς ὁμηρικοῖς ὅμως, ὡς ἐκ τῆς φύσεως τῆς ἐποχῆς εἰκάζομεν, ἦν λίαν ἀσθενές. Ὁ ποιητὴς ἐπειράθη μὲν τοῦ ἔργου, ἀλλ' ἴσως ἔν τισιν ἀπέτυχεν. Ἴσως δὲ καὶ ὁ μέγας τῆς ὕλης ὄγκος οὕτως ἐδάμασε τὸ πνεῦμα τοῦ ποιητοῦ, ὥστε οὗτος οὐκ ἠδυνήθη, ἵνα τὰ ἔπη εἰς μείζονα ἑνότητα ὑποβάλῃ.

7) *Εἰς τὴν ἔλλειψιν τοῦ ἔθους καὶ τὴν στέρησιν τῶν μέσων πρὸς διόρθωσιν.* Οἱ περὶ τὸν Wolf ἀποφαίνονται, ὅτι ἐφ' Ὁμήρου ἡ γραφὴ ἄγνωστος ἦν, ἡ δ' ἄγνοια ταύτης ἐπιτρέπει τῷ Ὁμήρῳ πλείονα ἁμαρτήματα, ἢ ἡ γνῶσις αὐτῆς. Ἀλλ' ὁ ποιητής, καίπερ τὴν γραφὴν γινώσκων, ὅμως οὔτε τὸ ἔθος τοῦ διορθοῦν, οὔτε τὰ τῆς διορθώσεως μέσα πρόχειρα εἶχεν, ὡς οἱ νεώτεροι ποιηταί, οἵτινες οἱονεὶ τῇ συμβουλῇ τοῦ Ὁρατίου ἑπόμενοι μακρὸν χρόνον πρὸ τῆς ἐκδόσεως διορθοῦσι τὰ αὐτῶν ποιήματα καὶ μετὰ τὴν ἔκδοσιν οὐ παύονται τὸ αὐτὸ πράσσοντες. Πρὸς δὲ οἱ ἀρχαῖοι ἤδη εἴκασαν, ὅτι ὁ Ὅμηρος βραδύτερον παρενέβαλεν ἐν τοῖς ἔπεσι μέρη, ἅπερ, ὡς εἰκός, μετὰ τῶν ἄλλων μερῶν οὐκ ἠδύναντο ἐπιτυχῶς συναρμοσθῆναι.

8) *Εἰς τὰ μέσα τῆς διαδόσεως τῶν ἐπῶν.* Ἂν δεχθῶμεν, ὅτι τὰ ὁμηρικὰ ἔπη αἰῶνας διὰ στοματικῆς

παραδόσεως κατέρρεον, θαυμάζομεν, ὅτι ταῦτα οὐ πλείονα ῥήγματα καὶ μείζονας ἀνωμαλίας καὶ ἀντιφάσεις περιέχουσιν. Ἀλλά, καὶ εἰ τὰ ἔπη ἐξ ἀρχῆς ἐγράφησαν, ὡς πιστεύομεν, πάλιν τὰ τοιαῦτα ἐξηγοῦνται. Διότι, ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ ἐδείχθη, τὰ ἔπη διεφθάρησαν ὑπὸ τῶν Ὁμηριδῶν, τῶν ῥαψῳδῶν, τῶν Πεισιστρατιδῶν, τῶν σοφιστῶν, τῶν κριτικῶν καὶ ἑρμηνευτῶν.

9) ***Εἰς φαινόμενα ἁμαρτήματα, ἢ εἰς τὴν παρανόησιν τῶν ὁμηρικῶν ἐπῶν.*** *Διότι οἱ κριτικοὶ τοὺς ὁμηρικοὺς ἀνθρώπους κατὰ τὸν βίον τῶν δημοτῶν τῆς αὐτῶν ἐποχῆς κρίνοντες εὑρίσκουσιν ἁμαρτήματα ἐκεῖ, ἔνθα ὄντως οὐχ ὑπάρχουσιν. Πρὸς δὲ κατὰ πολλοὺς καὶ διαφόρους τρόπους παρανοοῦσι τὰ ὁμηρικὰ ἔπη, ὡς ἐν ὅλῳ τούτῳ τῷ βιβλίῳ δειχθήσεται. Παραδείγματος χάριν ὁ* Lachmann *τὴν ὁμηρικὴν φράσιν ὅρκια τέμνειν ἑρμηνεύων διὰ τοῦ σφάττειν ἀρνία ἁλίσκει τὸν ποιητὴν ἔνοχον ἀντιφάσεως, ἧς οὗτος ἀθῶός ἐστιν.*

Τῶν ἐννέα δὲ τούτων κατηγοριῶν αἱ μὲν ἀνήκουσι τοῖς μύθοις, αἱ δὲ διὰ τὰς εἰρημένας αἰτίας τῷ ποιητῇ, καὶ αἱ πλεῖσται, εἰ μὴ πᾶσαι, τοῖς κριτικοῖς. Ἡμεῖς γε μόλις δυνάμεθα εὑρεῖν σπουδαῖόν τι ἁμάρτημα ἐκ τῶν ἀναριθμήτων, ἅπερ οἱ περὶ τὸν Lachmann *δεικνύουσιν. Ἴσως λεπτῆς περὶ τὴν ποίησιν αἰσθήσεως στερούμενοι πλανώμεθα, ὅμως ἐρειδόμεθα ἐπί τινων ἀποδείξεων, ὧν καὶ τῷ ἡμετέρῳ ἀναγνώστῃ μεταδίδομεν. Ἀρχόμεθα δὲ κατὰ φύσιν ἐκ τῶν προοιμίων.*

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῶν προοιμίων τῆς Ὀδυσσείας καὶ Ἰλιάδος.

Οἱ δεξάμενοι, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐξ αὐτοτελῶν ᾀσμάτων συνέστησαν, νομίζουσιν, ὅτι τὰ προοίμια αὐτῶν ὑπὸ

τῶν συναρμογέων ἐποιήθησαν[1]). *Ἀλλ', ὅσον ἡμαρτημένη ἡ ὑπόθεσις Πεισιστρατείου συναρμογῆς ἐδείχθη, τοσοῦτον ἄτοπος ἡ ἐκ ταύτης γεννηθεῖσά ἐστιν. Ὅμως, καίπερ ἀτόπου δειχθείσης τῆς πρώτης ὑποθέσεως, ἐξετάσωμεν τὰ προοίμια. Οἱ πλεῖστοι τῶν κριτικῶν ψέγουσι ταῦτα ὡς δῆθεν πάνυ ὀλίγα μέρη τῶν ἐπῶν προαγγέλλοντα*[2]).

Πρῶτον οἱ ταῦτα ψέγοντες ὤφειλον ἀποδεῖξαι, ὅτι οἱ τῶν ὁμηρικῶν χρόνων ποιηταὶ ἐν τοῖς προοιμίοις πάντα τὰ μέρη τῶν ποιημάτων προήγγελλον. Ἀλλ', ἐν ᾧ οὗτοι οὐδεμίαν ἀπόδειξιν ἔχουσιν, ὅλως τὸ ἐναντίον καὶ ἐκ τοῦ καθ' ὅλου χαρακτῆρος τῶν Ἰώνων καὶ ἐκ τῆς ὁμηρικῆς ποιήσεως ἰδίᾳ ἀποδείκνυται. Εἰ ὁ Ὅμηρος ἦν Δωριεύς, ἴσως ὤφειλε περιορισθῆναι ἐν τοῖς διὰ τῶν προοιμίων προηγγελμένοις. Εἰ ὅμως οὗτός ἐστιν Ἴων, οἱ δὲ πολύλογοι Ἴωνες καὶ τὰς ἀπωτάτω κειμένας ἰδέας διὰ λεπτοτάτων μίτων μετὰ τῆς κυρίας ὑποθέσεως συνδέουσι, δικαίως θαυμάζομεν, ὅτι οἱ περὶ τὸν W. Müller, *καίπερ παντὶ σθένει τὴν ἰωνικὴν τῶν ὁμηρικῶν ἐπῶν γένεσιν ὑποστηρίζοντες, ὅμως τῆς τούτων φύσεως ἀμνήμονες γίνονται. Πρὸς δὲ ἐν τοῖς ἔμπροσθεν ἤδη εἴδομεν*[3]), *ὅτι ὁ* W. Müller *τὰ ἀρχαῖα ὀνόματα τῶν διαφόρων τῆς Ἰλιάδος μερῶν θεωρεῖ ὡς ὀνόματα τῶν ἀρχαίων αὐτοτελῶν ᾀσμάτων. Ταῦτα ὅμως εἰπὼν ὁ ἀνὴρ ὤφειλεν εἶναι ἀκόλουθος. Διότι οὐδὲν τούτων τῶν ᾀσμάτων περιορίζεται ἐν τῇ ὕλῃ, ὅση ὑπὸ τῆς ἐπιγραφῆς προαγγέλλεται. Ἴσως πολλαὶ τῶν ἐπιγραφῶν τούτων οὐκ ἀντιστοιχοῦσι πρὸς τὴν κατὰ βιβλία τοῦ Ἀριστάρχου διαίρεσιν, ἣν νῦν ἔχομεν, ἀλλὰ τοῦτο οὐ κωλύει, ὅπως ὁ πλεονασμὸς δειχθῇ. Διότι τὰ πλεονάζοντα μέρη οὔτε τῇ ἡγουμένῃ, οὔτε τῇ ἑπομένῃ ἐπιγραφῇ προσήκουσιν· π·χ ἐν ᾧ ἡ τοῦ πρώτου βιβλίου ἐπιγραφή ἐστι Λοιμὸς καὶ Μῆνις, ὁ Μυλλέρειος ποιητὴς ᾄδει ταῦτα καὶ πρὸς τούτοις ὁμιλίαν τῆς Θέτιδος καὶ τοῦ Ἀχιλλέως, ἀπόδοσιν τῆς Χρυσηίδος, ἔριδα τοῦ Διὸς καὶ τῆς Ἥρας, συμπόσιον τῶν θεῶν*

---

1) Homerische Vorschule σελ. 164. 2) B. Thiersch, Urgestalt der Odyssee, Königsb. 1821. W. Müller, *Αὐτόθι* 158. 3) *Σελ.* 168.

καὶ ᾠδὴν τῶν Μουσῶν. Τί λοιπὸν παθὼν ὁ Μυλλέρειος ἀοιδὸς οὐ περιωρίσθη ἐν τῷ θέματι αὐτοῦ; Εἰ ὁ W. Müller ἀποφαίνεται, ὅτι ἡ μῆνις τοῦ Ἀχιλλέως οὐ περιλαμβάνει πᾶσαν τὴν ἐν τῇ Ἰλιάδι μυθικὴν ὕλην, ὤφειλεν ἀποδεῖξαι, ὅτι τὰ ᾄσματα αὐτοῦ μόνον τὴν διὰ τῶν οἰκείων ἐπιγραφῶν προαγγελλομένην ὕλην περιέχουσιν. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τὸ μικρότερον ὁμηρικὸν τμῆμα καὶ ἡ μικροτέρα ὁμηρικὴ φράσις περιέχει πλεονασμόν, ὃς τῷ τῶν Ἰώνων χαρακτῆρι συμπέφυκεν. Εἰ δ' οὕτως ἔχει, ὁ Ὅμηρος οὐ παρέβαινε τὴν ἰδίαν φύσιν, εἰ μὴ τοῦ κυρίου θέματος ἐξήρχετο;

Πρὸς δὲ ὁ ὁμηρικὸς Δημόδοκος σαφέστατα περὶ του ζητήματος μαρτυρεῖ. Οὗτος ᾄδει τὸ νεῖκος τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως [1]), ὁ δ' Ὀδυσσεὺς τοῦ ᾄσματος ἀκροασάμενος ἐπαινεῖ αὐτόν, ὅτι κατὰ κόσμον ᾖσεν, ὅσσ' ἔρξαν τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί [2]). Ἀλλὰ νεῖκος τοῦ Ὀδυσσέως καὶ Ἀχιλλέως οὔτε πράξεις, οὔτε πάθη τῶν Ἀχαιῶν ἠδύνατο περιέχειν, εἰ ὁ ἀοιδὸς κατὰ τὴν κρίσιν τοῦ W. Müller ἐν τῷ θέματι αὐτοῦ περιωρίζετο. Εἶτα ὁ αὐτὸς ἀοιδὸς ἀναδεξάμενος [3]) ᾆσαι τὸν δούρειον ἵππον ᾄδει τὸν ἐμπρησμὸν τῶν σκηνῶν, τὸν ἀπόπλουν τῶν Ἀχαιῶν, τὴν κομιδὴν τοῦ ἵππου εἰς τὴν ἀκρόπολιν, τὰς ἀκρίτους τῶν Τρώων ἀγορεύσεις, τὴν ὑπὸ τῶν Ἀχαιῶν πόρθησιν τῆς πόλεως, τὴν εἰσβολὴν τοῦ Ὀδυσσέως καὶ Μενελάου εἰς τὰ δώματα τοῦ Δηιφόβου καὶ τὴν ἐν αὐτοῖς μάχην [4]). Ἔμελλε δ' ἐξακολουθῆσαι, εἰ μὴ τὰ δάκρυα τοῦ Ὀδυσσέως τὴν ᾠδὴν διέκοπτον. Ἐρωτῶμεν λοιπὸν τοὺς περὶ τὸν W. Müller, εἰ πάντα ταῦτα τῷ δουρείῳ ἵππῳ ἀνήκουσιν. Κατὰ τὸ μέτρον, δι' οὗ οὗτοι τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἐμέτρησαν, τῇ ἀληθείᾳ οὐχί. Εἰ λοιπὸν τὰ μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος πλεονάζουσι, τοῦτο ἀποδείκνυσιν, ὅτι ἡ Ἰλιὰς ἐποιήθη ἐν ἐποχῇ, καθ' ἣν τοιοῦτοι πλεονασμοὶ συνήθεις ἦσαν, καὶ οὐχὶ ἐπὶ Πεισιστράτου, ἐφ' οὗ ἦσαν ἀσυγχώρητοι.

---

1) Ὀδυσσ. Θ 75. 2) Αὐτόθι 590. 3) Αὐτόθι 492. 4) Αὐτόθι 500.

Εἶτα, εἰ τὰ προοίμια τῶν ὁμηρικῶν ἐπῶν οὐκ ἐποίησεν ὁ Ὅμηρος, ἀλλ' οἱ περὶ τὸν Πεισίστρατον, τὸ ζήτημα μένει τὸ αὐτό, ἢ μᾶλλον ἡ λύσις αὐτοῦ δυσχερεστέρα ἀποβαίνει. Διότι ὁ μὲν Ὅμηρος ἴσως διὰ τὴν φύσιν τῆς αὐτοῦ ἐποχῆς οὐκ εἶχεν ἐπιτήδειον πνεῦμα, ὅπως πάντα τὰ μέρη τῶν ἐπῶν ἐν τοῖς προοιμίοις προαγγείλῃ, ἴσως μικρότερα ἔπη ἐποίησεν, ἴσως ἡ πολλὴ καὶ ποικίλη ὕλη τὸ πνεῦμα αὐτοῦ ἐδάμασεν, οἱ περὶ τὸν Πεισίστρατον ὅμως, οἱ πάντα τὰ μέρη τῶν ἐπῶν ὑπ' ὄψιν ἔχοντες καὶ ἐπιτηδειότεροι (εἰ δὴ κατὰ τὸν Lachmann *τοσαύτας συναρμογὰς καὶ περιπλοκὰς ἐποίησαν) τοῦ Ὁμήρου κατά γε ταύτην τὴν ἰδιότητα ὄντες, ὤφειλον ποιῆσαι τοιαῦτα προοίμια, οἷα οἱ περὶ τὸν* W. Müller *ἀπαιτοῦσιν. Οἱ ἑταῖροι τοῦ Πεισιστράτου ἴσως οὐκ ἠδύναντο μιμήσασθαι τὴν ὁμηρικὴν γλῶσσαν, ὅμως διὰ τὴν φύσιν τῆς ἐποχῆς εἶχον, ἢ ὤφειλον ἔχειν μείζονα τοῦ Ὁμήρου ἐπιτηδειότητα πρὸς ἀφαίρεσιν τῶν κυριωτέρων ἰδεῶν τοῦ ἔπους καὶ πρόταξιν αὐτῶν ἐν προοιμίῳ. Ὅμως ὑπάρχει τὸ ἐναντίον. Διότι ἡ μὲν γλῶσσα καὶ ὑπ' αὐτοῦ τοῦ* W. Müller[1]) *ὁμολογεῖται ὡς ὁμηρική, ἡ δὲ μικρὰ περιοχὴ ψέγεται. Τοῦτο προδήλως ἀποδείκνυσιν, ὅτι τὰ προοίμια οὐχὶ ὑπὸ τῶν ἑταίρων τοῦ Πεισιστράτου, ἀλλ' ὑπὸ τοῦ Ὁμήρου ἐποιήθησαν.*

Πρὸς δέ, εἰ τὰ προοίμια τῶν ὁμηρικῶν ἐπῶν περιεκτικώτερα ἦσαν, ἡμεῖς γε ἠναγκαζόμεθα ὁμολογῆσαι, ὅτι ταῦτα ἐποιήθησαν ἐν χρόνοις, καθ' οὓς οὐχὶ ἡ φυσικὴ τέχνη, ἀλλ', εἰ δυνάμεθα εἰπεῖν, ἡ τεχνικὴ τέχνη ἤκμαζεν. Καὶ δὴ εὑρίσκομεν φράσεις, ἃς οἱ συναρμογεῖς τῶν Πεισιστρατείων χρόνων οὐκ ἠδύναντο ἐμβαλεῖν ἐν μικροῖς προοιμίοις προωρισμένοις, ὅπως τὸν ἀκροατὴν εἰς ἀκρόασιν μακρῶν ἐπῶν προπαρασκευάσωσιν, ὡς ἐν μὲν τῇ Ὀδυσσείᾳ τὴν φράσιν, νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἤσθιον, ἐν δὲ τῇ Ἰλιάδι τὴν, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσί τε πᾶσι. Διότι οὗτοι ἀντὶ φράσεων, δι'

---

1) Homerische Vorschule *σελ.* 64 „Die Homerische Sprache ist in beiden Proömien ziemlich treu gehalten."

ὧν οἶκτος πρὸς τοὺς Ἀχαιοὺς ἐγείρεται, ὤφειλον προτιμῆσαι ἰδέας ἐκ τῶν κυριωτέρων μερῶν τοῦ ἔπους ἐξηγμένας. Εἰ καὶ τὰ προοίμια ταῦτα οὐ φαίνονται λίαν περιεκτικά, ὅμως, ἂν παραβληθῶσι πρὸς πάντα τὰ ἄλλα μέρη τῶν ἐπῶν, ὅσα ὡς προεκθέσεις προωρίσθησαν, ἀριδήλως καταδεικνύονται ἐξοχώτερα καὶ περιληπτικώτερα. Τοῦτο δὲ μαρτυρεῖ, ὅτι ὁ ποιητὴς προὔθετο μέν, ἵνα ἀκρόασιν μακρῶν ἐπῶν προπαρασκευάσῃ, ὅμως οὐκ ἠθέλησεν, ἢ οὐκ ἠδυνήθη περιεκτικώτερα προοίμια ποιῆσαι. Ὑπῆρξαν χρόνοι, καθ' οὓς οἱ φιλόσοφοι τῷ Ὁμήρῳ πάντα τὰ φιλοσοφικὰ συστήματα ἀπέδιδον, νῦν διατρέχομεν τὴν ἐποχήν, καθ' ἣν οἱ κριτικοὶ τὰ τῶν φιλοσόφων παθόντες ἀπαιτοῦσι παρὰ τοῦ ποιητοῦ πᾶσαν ποιητικὴν τέχνην, ἣν αὐτοὶ ἐπινοοῦσιν. Οὐδεὶς δ' οἶδε, πότε οὗτοι μεταμεληθήσονται, ὡς ἐκεῖνοι. Ἀλλὰ μετὰ τὰς γενικὰς ταύτας παρατηρήσεις εἰσέλθωμεν εἰς εἰδικωτέραν ἔρευναν. Ἀρχόμεθα δ' ἐκ τοῦ προοιμίου τῆς Ὀδυσσείας.

Ὁ B. Thiersch νομίζει, ὅτι τοῦτο μόνον μιᾷ ἢ δυσὶ ῥαψῳδίαις ἁρμόζει, καὶ ὅτι δῆθεν ὁ τούτου ποιητὴς οὐκ ἤθελεν ᾆσαι πολλὰ τμήματα, ὡς τὴν Μνηστηροφονίαν, τὴν τοῦ Τηλεμάχου εἰς τὴν Πύλον καὶ τὴν Σπάρτην ἀποδημίαν, τὰ κατὰ τὸν Εὔμαιον[2]) κτλ. Ἀλλ' ὁ σοφὸς ἀνὴρ τέμνει εἰς τὸν δέκατον στίχον τὸ προοίμιον, ὅπερ προδήλως λήγει εἰς τὸν εἰκοστὸν πρῶτον, ὡς καὶ αὐτὸς ὁ W. Müller[3]) ὁμολογεῖ. Διὰ τὸ ἁμάρτημα δὲ τοῦτο ὁ B. Thiersch[4]) εὑρίσκει ἄτοπον, ὅτι ἡ Ὀδύσσεια ἄρχεται διὰ τῆς φράσεως, Ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον. Ἀλλά, καὶ εἰ τὸ προοίμιον εἰς τὸν δέκατον στίχον ἔληγε, πάλιν καὶ τὸ μικρὸν τοῦτο τμῆμα τὰς πλείστας τῆς Ὀδυσσείας ῥαψῳδίας προαγγέλλει. Διότι αἱ φράσεις πολύτροπον, μάλα πολλὰ πλάγχθη, πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν, ἐν αἷς τετράκις ἐπαναλαμβάνεται τὸ

---

1) Urgestalt der Odyssee σελ. 53. 2) Αὐτόθι σελ. 54. 3) Homerische Vorschule σελ. 165. 4) Αὐτόθι σελ. 55.

ἐπίθετον πολύς, ἱκαναί εἰσιν, ὅπως δείξωσιν, ὅτι ὁ ποιητὴς πολλὰς καὶ ποικίλας τοῦ Ὀδυσσέως συμφορὰς τοῖς ἀκροαταῖς ᾄσαι ὑπισχνεῖται. Ἐπειδὴ ὅμως τοῦτο ἀριδήλως μέχρι τοῦ εἰκοστοῦ πρώτου ἐκτείνεται, περιλαμβάνει καὶ τὸν στίχον εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων, ἐν ᾧ ποιητὴς προπαρασκευάζει τὸν ἀκροατὴν εἰς τὰς ἐν οἴκῳ τοῦ ἥρωος συμφοράς. Οἱ μὴ περιεκτικὸν τὸ προοίμιον νομίζοντες ἴσως πλείονας φράσεις περὶ τῶν ἐν Ἰθάκῃ ἀπαιτοῦσιν. Ἀλλὰ τὰ κατὰ τὸν Ὀδυσσέα τὸ σπουδαιότερον μέρος τοῦ ἔπους ἐστὶ καὶ τὸ ὄνομα τούτου τὸ ἔπος φέρει. Ὁ Ὅμηρος οὔτε Πηνελόπειαν, οὔτε Τηλεμάχειαν ἐποίει. Τοῦ ποιητοῦ ἡ ψυχὴ ἦν πλήρης τῶν κινδύνων τοῦ πλανωμένου ἥρωος, ὃν παντὶ σθένει ἀγωνίζεται σῶσαι. Ὁ δ᾽ ἐμβριθῶς τὴν Ὀδύσσειαν ἀναγνοὺς παρετήρησεν, ὅτι οἱ ἐν Ἰθάκῃ κίνδυνοι οὕτω μικροὶ τῷ ἥρωι φαίνονται, ὥστε τούτους οἱονεὶ παίζων ἀποσοβεῖ. Διὰ τοῦτο προσηκόντως εἶπεν ὁ ποιητὴς ἐν τῷ προοιμίῳ, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων. Καὶ ταῦτα μὲν περὶ τῆς περιοχῆς αὐτοῦ ἱκανὰ ἔστωσαν.

Περὶ δὲ τῆς γλώσσης τοῦ προοιμίου ὁ August Jacob[1]) λέγει, ὅτι τὸ τετράκις ἐπαναληφθὲν ἐπίθετον πολὺς οὐκ ἔστι μὲν μεμπτόν, ὅμως οὐδὲ καλόν. Ἀλλ᾽, ἐπειδὴ ἐνταῦθα οὐκ ἐξετάζομεν τὸ προοίμιον αἰσθητικῶς, ἀλλὰ κριτικῶς, οὐκ ἐνδιατρίβομεν, λέγομεν μόνον, ὅτι, εἰ οἱ περὶ τὸν Πεισίστρατον τοῦτο ἐποίουν, ὤφειλον δι᾽ εἰδικωτέρων φράσεων τὰς συμφορὰς τοῦ Ὀδυσσέως ὁρίσαι. Ὁ δὲ B. Thiersch[2]) νομίζει, ὅτι τὸ ἐπίθετον πολύτροπος σημαίνει πανοῦργον (schlau). Ἐπειδὴ δὲ τὴν σημασίαν ταύτην μόνον ἅπαξ ἐν τοῖς ὁμηρικοῖς ἔπεσι[3]) καὶ ἅπαξ ἐν τοῖς καλουμένοις ὁμηρικοῖς ὕμνοις[4]) εὑρίσκει, εἰκάζει, ὅτι τὸ προοίμιον ὑπὸ τῶν ῥαψῳδῶν ἐποιήθη. Τὸ ἐπίθετον ὅμως ἔχει παθητικὴν σημασίαν, δηλαδὴ σημαίνει τὸν εἰς πολλὰς χώρας τρα-

---

1) Ueber die Entstehung der Ilias und der Odyssee, Berlin 1856, σελ. 360. 2) Urgestalt der Odyssee σελ. 57. 3) Ὀδυσσ. Κ 330. 4) Ὕμν. εἰς Ἑρμ. στίχ. 13.

πέντα, ὡς αὐτὸς Ὅμηρος ἑαυτὸν ἑρμηνεύει διὰ τῆς ἀναφορικῆς προτάσεως, ὃς μάλα πολλὰ πλάγχθη καὶ ἀκριβέστερον διὰ τῶν φράσεων, πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν. Ἐν ταύτῃ δὲ τῇ σημασίᾳ καὶ ἀλλαχοῦ τῆς Ὀδυσσείας ἐχρήσατο ὁ ποιητὴς τοῖς ἐκ τοῦ τρέπειν παραγώγοις, δηλαδὴ τοῖς ὑπότροπος[1]) καὶ ἀπότροπος[2]). Ἀλλά, καὶ εἰ τὸ ἐπίθετον πολύτροπος εἶχε τὴν ὑπὸ τοῦ κριτικοῦ ἀποδιδομένην σημασίαν, πάλιν οὐκ ἀποδεικνύει, ὅ, τι οὗτος βούλεται. Διότι τῷ ποιητῇ οὐκ ἦν ἄγνωστος καὶ ἡ δευτέρα σημασία, ὡς δείκνυσι τὸ ῥῆμα παρατροπέειν[3]) καὶ ἴσως τὴν ἐπεξηγηματικὴν πρόσασιν, ὃς μάλα πολλὰ πλάγχθη διὰ τοῦτο ἔθηκεν, ὅτι τὸ ἐπίθετον πολύτροπος ἐν τοῖς χρόνοις αὐτοῦ διπλῆν σημασίαν εἶχεν.

Ὡσαύτως ὁ B. Thiersch[4]) *νομίζει, ὅτι ἡ φράσις ἀρνύμενος ἣν ψυχὴν οὐκ ἔστιν ὁμηρική. Διότι ὁ ταύτην ποιήσας βούλεται εἰπεῖν σώζειν θέλω, ἐν ᾧ τὸ ἄρνυσθαι παρ' Ὁμήρῳ οὐκ ἔχει τοιαύτην σημασίαν. Διότι κατ' αὐτὸν τὸ ἄρνυμαι ἐν τοῖς ὁμηρικοῖς ἔπεσι σημαίνει πορίζομαί τι ἢ ἀγωνιζόμενος κτῶμαί τι, ὅπερ οὐκ εἶχον. Ἀλλὰ τὰ χωρία, ὧν αὐτὸς ὁ κριτικὸς μνημονεύει, σημαίνουσι θέλω σώζειν. Οὕτως ὁ Ἕκτωρ λέγων ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ[5]) οὐ νοεῖ, ὅτι πορίζει κλέος τῷ πατρὶ καὶ ἑαυτῷ, ὅπερ οὐκ ἔχουσιν. Διότι ὁ μὲν Πρίαμος πρὸ τοῦ Τρωικοῦ πολέμου ἦν εὐκλεὴς καὶ τὸ κράτος αὐτοῦ μέγιστον ἐν τῇ μικρᾷ Ἀσίᾳ, ὡς ἕκαστος τῆς Ἰλιάδος ἀναγνώστης καὶ τῆς ἀρχαίας μυθολογίας εἰδήμων γινώσκει. Ὅτι δ' ὁ Ἕκτωρ ἐφοβεῖτο, μὴ ἀπολέσῃ (ἄρα ἤθελε σῶσαι) τὸ κλέος, ὅπερ ἐν τῷ πολέμῳ καὶ ἰδίως μετὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως ἐκτήσατο, αὐτὸς ἐν τῷ αὐτῷ μετὰ τῆς Ἀνδρομάχης διαλόγῳ ὁμολογεῖ. Διότι λέγει, ὅτι μαθὼν ἐσθλὸς εἶναι αἰδεῖται τοὺς Τρῶας καὶ τὰς ἑλκεσιπέπλους Τρωάδας, εἰ ὡς δειλὸς*

---

1) *Ὀδυσσ.* Υ 332. Χ 35. 2) Ξ 372. 3) *Ὀδυσσ.* Δ 465. 4) *Αὐτόθι σελ.* 57. 5) *Ἰλιάδ.* Ζ 446.

τὴν μάχην φεύγει[1]). Ἄλλως ἕκαστος παρατηρεῖ, ὅτι ἐνταῦθα μόνον περὶ σωτηρίας κλέους πρόκειται. Διότι τίς αἰδεῖται, ὅτι οὐ πορίζει ἑαυτῷ κλέος; Ὡσαύτως ἐν τῇ πρώτῃ τῆς Ἰλιάδος ῥαψῳδίᾳ[2]) τὴν αὐτὴν σημασίαν ἔχει τὸ ῥῆμα ἄρνυσθαι. Ὁ Ἀχιλλεὺς λέγει πρὸς τὸν Ἀγαμέμνονα, ὅτι στρατευσάμενοι οὐδεμίαν κατὰ τῶν Τρώων αἰτίαν εἴχομεν, ἀλλ' ἅμ' ἑσπόμεθα, ὄφρα σὺ χαίρῃς, τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα[3]). Ἐν ταῦθα ὁ ἥρως νοεῖ, ὅτι ἐστρατεύσατο, ὅπως τὴν τιμὴν τῶν Ἀτρειδῶν σώσῃ. Διότι τῆς Ἑλένης ἁρπαγείσης καὶ μοιχευθείσης τούτοις ἀτιμία προσετρίβη. Τελευταῖον ἐν τῇ φράσει, ἐπεὶ οὐχ ἱερήιον οὐδὲ βοείην ἀρνείσθην[4]), ἔγκειται ἡ ἔννοια τοῦ θέλω σώζειν. Διότι πρόκειται περὶ τῆς σωτηρίας τῆς ψυχῆς τοῦ Ἕκτορος. Ἐγένετο δ' εἶδός τι ἕλξεως, ὅπερ συχνάκις ἐν τῇ ἑλληνικῇ γλώσσῃ συμβαίνει. Ὁ Ὅμηρος βούλεται εἰπεῖν, ὅτι τοῖς περὶ τὰ τείχη τῆς πόλεως τρέχουσι προὔκειτο ἆθλον ἡ σωτηρία, ἢ ὁ ὄλεθρος τῆς ψυχῆς τοῦ Ἕκτορος, ἣν οὗτος ἤθελε σῶσαι, καὶ οὐχὶ ἱερήιον ἢ βοείη. Ὁ ποιητὴς ὅμως ἀπέδω τὸ ῥῆμα ἀρνείσθην τοῖς περὶ ἄθλων ἀγωνιζομένοις, ἐν ᾧ ἥρμοζε τῷ Ἕκτορι. Ἀλλά, καὶ εἴ τις τὴν ἕλξιν ἀποδοκιμάζει, οὐ μέγα κερδίζει. Ἐν τοῖς ἀγῶσιν ἡ ἔννοια τοῦ σώζειν καὶ ἡ τοῦ κτᾶσθαι συμπίπτουσιν. Διότι ὁ ἀγωνιζόμενος κατά γε τὴν ἐλπίδα κέκτηταί πως τὸ ἆθλον, ὅπερ διὰ τῆς ἀποτυχίας ἀπόλλυσιν. Διὰ τὴν ἡμαρτημένην τοῦ ἄρνυσθαι ἐξήγησιν ὁ B. Thiersch οὐ δύναται ἐξηγῆσαι τὴν φράσιν ἄρνυσθαι ἣν ψυχήν, ἐν ᾧ κατὰ τὴν εἰρημένην ἑρμηνείαν σημαίνει σώζειν τὴν αὐτοῦ ψυχὴν ἢ τὴν ζωήν[5]). Ἀλλ' ὑποτεθείσθω, ὅτι τὸ ῥῆμα ἔχει σημασίαν μηδαμοῦ τῶν ὁμηρικῶν ἐπῶν εὑρισκομένην. Τότε δὴ γεννᾶται τὸ ζήτημα, εἰ ὁ Ὅμηρος, ὅστις ἐν τοῖς χρόνοις τῆς δημιουργίας τῆς γλώσσης ἔζη, καὶ ἐφ' οὗ πολλαὶ βραδύτερον ἀπολεσθεῖσαι λέξεις καὶ σημασίαι λέξεων ὑπῆρχον, ὁ Ὅμηρος, λέγομεν, ἠδύνατο

1) Αὐτόθι. 2) Στίχ. 159. 3) Ἰλιάδ. Α 158. 4) Ἰλιάδ. Χ 160. 5) Αὐτόθι 161.

ταύτῃ τῇ σημασίᾳ χρήσασθαι, ἢ, ὡς ὁ B. Thiersch *νομίζει, οἱ ῥαψῳδοί, οἱ μόνον ὁμηρικὰς λέξεις καὶ σημασίας λέξεων ὀφείλοντες μιμεῖσθαι;*

Τὸ δὲ προοίμιον τῆς Ἰλιάδος ψέγεται ὑπὸ τοῦ W. Müller[1]), *ὅτι δῆθεν μόνον τρία ἢ τέσσαρα τμήματα τοῦ ἔπους προαγγέλλει. Διότι πρὸς τοῖς ἄλλοις κατὰ τὸν κριτικὸν οὐ περιέχει τὰς μετὰ τὴν διαλλαγὴν τοῦ Ἀχιλλέως ῥαψῳδίας. Ἀλλὰ πρῶτον, τίς ποιητὴς ὀφείλει, ἵνα πάντα τὰ ἐπεισόδια ἐν τῷ προοιμίῳ προαγγείλῃ; Εἶτα, εἰ ὁ Ὅμηρος τὰ μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος προὔλεγεν, ἐν τῇ ἀρχῇ τοῦ ἔπους τὴν λύσιν τοῦ μύθου προὔτασσεν, ὅπερ οὐδεὶς ποιητὴς ποιεῖ. Τελευταῖον, ἐπειδὴ τὰ ποιήματα τῶν ἡρωικῶν χρόνων πάντων τῶν λαῶν ἔχουσι παθητικὸν χαρακτῆρα, ὁ ποιητὴς οὐκ ἠδύνατο ἐν τῷ προοιμίῳ πραγγεῖλαι τὴν ἀπόρρησιν τὴν μήνιδος καὶ τὴν διὰ τὸν φόνον τοῦ Ἕκτορος χαρὰν τῶν Ἀχαιῶν. Διότι οὕτω τὸ προοίμιον ἦν ἄλγους καὶ εὐφροσύνης μίγμα, ὅπερ καὶ τὴν προσοχὴν τῶν ἀκροατῶν διασκεδάννυσι καὶ τὸ πάθος αὐτῶν καθαιρεῖ. Αἱ ψυχολογικαὶ λοιπὸν αὗται αἰτίαι ὑπηγόρευσαν τῷ ποιητῇ, ὅπως ἐν ἑκατέροις τοῖς προόιμίοις λέξεις πάθος διεγειρούσας συγκεντρώσῃ. Ἡ δὲ συγκέντρωσις τῶν κυριωτέρων σημείων τοῦ ποιήματος ἐν τῷ προοιμίῳ ἀνήκει τοῖς ποιηταῖς ἄλλων αἰώνων.*

Ἂν δέ τις παραβάλῃ τὸ προοίμιον τῆς Ὀδυσσείας πρὸς τὸ τῆς Ἰλιάδος, παρατηρεῖ πολλὰ κοινὰ σημεῖα τὴν ταὐτότητα τοῦ ποιητοῦ μαρτυροῦντα·

Μῆνιν ἄειδε, θεά, οὐλομένην	*Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον,*
ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν	*ὃς μάλα πολλὰ πλάγχθη,*
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν.	*πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα.*

Τὸ δὲ προοίμιον τῆς Ὀδυσσείας περιεκτικώτερον τοῦ τῆς Ἰλιάδος ἐστίν. Ἡ αἰτία ὅμως ἔγκειται οὐχὶ ἐν τούτῳ, ὅτι ὁ ποιητὴς ἐν ἐκείνῳ πλείονας ῥαψῳδίας ἢ ἐν τούτῳ ὑπ' ὄψιν εἶχεν, ἀλλ' ἐν τῇ ὕλῃ αὐτῇ. Διότι τῆς μὲν Ὀδυσσείας

1) Homerische Vorschule *σελ.* 158.

ἡ ὑπόθεσις περὶ ἓν πρόσωπον στρέφεται, ἡ δὲ τῆς Ἰλιάδος ὑπὸ τὴν πρωτεύουσαν ἑνὸς προσώπου ἰδέαν μέγα μέρος τοῦ πολυμεροῦς Τρωικοῦ πολέμου περιλαμβάνει. Ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἔστωσαν. Ἤδη δ' εἰσέλθωμεν εἰς τὴν ἐξέτασιν τῆς ἑνότητος αὐτῶν τῶν ἐπῶν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἑνότητος τῆς Ὀδυσσείας.

Ὑπὸ πάντων τῶν κριτικῶν ὁμολογεῖται, ὅτι ἡ Ὀδύσσεια, καίπερ τὴν ποιητικὴν ἀξίαν ἥττων τῆς Ἰλιάδος οὖσα, ὅμως τὴν ἑνότητα ταύτης ὑπερτερεῖ. Τούτου ἕνεκεν σκόπιμον ἐνομίσαμεν, ἵνα τῇ συμβουλῇ τοῦ Grote *ἑπόμενοι πρῶτον τὴν ἑνότητα τῆς Ὀδυσσείας ἐξετάσαντες ἐκ τῶν εὐχερεστέρων εἰς τὰ δυσχερέστερα προβῶμεν. Ὁ* Wolf[1]) *ἐν τοῖς Προλεγομένοις τὴν Ὀδύσσειαν τὸ ἐξοχώτερον τοῦ ἑλληνικοῦ πνεύματος μνημεῖον ὀνομάζει καὶ ἀλλαχοῦ ὁμολογεῖ, ὅτι ἐν τούτῳ τῷ ἔπει οὐδὲν περιττεύει καὶ οὐδὲν λείπει*[2]). *Ὁ δὲ* Grote[3]) *λέγει, ὅτι, εἰ μόνη ἡ Ὀδύσσεια εἰς ἡμᾶς περιήρχετο, ἡ περὶ τῆς ὁμηρικῆς ἑνότητος ἔρις οὐδέποτε ἔμελλεν ἐγερθῆναι. Διότι κατὰ τὴν κρίσιν τοῦ μεγάλου ἀνδρὸς ἐξ ἀρχῆς μέχρι τέλους σημεῖα ἐσκεμμένης συναρμογῆς φαίνονται. Ἀλλ' ὁ σοφὸς* Curtius[4]) *ἀμφιβάλλει καὶ περὶ τῆς ἑνότητος τούτου τοῦ ἔπους διὰ τὴν ἔλλειψιν ἐρευνῶν, οἵας ὁ* Lachmann *ἐν τῇ Ἰλιάδι ἐποίησεν. Εἰ ὅμως ἀφορμαὶ*

1) Proleg. ad Homer. σελ. 118 „De Odyssea maxime, cujus admirabilis summa et compages pro praeclarissimo monumento Graeci ingenii habenda est.“ 2) Praefatio (1795) σελ. 24 „Jam vero Odysseam nobis combara. In ea quod aburdare, quod deesse videri possit, nihil est; et quod est maximum, quocumque eam loco finieris, multum ad exspectationem legentis, plurimum ad integritatem operis desiderari sentias.“ 3) Μεταφρ. ὑπὸ Fischer II, 156. 4) Andeutungen über den gegenwärtigen Stand der Homer. Frage σελ. 25.

πρὸς κατατομὴν τῆς Ὀδυσσείας ὑπῆρχον, οἱ ὑπὸ τῆς δόξης τοῦ Lachmann κεντρισθέντες μόλις ἠδύναντο ἀποσχεῖν τοῦ ἔργου. Πρὸς δὲ ὀφείλομεν κρίνειν ἐκ τῶν ὑπαρχουσῶν ἐρευνῶν. Διότι αἱ μέλλουσαι ἴσως τὸν λόγον τοῦ σοφοῦ κριτικοῦ κυρώσουσιν, ἴσως ὅμως καὶ τὸ ἐναντίον ἀποδείξουσιν. Ἀλλ' οὐ δεόμεθα τῶν μελλουσῶν ἀποδείξεων. Διότι ἱκανὸν ἡμῖν ἐστιν, ὅτι μέχρι τοῦδε μυριάδες ἀκροατῶν καὶ ἀναγνωστῶν καὶ χιλιάδες κριτικῶν ἐν τῇ Ὀδυσσείᾳ ἑνότητα εὗρον. Τὸ δὲ ὁμηρικὸν ζήτημα οὔτε ὠφελεῖται, οὔτε ζημιοῦται ἐκ λεπτοτάτων καὶ βεβιασμένων κριτικῶν παρατηρήσεων. Διότι ὀφείλομεν ἔχειν ἐν νῷ οὐχὶ τί καὶ τὰ ἐλάχιστα ἀναδιφῶσα κριτικὴ εὑρίσκει, ἀλλὰ τί ποιητὴς τῶν ὁμηρικῶν χρόνων ἠδύνατο ποιῆσαι, ὅπερ τοῖς αὐτοῦ ἀκροαταῖς ὥς τι συνεχὲς καὶ ἑνότητα ἔχον ἐφαίνετο. Τούτου δ' ὁ ποιητὴς τῆς Ὀδυσσείας, εἴπέρ τις καὶ ἄλλος, ἐπέτυχεν. Καὶ πάντες οἱ ἀκροαταί, ἀναγνῶσται καὶ κριτικοὶ τὴν τοῦ ἔπους ἑνότητα ὡμολόγησαν καί, ὅπερ σπουδαιότατον, μετὰ τὴν ὑπὸ τοῦ Lachmann τομὴν τῆς Ἰλιάδος οὐ παύονται τὰ αὐτὰ ὁμολογοῦντες.

Ἄν τις ἐμβριθῶς τὴν Ὀδύσσειαν ἀναγνῷ, πανταχοῦ εὑρήσει κρίκους τὰ διάφορα τοῦ μύθου μέρη ἀρρήκτως συνδέοντας. Ἡ συγκέντρωσις τοῦ ἐπαγωγοῦ ἐφ' ἑνὸς μόνου ἥρωος, ὅστις ὑφ' ἑνὸς πόθου κεντρίζεται καὶ πρὸς τὸ αὐτὸ σημεῖον τείνει, αἰσθητή ἐστιν ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τελευταίου τῆς Ὀδυσσείας βιβλίου. Ὁ δ' Ὀδυσσεὺς παρὼν ἢ ἀπὼν ἀείποτε πρὸ τῶν ὀφθαλμῶν τοῦ ἀναγνώστου ἔρχεται καὶ ἐκεῖ, ἔνθα ὁ τῆς διηγήσεως μῖτος εἰς ἀπωτάτω κείμενα σημεῖα ἕλκεται, ἡ τοῦ πλανωμένου ἥρωος μνήμη οὐκ ἐξαλείφεται. Πάντα τὰ πρόσωπα τῆς Ὀδυσσείας ὑπείκουσι τῷ φερωνύμῳ τοῦ ἔπους ἥρωι, πάντα τὰ συμβεβηκότα, πᾶσαι αἱ πράξεις τῶν ἀνθρώπων καὶ πᾶσαι αἱ ἐνέργειαι τῶν θεῶν σκοποῦσιν, ὅπως τὸν ἥρωα ἀπὸ τῆς πατρίδος, τῆς Πηνελόπης καὶ τοῦ Τηλεμάχου ἀπείρξωσιν ἢ πρὸς ταῦτα προσπελάσωσιν. Ὁσονδήποτε καὶ ἂν φαίνηται τὸ ἐπαγωγὸν τὸ ἐντεθειμένον ἐν τῇ Πηνελόπῃ, τῷ Τηλεμάχῳ καὶ τῷ Εὐμαίῳ, ὅμως τοῦτο ἀριδήλως ὑποδεέστερον τοῦ ἐν τῷ Ὀδυσ-

σεῖ ἐστιν. Διότι, εἴ τις τὴν συζυγικὴν τῆς Πηνελόπης ἀφοσίωσιν τιμᾷ, τὴν πρὸς τὸν πατέρα τοῦ Τηλεμάχου ἀγάπην ἐπαινεῖ καὶ τὴν μεγίστην τοῦ Εὐμαίου πρὸς τὸν δεσπότην πίστιν θαυμάζει, ἀείποτε οὗτος ἔχει ὑπ' ὄψιν, ὅτι ταῦτα συμβαίνουσιν ἐν τῇ πλάνῃ ἐκείνου, πρὸς ὃν ἡ ἀφοσίωσις, ἡ ἀγάπη καὶ ἡ πίστις. Αἱ δ' ἀρεταὶ αὗται τῆς Ὀδυσσείας γίνονται αἰσθηταί, ἂν τις παραβάλῃ τὰ δευτερεύοντα τούτου τοῦ ἔπους πρόσωπα πρὸς τὰ τῆς Ἰλιάδος, ἐν ᾗ ὁ μὲν Ἀχιλλεὺς (δι' αἰτίας ἐν τῷ ἑπομένῳ κεφαλαίῳ ἀναπτυσσομένας) μακρὸν χρόνον τῆς σκηνῆς ἀφίσταται, τὰ δὲ δευτερεύοντα πρόσωπα, ὡς ὁ Αἴας καὶ ὁ Διομήδης, ἔξοχα ἀναδεικνύονται.

Ὑπόθεσις τῆς Ὀδυσσείας ἐστὶν ὁ τοῦ Ὀδυσσέως νόστος εἰς τὴν αὐτοῦ πατρίδα, ἥτις διὰ τὴν μακρὰν τοῦ ἥρωος ἀπουσίαν κατελήφθη ὑπὸ στίφους ἀναιδῶν μνηστήρων πειρωμένων, ὅπως τὴν βασιλείαν τῆς Ἰθάκης σφετερισθῶσι, τὴν σύζυγον τοῦ ἀπόντος ἄνακτος εἰς παραβίασιν τῆς συζυγικῆς πίστεως ἀναγκάσωσι καὶ τὸν υἱὸν αὐτοῦ κτείνωσιν. Μετά τινα προπαρασκευὴν τὸ ἔπος ἄρχεται ἐκ τοῦ σημείου, ἐν ᾧ ὁ ἥρως ὑπὸ τῆς νύμφης Καλυψοῦς κωλυόμενος πορρωτάτω τῆς πατρίδος ἀφίσταται. Ἀφ' οὗ δ' οὗτος βοηθείᾳ τῶν θεῶν τῆς νύμφης ἀπεσπάσθη καὶ τοὺς ὑπὸ τοῦ Ποσειδῶνος παρασκευασθέντας αὐτῷ κινδύνους διέφυγεν, ἀφικνεῖται εἰς τὴν νῆσον τῶν Φαιάκων, οἵτινες εἰρηνικὸν καὶ ἁβρὸν βίον διάγοντες τὸν πόλεμον μόνον ἐκ τῶν ᾀσμάτων τῶν ἀοιδῶν ἐγίνωσκον. Ὁ δὲ τῶν Φαιάκων βασιλεὺς Ἀλκίνοος φιλοφρόνως τὸν πλανώμενον ξενίσας καὶ τὰ κατ' αὐτὸν μαθὼν πέμπει εἰς τὴν Ἰθάκην. Ἐνταῦθα τὸ πρῶτον ὑπὸ τοῦ πιστοῦ Εὐμαίου ξενίζεται, εἶτα τούτου ἡγουμένου εἰς τὰ ἀνάκτορα πορεύεται, ἔνθα εὑρίσκει τοὺς μνηστῆρας τὴν οὐσίαν ἀφειδῶς καταναλίσκοντας, τὴν σύζυγον εἰς γάμον ἀναγκάζοντας καὶ ταῖς δούλαις ἀναιδῶς χρωμένους. Τοῦτο διεγείρει τὴν χολὴν τοῦ ἥρωος, ὅστις ἐντείνει τὴν δολοπλόκον αὐτοῦ φύσιν, ὅπως ὡς οἷόν τε βαρυτέρας τοῖς ἀναιδέσι ποινὰς ἐπιθῇ. Ἡ δὲ δολοπλοκία καὶ ἡ ἀνδρία τοῦ Ὀδυσσέως, δι' ὃν ἡ πόλις τοῦ Πριάμου ἑάλω, ἦσαν

ἱκανά, ὅπως μετὰ τοῦ υἱοῦ καὶ τῶν δύο πιστῶν δούλων τοῦ σκοποῦ ἐπιτύχῃ. Οὕτως ἐτελέσθη ἡ μνηστηροφονία, μεθ' ἣν ὁ ἥρως τῇ συζύγῳ συναγάλλεται καὶ τελευταῖον εἰς τὸν ἀγρὸν ἀπέρχεται, ὅπως τὸν πατέρα, ὃν συχνάκις ἐν νῷ εἶχεν, ἴδῃ. Οὕτως ἡ ἐκ λυπηρῶν ἔναρξις καὶ εἰς εὐφρόσυνα κατάληξις τοῦ ἔπους ἐπαινετή ἐστι καὶ ἀξία τοῦ ὁμηρικοῦ ὀνόματος φαίνεται.

Ἀλλ', εἰ ἡ Ὀδύσσεια ἐν μόνῳ τῷ μύθῳ τοῦ Ὀδυσσέως περιωρίζετο, καὶ τὰ ἐντελέστερα τῆς κριτικῆς μικροσκόπια οὐκ ἠδύναντο ἀνακαλύψαι ἐν τῇ ἑνότητι τοῦ ἔπους κηλῖδας. Ἐν τῷ εἰρημένῳ ὅμως μύθῳ ἐνυφάνθη δευτερεύων τις, ἡ τοῦ Τηλεμάχου εἴς τε τὴν Πύλον καὶ τὴν Σπάρτην ἀποδημία. Ὁ μῦθος δ' οὗτος εὐρύνων τὸ ἔπος ἀποδεικνυσιν αὐτὸ ἐντελέστερον. Διότι ἐντεῦθεν ὁρμώμενος ὁ ποιητὴς τὴν ἀναίδειαν τῶν μνηστήρων εἰκονίζει καὶ τὸν τοῦ υἱοῦ πρὸς τὸν πατέρα πόθον περιγράφων προπαρασκευάζει αὐτόν, ὅπως τῆς μνηστηροφονίας μετάσχῃ. Ἀλλ', ἐν ᾧ ἡ σύνδεσις τῶν δύο τούτων μύθων ἠδύνατο παραγαγεῖν πολλὰς καὶ μεγάλας ἀνωμαλίας, ὡς σπουδαιοτέρα ἀντίφασις ἐπιδείκνυται μόνον ἡ ἑξῆς. Ὁ Μενέλαος ἐν τῇ τετάρτῃ ῥαψῳδίᾳ [1]) παροτρύνει τὸν Τηλέμαχον, ἵνα ἕνδεκα μέχρι δώδεκα ἡμερῶν ἐν τῇ Σπάρτῃ ξενιζόμενος διατρίψῃ. Ὁ νέος ὅμως φοβούμενος, μὴ οἱ ἑταῖροι ἐν Πύλῳ ἄχθωνται, ἀρνεῖται [2]). Ἀλλ' ἐν τῇ 15ῃ ῥαψῳδίᾳ εὑρίσκομεν αὐτὸν ἔτι ἐν Σπάρτῃ διατρίβοντα. Ἡ δ' ἐν τῷ μέσῳ παρεμπεσοῦσα διήγησις κατὰ τοὺς ὑπολογισμοὺς τῶν κριτικῶν ἐν 28 ἡμέραις ἐγένετο [3]). Ὁ μὲν Grote [4]) λέγει, ὅτι ὁ Τηλέμαχος ὤφειλε μένειν ἐν Σπάρτῃ κατὰ τὸ χρονικὸν τοῦτο διάστημα, ἵνα αἱ πράξεις τοῦ υἱοῦ εἰς χρονολογικὴν ἁρμονίαν πρὸς τὰς τοῦ πατρὸς ἔλθωσι καὶ ἀπορεῖ, ὅτι οὐ πλείονες τοιαῦται ἀντιφάσεις ἐν τῷ ἔπει ὑπάρχουσιν. Ὁ δὲ Friedländer [5]) ἀποδίδωσι τῷ ποιητῇ τοιαύτην ἐλευθε-

---

1) Στίχ. 588. 2) Αὐτόθι 598. 3) Mure, History of the language and Litteratur of ancient Greece I, 440. 4) II, 159. 5) Die Homerische Kritik von Wolf bis Grote σελ. 24.

ρίαν. Διότι προϋποτίθησιν, ὅτι οὐδεὶς τῶν ἀκροατῶν ἠδύνατο νοῆσαι τοιαύτην ἀντίφασιν. Ἀλλ' ἑκάτεραι αἱ ἐξηγήσεις οὐ λίαν πιθαναὶ φαίνονται. Διότι ὁ ποιητής, εἰ τοῦτο ἀντίφασιν ἐθεώρει, τὴν δι' ὀλίγων στίχων ἄρνησιν τοῦ Τηλεμάχου παραλιπὼν ῥᾳδίως ταύτην ἀπέφευγεν. Διὰ τοῦτο νομίζομεν, ὅτι οὐχὶ ἀντίφασις, ἀλλ' ἐπιτυχεστάτη τῶν ξενιζομένων μίμησίς ἐστιν. Διότι οὗτοι λέγουσι μέν, ὅτι ἀναγκάζονται ταχέως ἀπελθεῖν, ὅμως συνήθως μένουσι πλείονα χρόνον, ἢ ὅσον ἐν ἀρχῇ ἔλεγον. Πρὸς δὲ ὁ ἀκροατὴς τῆς Ὀδυσσείας ἠδύνατο νοῆσαι, ὅτι ὁ νέος, καίπερ τὸ κατ' ἀρχὰς μακρὰν διατριβὴν ἀρνηθείς, ὅμως ἐκ τῆς περὶ τοῦ πατρὸς διηγήσεως παραχθεὶς διέτριψε παρὰ τῷ Μενελάῳ μακρότερον χρόνον.

Κατὰ τὸν W. Müller[1]) ὁ Ὅμηρος ὤφειλεν εἰπεῖν, τί ὁ Τηλέμαχος κατὰ τὸν χρόνον τοῦτον ἐν Σπάρτῃ ἔπραττεν. Διότι κατ' αὐτὸν ὁ ποιητὴς ἡμέρας καὶ νυκτὸς παρακολουθεῖ τῷ ἥρωι αὐτοῦ. Τοῦτο ὅμως αὐστηρὰ ἀπαίτησίς ἐστιν, ἣν παρ' οὐδενὸς ποιητοῦ δίκαιον ἀπαιτεῖν. Ὁ δ' Ὅμηρος παρακολουθεῖ μὲν ἐνίοτε τῷ ἥρωι αὐτοῦ, ἀλλὰ μόνον τῷ ἥρωι τοῦ ἔπους, οὐχὶ δὲ καὶ τοῖς δευτερεύουσι προσώποις, ὡς τῷ Τηλεμάχῳ. Διότι ἐρωτῶμεν τοὺς περὶ τὸν W. Müller, τί ὁ Εὔμαιος πρὸ τῆς ἀφίξεως τοῦ Ὀδυσσέως; Τί οἱ Ὀλύμπιοι θεοὶ ἐπὶ τῆς πλάνης τοῦ ἥρωος; Τί δὴ μετὰ τὴν μῆνιν αὐτὸς ὁ Ἀχιλλεύς, ὅστις ὁ ἥρως τῆς Ἰλιάδος ἐστίν, ἔπραττεν; Ὁ ποιητὴς ὀφείλει μνήσασθαι μόνον τῶν πράξεων τῶν ἄμεσον πρός τε τὸ κύριον πρόσωπον καὶ τὴν κυρίαν ὑπόθεσιν σχέσιν ἐχουσῶν. Διότι, εἰ οὗτος πάσας τὰς τῶν δευτερευόντων προσώπων πράξεις ἐπεχείρει περιγράψαι τήν τε τοῦ ἔπους ἑνότητα ἔλυε καὶ οὐκ ἐπετύγχανε τούτου, καὶ εἰ δέκα γλώσσας καὶ ἄρρηκτα στήθη εἶχεν. Ἄλλως ὁ ἀκροατὴς εὐκόλως ἐνόει, τί ὁ Τηλέμαχος ἐν Σπάρτῃ ἔπρασσεν. Διότι ὁ ποιητὴς ἐν τῇ τετάρτῃ ῥαψῳδίᾳ[2]) διὰ τῆς φράσεως, ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον ἐδήλωσεν, ὅτι ὁ νέος ἐξη-

1) Homerische Vorschule σελ. 125. 2) Στίχ. 620.

κολούθει τὰ κατὰ τὸν πατέρα ἀκούων. Οὐκ ὀρθῶς δ' ὁ W. Müller[1]) λέγει, ὅτι ὁ Μενέλαος τὴν παρ' αὐτῷ μακρὰν τοῦ Τηλεμάχου διατριβὴν ἀγνοεῖ. Διότι ἐν τῷ εἰρημένῳ χωρίῳ, εἰς ὃ ὁ κριτικὸς παραπέμπει[2]), ὁ Μενέλαος ἱκανὴν τὴν διατριβὴν τῶν εἴκοσι καὶ ὀκτὼ ἡμερῶν νομίσας λέγει, ὅτι οὐκέτι τὸν νέον κωλύει θέλοντα ἀπιέναι. Ἄλλως οὐκ ἐξηγεῖται καὶ ἡ ἔντονος τῆς Ἀθηνᾶς πρὸς τὸν Τηλέμαχον ὑπόμνησις, ἵνα τέλος τῆς Σπάρτης ἀπέλθῃ[3]).

Πρὸς δὲ ὁ W. Müller λέγει, ὅτι οἱ ἐν τοῖς ἀνακτόροις τοῦ Μενελάου τελούμενοι γάμοι ἀπο τῶν ὀφθαλμῶν πάντων ἀφαιροῦνται καὶ οὐδεμία μνεία τούτων γίνεται. Ἴσως οὗτοι ἦσαν περὶ τὸ τέλος. Ἀλλά, καὶ εἰ ἐν τῇ ἀρχῇ ἦσαν, ὁ ποιητὴς οὐκ ἠδύνατο, ἵνα τὸν νέον Τηλέμαχον, οὗ ἡ ψυχὴ τῶν ἐν οἴκῳ συμφορῶν πλήρης ἦν καὶ τοῦ πένθους διὰ τὴν ἄγνοιαν τῆς τύχης τοῦ πατρὸς μεστή, εἰς τὴν μεγάλην εὐθυμίαν διπλῶν γάμων εἰσαγάγῃ. Ἄλλως ὁ ποιητὴς εἴωθε λέγειν, τί ὁ ξενίζων ἔπραττεν ἐν τῷ χρόνῳ, καθ' ὃν ξένος τις πρὸς αὐτὸν ἦλθεν, καὶ εὐθὺς εἰσέρχεσθαι εἰς τὰ κατὰ τὸν ξενιζόμενον. Τοῦτο λίαν φυσικόν ἐστι, καὶ οἱ ποιηταὶ μιμοῦνται αὐτό, ἂν μὴ θέλωσι πόρρω τῆς κυρίας ὑποθέσεως πλανᾶσθαι. Ἀλλ' ὑποτεθείσθω, ὅτι ὁ ποιητὴς ὤφειλε συχνῆς μνείας ποιήσασθαι τῶν γάμων. Ἆρά γε τοῦτο ἀποδεικνύουσιν, ὅτι τὰ κατὰ τὸν Τηλέμαχον, ὡς ὁ W. Müller ἀποφαίνεται[5]), αὐτοτελὲς ποίημα ἀποτελοῦσιν; Νομίζομεν ὅλως τὸ ἐναντίον. Διότι ὁ μὲν ποιητὴς τῆς Ὀδυσσείας εἰς τὸν ἥρωα αὐτοῦ ἀφορῶν ἠδύνατο παραδραμεῖν γεγονότα μηδεμίαν πρὸς τὸν Ὀδυσσέα σχέσιν ἔχοντα, ὁ ποιητὴς ὅμως τῆς Τηλεμαχείας ἴσως ὤφειλεν εἰπεῖν τι περὶ τῶν γάμων, ὧν τελουμένων ὁ ἥρως τοῦ μικροῦ τούτου ἔπους ἔφθασεν.

Πρὸς δὲ ὁ W. Müller τὴν αὐτοτέλειαν τοῦ μύθου τῆς Τηλεμαχείας καὶ διὰ τῆς ἑπομένης ἀποδείξεως ἐνισχύει. Διότι παραβάλλων χωρίον τι τῆς πρώτης ῥαψῳδίας πρὸς

---

1) Αὐτόθι σελ. 126. 2) Ὀδυσσ. Ο 68. 3) Αὐτόθι 10. 4) Homerische Vorschule σελ. 123. 5) Αὐτόθι σελ. 124.

ἄλλο τῆς πέμπτης εὑρίσκει, ὅτι ἀμφότερα ὁμοίαν ὕλην ἔχουσι καὶ ὅτι δῆθεν ὁ τὰ ἐν τῇ πέμπτῃ διηγούμενος οὐ γινώσκει τὰ ἐν τῇ πρώτῃ[1]). Διότι ἡ Ἀθηνᾶ πάλιν τὴν πρὸς τὸν Ὀδυσσέα ἀδικίαν τῶν θεῶν μέμφεται, ἐν ᾧ ὁ Ζεὺς ἐν τῇ πρώτῃ αὐτὴν κατεπράϋνε καὶ ὁ Ἑρμῆς τὴν ἐντολὴν (;) ἔλαβεν, ἵνα πρὸς τὴν νύμφην Καλυψὼ σπεύσας τὴν περὶ τοῦ νόστου τοῦ ἥρωος ἀπόφασιν τῶν θεῶν ἀγγείλῃ. Ἀπορεῖ δ' ὁ ἀνὴρ διὰ τὴν βραδύτητα τῆς πρεσβεύσεως. Διότι τὴν αἰτίαν οὔτε τῇ βραδείᾳ τοῦ Ἑρμοῦ πρεσβεύσει, οὔτε τῇ ἀπειθείᾳ τῆς Καλυψοῦς δύναται ἀποδοῦναι. Εἰ μὲν τὸ πρῶτον, ἡ Ἀθηνᾶ ὤφειλε μέμψασθαι τὸν Ἑρμῆν, εἰ δὲ τὸ δεύτερον, ἡ θεὰ ὤφειλε μέμψασθαι τὴν ἀπειθήσασαν νύμφην. Πρὸς δὲ ὁ Ἑρμῆς ὤφειλε μέμψασθαι τὴν Καλυψὼ ἐκεῖ, ἔνθα τὸ δεύτερον ἐπρέσβευσεν[2]). Αἱ ἀπορίαι ὅμως αὗται καὶ ἀντιφάσεις ἀπορρέουσιν ἐξ ἡμαρτημένης προϋποθέσεως. Διότι οὗτος προϋποτίθησιν, ὅτι ὁ Ἑρμῆς ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ ἔλαβε τὴν ἐντολήν, ἵνα εἰς τὴν Καλυψὼ ἀπέλθῃ. Ἀλλὰ πόθεν τοῦτο ἐξήγαγεν; Ἡ Ἀθηνᾶ ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ μέμφεται τὸν Δία, ὅτι οὗτος, καίπερ πλείστων θυσιῶν παρὰ τοῦ Ὀδυσσέως τυχών, ὅμως ἀνέχεται μακρὰν τούτου πλάνην[3]). Ὁ θεὸς ὁμολογεῖ μέν, ὅτι τοῦ Ὀδυσσέως ἀμνήμων οὐκ ἐγένετο, ὅμως αὐτὴν τῆς ὀργῆς τοῦ Ποσειδῶνος ὑπομιμνήσκει. Νομίζει, δ' ὅτι, εἰ πάντες οἱ ἄλλοι θεοὶ τὸν τοῦ πλανωμένου νόστον ἀποφασίσουσιν, ὁ ὀργισθεὶς παύσεται τῆς ὀργῆς[4]). Τούτου δ' ἐπιτυχοῦσα ἡ Ἀθηνᾶ καὶ προτείνασα, ἵνα ἔπειτα τὸν Ἑρμῆν εἰς τὴν Καλυψὼ πέμψωσιν, εἰς τὴν Ἰθάκην ἀπέρχεται[5]). Τὸ ἔπειτα, ὡς καὶ ἀλλαχοῦ παρ' Ὁμήρῳ, σημαίνει μετ' ὀλίγον, ὡς ὄντως ἐν τῇ πέμπτῃ ῥαψῳδίᾳ[6]) γίνεται. Ποῦ λοιπὸν τῆς πρώτης ῥαψῳδίας ὁ Ἑρμῆς ἔλαβε τὴν ἐντολήν, ἵνα πρὸς τὴν Καλυψὼ ἀπέλθῃ; Ἡ μόνη λέξις, ἐξ ἧς ὁ W. Müller, ὡς δοκεῖ, τὴν ἀποστολὴν τοῦ Ἑρμοῦ ἐξάγει, τὸ ἐν τῷ λόγῳ τῆς Ἀθηνᾶς τάχιστά ἐστιν.

---

1) Ὀδυσσ. Α 26—95 καὶ Ε 3—42. 2) Homerische Vorschule σελ. 127. 3) Ὀδυσσ. Α 48—62. 4) Αὐτόθι 64—79. 5) Αὐτόθι 80—95. 6) Στίχ. 29.

Ἀλλὰ τοῦτο ἐνταῦθα ἔχει σημασίαν, οἵαν τὰ κοσμητικὰ λεγόμενα ἐπίθετα. Ὡς δηλονότι ὁ ποιητὴς χρῆται ἐπιθέτοις, ἅπερ ἀναποσπάστους τῆς οὐσίας ἰδιότητας σημαίνουσιν, οὕτως ἐνταῦθα ἐχρήσατο τῷ ἐπιρρήματι τάχιστα, ὅπως τὴν ἀναπόσπαστον τοῦ Ἑρμοῦ ἰδιότητα τοῦ τάχους ἐκφράσῃ. Ἐν ἄλλαις λέξεσιν ἡ Ἀθηνᾶ νοεῖ, ὅτι ἔπειτα δοθήσεται ἐντολὴ τῷ Ἑρμῇ, ὅστις τάχιστα αὐτὴν ἐκτελέσει. Ἀλλά, καὶ εἰ Ἀθηνᾶ ταχεῖαν τοῦ Ἑρμοῦ ἀποστολὴν ἐνόει, τοῦτο ἦν μόνον ἐπιθυμία τῆς θεᾶς. Διότι ὁ Ζεὺς μήτε τὸν χρόνον, μήτε τὸν τρόπον, καθ᾽ ὃν ὁ πλανώμενος ἔμελλε νοστῆσαι, ὁρίσας κατένευσε μόνον τὸν νόστον αὐτοῦ. Ἀλλά, καὶ εἰ αὐτὸς ἔλεγεν, ὅτι τάχιστα τὸν Ἑρμῆν πρὸς τὴν Καλυψὼ πέμψει, πάλιν τοῦτο οὐκ ἔστιν ἀντίφασις. Διότι, ὡς καὶ ἐν τῇ Ἰλιάδι, ὁ ποιητὴς τὴν συνήθη τῷ Διὶ βραδύτητα ἐμιμήθη.

Τελευταῖον παρατηροῦμεν, ὅτι τὸ ἐν τῇ πέμπτῃ ῥαψῳδίᾳ χωρίον οὐ περιέχει ὕλην ὁμοίαν πρὸς τὴν τῆς πρώτης. Διότι ἐν μὲν τῇ πρώτῃ ἡ Ἀθηνᾶ παρὰ τοῦ Διὸς τοῦ νόστου τοῦ Ὀδυσσέως πειρᾶται ἐπιτυχεῖν, ἐν δὲ τῇ πέμπτῃ αἰτεῖ ταχεῖαν τῆς ὑποσχέσεως ἐκτέλεσιν. Πρὸς δὲ ἡ θεὰ ἐν τῇ πέμπτῃ προϋποτίθησι τὸν Τηλέμαχον εἴς τε τὴν Πύλον καὶ τὴν Σπάρτην ἀποδημοῦντα καὶ διὰ τοὺς μνηστῆρας κινδυνεύοντα. Εἰ δ᾽ ἡ Ἀθηνᾶ τὸν πατέρα ὡς τοῦ Ὀδυσσέως ἐπιλήσμονα μέμφεται, οὐκ ἀποροῦμεν. Διότι ἔθος ἐστὶ ταῖς λίαν πεφιλημέναις θυγατράσι τῶν Ἑλλήνων, ἵνα μὴ διὰ παρακλήσεων, ἀλλὰ δι᾽ ἐπανειλημμένων μομφῶν παρὰ τοῦ πατρὸς αἰτῶσιν, ὅ, τι συχνάκις ἐν γούνασιν αὐτῶν τῶν θυγατέρων κεῖται. Διὰ τοῦτο δικαίως ἐγείρεται ἡ ἀπορία τοῦ Διὸς λέγοντος, τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων[1]). Τὴν ἀπορίαν λοιπὸν τοῦ κριτικοῦ λύει ἡ ἀπορία αὐτοῦ τοῦ Διός.

Ἀλλ᾽, ἐν ᾧ αἱ ἀπορίαι αὗται τοῦ W. Müller εὐκόλως λύονται, ἐγείρονται ἄλλαι, ἃς οἱ περὶ τοῦτον οὐ δύνανται λῦσαι. Διότι, εἰ τὰ κατὰ τὸν Τηλέμαχον ἀποτελοῦσιν αὐ-

1) Ὀδυσσ. Ε 22.

τοτελὲς ποίημα (ἐκ τῶν τεσσάρων πρώτων ῥαψῳδιῶν καὶ μέρους τῆς 15ης συνιστάμενον), πίπτομεν εἰς μείζονας δυσχερείας, ἢ ὅσας οὗτοι δι' ἡμαρτημένων προϋποθέσεων εὗρον. Διότι πρῶτον ἐν ταῖς δυσὶ πρώταις τῆς Ὀδυσσείας ῥαψῳδίαις τίθεται ἡ βάσις τῆς λύσεως τοῦ μύθου καὶ ἐν ταύταις εἰκονίζεται ὁ χαρακτὴρ τῶν μνηστήρων σπουδαίαν ἐν τῷ ἔπει θέσιν κατεχόντων. Εἶτα, ὡς παρατηρεῖ ὁ μέγας ἱστορικὸς Grote [1]), οἱ τῆς Ἀθηνᾶς [2]) καὶ τοῦ Εὐμαίου [3]) ὑπαινιγμοὶ περὶ τῶν μνηστήρων προϋποτιθέασι τὸν ἀκροατὴν τὰ κατ' αὐτοὺς ἐκ τῶν πρώτων ῥαψῳδιῶν γινώσκοντα. Πρὸς δὲ ἡ Ἀθηνᾶ λέγει τῷ Ὀδυσσεῖ, ὅτι ὁ Τηλέμαχος εἰς τὴν Σπάρτην ἀποδημεῖ. Θεωρεῖ μὲν νόθον τὸ χωρίον τοῦτο ὁ W. Müller [4]), ὅμως οὕτω περιπεπλεγμένον μετὰ τοῦ ἄλλου μύθου ἐστίν, ὥστε δυσκόλως ἐξοβελίζεται. Ἆρά γε οἱ τὴν Ὀδύσσειαν εἰς δύο χωρίσαντες παρετήρησαν ἀκριβέστερον τὸ τεχθὲν τέρας; Τί τραγικὸν ἢ τί κωμικὸν ἢ τί ἐπικὸν περιέχει τὸ ἔπος τοῦτο; Νέος τις τῆς πατρίδος ἀποδημήσας, ἵνα τι περὶ τοῦ πατρὸς μάθῃ, ἄνευ πλάνης, ἄνευ συμφορῶν καὶ μηδὲν διαπραξάμενος οἴκαδε ἐπανέρχεται. Οὐδεὶς ποιητὴς ἠδύνατο ἔχειν οὕτως ἄμουσον φαντασίαν, ἵνα τοσοῦτον πεζὴν ὕλην ποιήσῃ. Ἐπειδὴ δ' ὁ ἡρωικὸς αἰὼν οὐχὶ παιδάρια, ἀλλ' ἄνδρας ἐτίμα, ὁ χαρακτὴρ τοῦ Τηλεμάχου οὐκ ἠδύνατο γενέσθαι ἥρως ἔπους. Ἡ δ' ἀποδημία αὐτοῦ τότε μόνον ποιητικὸν χρῶμα κτᾶται, εἰ τυχαίαν καὶ ὅλως ποιητικὴν μετὰ τοῦ πατρὸς συνέντευξιν προπαρασκευάζει.

Λοιπὸν τὰ κατὰ τὸν Τηλέμαχον οὐ δύνανται ἀποχωρισθῆναι τοῦ μύθου τοῦ Ὀδυσσέως. Ἀλλὰ ταύτης τῆς τομῆς ἀποτυχούσης δύναται ἆρά γε ἡ κριτικὴ μάχαιρα εἰς ἄλλα τοῦ ἔπους μέρη ἀχθῆναι; Ἴσως ἠδύνατό τις θεωρῆσαι τὸν μῦθον τοῦ Ὀδυσσέως εἰς δύο διῃρημένον, εἰς τὰς πλάνας αὐτοῦ καὶ εἰς τὰς ἐν Ἰθάκῃ παρὰ τῶν μνηστήρων ὕβρεις. Ἀλλὰ τοῦτο μόλις ἠδύνατο ἐπιτευχθῆναι, εἰ εἶχο-

1) Π, 159. 2) Ὀδυσσ. Ν 310 καὶ 375. 3) Ὀδυσσ. Ξ 41 καὶ 81.
4) Homerische Vorschule σελ. 125 σημ. 3.

μεν τὸν μῦθον καὶ οὐχὶ τὴν Ὀδύσσειαν. Νῦν ὅμως καὶ αὐτὸς ὁ Grote[1]), *ὁ τὴν Ἰλιάδα εἰς Ἀχίλλειαν ἢ Ἀχιλληΐδα καὶ μικρὰν Ἰλιάδα διαιρέσας, τὴν τοιαύτην τομὴν ἀποδοκιμάζει. Διότι ἐν αὐτῇ τῇ πλάνῃ τοῦ ἥρωος τίθενται αἱ βάσεις τῶν ἐν Ἰθάκῃ συμφορῶν. Παραδείγματος χάριν ὁ Πολύφημος*[2]) *τοῦ Ὀδυσσέως καταρώμενος προλέγει τὰ ἐν Ἰθάκῃ. Ἐν γένει ἡ τοῦ Ὀδυσσέως πλάνη οὕτω στενῶς μετὰ τῶν ἐν οἴκῳ συνδέεται, ὥστε οὐδεὶς τοῦ ἑνὸς μέρους ἀκροασάμενος οὐκ ἐπιποθεῖ τὸ ἕτερον. Καὶ οὐ μόνον ἐνταῦθα, ἀλλ' οὐδ' ἀλλαχοῦ δύναται εὑρεθῆναι σημεῖον, ὅπερ ἐπιδεκτικὸν τομῆς ἐστιν, ὡς ὁ* Grote[3]) *ἀποφαίνεται. Ἐπειδὴ λοιπὸν πᾶσα ἀπόπειρα τομῆς τῆς Ὀδυσσείας ἀποτυγχάνει, ἀναγκαίως ἕπεται, ὅτι τὸ ἔπος ἔχει ἑνότητα, ἥτις μόνον ὑφ' ἑνὸς ποιητοῦ ἐπιτυγχάνεται. Ἀλλ', ἐν ᾧ ταῦτα λέγομεν, ὁμολογοῦμεν, ὅτι εἰς τὴν Ὀδύσσειαν πολλὰ ἴσως ἀλλότρια στοιχεῖα εἰσέρρευσαν.*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἑνότητος τῆς Ἰλιάδος.

***Εἰ** καὶ πάντες ὁμολογοῦσιν, ὅτι μέτρον τῆς ἐπιτεύξεως πάσης ἐνεργείας ἐστὶν οὐχὶ ἀπολύτως τὸ ἐπιτευχθέν, ἀλλὰ τὸ ἐπιτευχθὲν σὺν ταῖς προβαλλομέναις εἰς τὴν ἐπίτευξιν δυσχερείαις, ὅμως οἱ πλεῖστοι τῶν κριτικῶν ὀλιγωροῦσι ταύτης τῆς ἀρχῆς ἐν τῷ ζητήματι τῆς ἑνότητος τῆς Ἰλιάδος. Διότι νομίζουσιν, ὅτι αὕτη, εἰ ὑφ' ἑνὸς ποιητοῦ ἐποιήθη, ὤφειλεν ἔχειν ἑνότητα ἴσην γε πρὸς τὴν τῆς Ὀδυσσείας. Ἀλλ', εἰ ἦν δυνατόν, ἵνα ἑκάτερα τὰ ἔπη εἰς τοὺς μύθους, ἐξ ὧν συνέστησαν, ἀναλυθῶσι, καὶ ὁ μέγιστος τῶν νεωτέρων χρόνων ποιητὴς ἔμελλεν ἀποφαν-*

---

1) II, 161. 2) Ὀδυσσ. Ι' 534. 3) *Αὐτόθι.*

θῆναι, ὅτι οἱ τῆς Ἰλιάδος μῦθοι μόλις εἰς μείζονα τῆς ὑπαρχούσης ἑνότητα ὑποβάλλονται. Διότι οἱ μὲν μῦθοι τῆς Ὀδυσσείας περὶ ἓν μόνον πρόσωπον περιστρεφόμενοι περιέχουσιν ἐν ἑαυτοῖς τὸν τῆς ἑνότητος ἄξονα, οἱ τῆς Ἰλιάδος ὅμως εἰσὶν ἄθροισμα εἰδήσεων πολέμου, οὗ πᾶσαι σχεδὸν αἱ Ἑλληνίδες πόλεις μετασχοῦσαι ἴδιον μῦθον, ἴδιον ἥρωα· ἴδια συμφέροντα καὶ τὰ παραπλήσια εἶχον. Ὡς δ' οἱ Ἀχαιοί, οὕτω καὶ οἱ Τρῶες. Διὰ τοῦτο ὑπῆρχον πολλὰ ἔξοχα πρόσωπα τὴν ἑνότητα τοῦ μύθου διασπῶντα. Εἰ δ' ὁ Ἀγαμέμνων εἶχε χαρακτῆρα, οἷος ὁ τοῦ Ἀχιλλέως, τὸ πρόβλημα ἦν εὔκολον καὶ ἡ τῆς ἑνότητος ἐπίτευξις ἐφικτή. Διότι ὁ τῶν Ἀχαιῶν ἡγεμὼν τὰς ὑπὸ τοῦ ὁμηρικοῦ αἰῶνος τιμωμένας ἀρετὰς κεκτημένος ἦν ὁ ἐπιτηδειότατος τοῦ ἔπους ἥρως. Ἐπειδὴ ὅμως ὁ μῦθος παρέδω αὐτὸν ἐστερημένον χαρακτῆρος ἐπικοῦ ἥρωος, ὁ ποιητὴς εἰς τὰς σχέσεις αὐτοῦ πρὸς τοὺς ὑπ' αὐτὸν ἄνακτας ἀπιδὼν εὗρεν, ὅτι ὁ Ἀχιλλεὺς οὐ μόνον διὰ τὴν ἀνδρίαν ἔξοχον θέσιν εἶχεν, ἀλλὰ καί, ὅπερ πρὸς τὴν πλοκὴν τοῦ μύθου ἐπιτηδειότατον, ἐχθρικῶς πρὸς τὸν ἡγεμόνα διέκειτο. Ἡ μῆνις γεννᾷ συμφοράς, ὧν τὰς πλείστας ὁ Ὅμηρος ἐν αὐτοῖς τοῖς μύθοις εὗρεν. Οὕτως ἀνεκάλυψε μὲν τὴν ἰδέαν τὴν ὅλου τοῦ ἔπους δεσπόζειν δυναμένην, ὅμως ἡ βεβιασμένη τοῦ ἐπικοῦ ἥρωος εὕρεσις εἰς τοσαύτας δυσχερείας τὸν ποιητὴν ἤγαγεν, εἰς ὅσας ἡ τοῦ πρώτου ἄξονος μηχανῆς τινος ἀντικατάστασις διά τινος τῶν δευτέρων. Διότι καὶ ὁ Ἀχιλλεὺς ἐστρατεύσατο ὑπὸ τὸν Ἀγαμέμνονα καὶ οἱ ἄλλοι ἄνακτες οὐκ ἦσαν μὲν ἴσοι πρὸς αὐτόν, ὅμως οὐκ εἶχον πρὸς τοῦτον, ὡς ὁ τῆς Ὀδυσσείας Τηλέμαχος πρὸς τὸν Ὀδυσσέα. Ὁ Αἴας δὴ καὶ ὁ Διομήδης μεγάλην ἀνδρίαν ἔχοντες καί, ὡς εἰκός, πολλὰ καὶ μεγάλα διαπραξάμενοι τὴν προσήκουσαν αὐτοῖς θέσιν ἐν τοῖς μύθοις κατεῖχον. Ὁ δ' Ὀδυσσεὺς μεγάλην ἀνδρίαν καὶ πανουργίαν κεκτημένος οὕτως ἔξοχον θέσιν ἐν τοῖς μύθοις ἔσχεν, ὥστε ἠδύνατο ποιηθῆναι καὶ ὄντως ὁλόκληρον ἔπος ἐποιήθη. Πρὸς τούτοις ἐν τοῖς μύθοις τῆς Ὀδυσσείας εἰκονίζετο ἡ πλάνη ἑνὸς μόνου ἥρωος μετὰ τῶν ἑταίρων, οἵτινες ὄντες ὑπήκοοι οὐδεμίαν ἔξοχον θέσιν κα-

τεῖχον, ἐν δὲ τοῖς τῆς Ἰλιάδος πόλεμος, ἐν ᾧ οἱ στρατευσάμενοι ἄνακτες μόνον ἑκουσίαν τῷ Ἀγαμέμνονι ὑποταγὴν ὤφειλον. Πόλεμος δὲ τῶν Τρωικῶν χρόνων σημαίνει ἄλλο, ἢ ὅ, τι νῦν. Διότι νῦν μὲν ἄρχει ὁ στρατηγός, τότε δ' ὁ ἀνδρειότερος. Ἡ δὲ ταπείνωσις τῶν χαρακτήρων πρὸς ἐπίτευξιν ἑνότητος διὰ τὴν φιλοτιμιάν τῶν τε Ἑλληνίδων πόλεων καὶ τῶν ἀπογόνων τῶν ἀριστευσάντων ἡρώων οὐκ ἦν ῥᾳδία.

Μόνος λοιπὸν ὁ τοῦ Ἀχιλλέως χαρακτὴρ ἦν ἐπιτήδειος, ὅπως οὕτω ποικίλην ὕλην ὑφ' ἑαυτὸν δαμάσῃ. Τούτου δ' ἐπέτυχεν ὁ θεσπέσιος ποιητὴς διὰ τῆς ἀπουσίας τοῦ ἥρωος. Αὕτη δὲ συνεβάλετο οὐ μόνον, ὅπως μὴ ὁ ἥρως τοῦ ἔπους διὰ τῆς θέας ἀριστειῶν καὶ μονομαχιῶν τῶν ἄλλων ἡρώων καὶ συμφορῶν τῶν ἰδίων φίλων ταπεινωθῇ, ἀλλὰ καὶ πρὸς δάμασιν ὅλης τῆς ὕλης. Διὰ τοῦτο οὐ ψέγομεν τὸν ποιητήν, ὅτι ὁ Αἴας καὶ ὁ Διομήδης ἔξοχον θέσιν ἐν τῷ ἔπει λαμβάνουσιν, ἀλλ' ἐπαινοῦμεν αὐτόν, ὅτι οὐ παρόντος τοῦ Ἀχιλλέως τούτους τοὺς ἥρωας ἀριστεύοντας ἀναδείκνυσιν. Εἰ τοῦτο ἐγίνετο, ὁ τοῦ ἔπους ἥρως ἐταπεινοῦτο καὶ τὸ ἐπαγωγὸν ἐμερίζετο καὶ διεσκεδάννυτο. Ἐν τοιαύτῃ δὲ μυθικῇ ὕλῃ ἡ ἀπουσία τοῦ ἥρωος ἦν οὐ μόνον ἀναγκαία, ἀλλὰ καὶ πιθανή. Διότι, εἰ ὁ Ἀγαμέμνων τῆς μάχης ἀφίστατο, τὸ σπουδαιότερον, ὅπερ ἠδύνατο συμβῆναι, ἦν ἡ ἀποσύνθεσις τοῦ στρατοῦ τῶν Ἀχαιῶν διὰ τὴν ἔλλειψιν συνεκτικῆς δυνάμεως, τοῦ ἡγεμόνος. Οὔτε ὁ Διομήδης ἠδύνατο ἀποστῆναι. Διότι οὗτος μὴ ὢν ὀργίλος ῥᾳδίως τὰς τοῦ Ἀγαμέμνονος ὕβρεις ἠνείχετο. Οὔτε ὁ Ὀδυσσεύς. Διότι πανοῦργος ὢν τῷ ἡγεμόνι εἵπετο. Οἱ δὲ τοιοῦτοι χαρακτῆρες οὐ ῥᾳδίως ὀργίζονται. Οὔτε ὁ Νέστωρ. Διότι οὗτος συνετὸς γέρων ὢν τῆς μάχης οὐκ ἀφίστατο καὶ ταῦτα τῶν συμμάχων κινδυνευόντων. Πρὸς δὲ συνετὸς γέρων οὐκ ἠδύνατο γενέσθαι ἥρως ἡρωικοῦ ἔπους. Μόνος λοιπὸν ὁ Ἀχιλλεὺς εἶχε τὸν ἐπιτηδειότατον χαρακτῆρα, ὅπως ὑφ' ἑαυτὸν πᾶσαν τὴν μυθικὴν τῆς Ἰλιάδος ὕλην δαμάσῃ.

Ἂν δ' ἀναλύσωμεν τὸν χαρακτῆρα τοῦτον, εὑρίσκομεν στοιχεῖα, ἅπερ ἀναγκαίως ὤφειλεν ἔχειν ἥρως ἔπους, οἷον ἡ

Ἰλιάς. Διότι οὗτος τοσαύτην ἀνδρίαν κέκτηται, ὥστε πάντες μὲν οἱ ἄλλοι τῶν Ἀχαιῶν ἥρωες πρὸ αὐτοῦ κύπτουσιν, οἱ δ' ἐχθροὶ μηδ' αὐτοῦ τοῦ Ἕκτορος ἐξαιρουμένου ἡττῶνται. Μόνη ἡ τοῦ Ἀχιλλέως ἀνδρία ἱκανή ἐστιν, ὅπως τοὺς Ἀχαιοὺς τῶν συμφορῶν ἀπαλλάξῃ καὶ ἀπὸ τῶν μεγίστων κινδύνων σώσῃ. Ἕκαστος δ' ἀκροατὴς συνειδώς, ὅτι μόνη ἡ τοῦ Ἀχιλλέως μῆνις δεινῶν τοῖς Ἀχαιοῖς συμφορῶν πρόξενός ἐστιν, κατὰ τοῦ ὀργιζομένου ὀργίζεταί πως. Ἐντεῦθεν ὁρμᾶται ὁ ποιητής, ἵνα τὴν ἀνδρίαν τῶν ἄλλων ἡρώων ἐπιδείξῃ καὶ πρὸς τὸ μέγεθος τοῦ φοβεροῦ Ἕκτορος ἀντιπαραβάλῃ. Ποιητὴς τοιαύτην ὕλην ἔχων οὐδαμοῦ ἄλλοθι ἠδύνατο εἰκονίσαι τοὺς χαρακτῆρας τῶν ἄλλων ἡρώων, ἢ ἐκεῖ, ἔνθα ὁ θεσπέσιος Ὅμηρος ἐπιτυχῶς ἔπραξεν. Διότι ἐν τῇ Ἰλιάδι αἱ μάχαι τῶν Ἀχαιῶν καὶ αἱ ἀριστεῖαι τῶν ἡρώων τοσοῦτον ἦσαν ἀναγκαῖα, ὅσον ἐν τῇ Ὀδυσσείᾳ ἡ ἀπεικόνισις τῆς ἀναιδείας τῶν μνηστήρων καὶ ἡ τῆς ἀσθενείας τοῦ Τηλεμάχου. Διότι, ὡς ἐλλιπὴς ἦν ἡ Ὀδύσσεια, εἰ ὁ Ὀδυσσεὺς αἴφνης εἰς τὴν Ἰθάκην ἐπανελθὼν ἐφόνευεν ἀνθρώπους, ὧν τὴν ἀναίδειαν ὁ ἀκροατὴς ἠγνόει, ἢ ὧν ἡ τιμωρία τῷ Τηλεμάχῳ ἐφικτὴ ἦν, οὕτως ἐλλιπὴς ἦν ἡ Ἰλιάς, εἰ μὴ ἐν τῷ ἔπει τούτῳ φονικαὶ τῶν Ἀχαιῶν μάχαι, καὶ ἀριστεῖαι καὶ ἧτται τῶν ἡρώων εἰκονίζοντο. Τότε δὴ ὁ ἀκροατὴς τὴν σχέσιν τῆς ἀνδρίας τοῦ Ἀχιλλέως πρὸς τὴν τῶν ἄλλων ἡρώων μὴ γινώσκων ἠδύνατο κατὰ φρένα καὶ κατὰ θυμὸν εἰπεῖν, τί παθὼν ὁ ποιητὴς ἄνθρωπον μηδὲν τῶν ἄλλων διαφέροντα ὕμνησεν; Ἦν μέγα τι, ὅτι Ἀχαιὸς ἥρως Τρῶα ἔκτεινεν; Τοιούτων πράξεων μεστή ἐστιν ἡ Ἰλιάς, ὅμως οὐκ ἐποιήθησαν ἰσάριθμα ἔπη. Διὰ ταῦτα ἦν ἀναγκαῖον, ἵνα ὁ Ἕκτωρ τῶν τειχῶν τῆς πόλεως ἐξελθὼν ἀριστεύσῃ, οἱ δ' Ἀχαιοὶ καὶ τὰς τελευταίας αὐτῶν δυνάμεις ἐξαντλήσωσι καὶ πρὸς τὸν ἀνδρεῖον Ἕκτορα ἀντιπαραβάλωσιν. Διότι ὁ Ἕκτωρ ἐστὶ τὸ τῆς ἀνδρίας μέτρον, οὗ πάντες μὲν οἱ Ἀχαιοὶ ἡττῶνται, μόνος δ' ὁ Ἀχιλλεὺς ἐξέχει. Ἀλλὰ τὸ μέτρον τοῦτο τῆς δόξης ὁ ἥρως τῆς Ἰλιάδος διὰ τοῦ ἰδίου μώμου ἐκτήσατο, ὡς ὁ ἥρως τῆς Ὀδυσσείας τὸν θρίαμβον τῆς τε ἀνδρίας

καὶ πανουργίας αὐτοῦ διὰ τῆς οἰκιακῆς ἀτιμίας ἠγόρασεν. Ὁ δὲ ποιητὴς ἠνέχθη, ἵνα τὸν ἥρωα αὐτοῦ ψεγόμενον ἴδῃ, ὅπως αὐτῷ τὴν τῆς δόξης ὁδὸν προπαρασκευάσῃ. Ἀφ' οὗ δ' οὗτος διὰ τῆς ἀκαμψίας τοῦ ἥρωος ἐπέτυχεν, ἵνα τὴν ὑπεροχὴν αὐτοῦ πρός τε τοὺς Ἀχαιοὺς καὶ Τρῶας καταδείξῃ καὶ τοὺς χαρακτῆρας τῶν ἄλλων ἡρώων εἰκονίσῃ, ἀναλαμβάνει αὐτόν, ὅπως τὸν ἐκ τῆς ἀκαμψίας μῶμον ἀποτρίψῃ, ὅπερ καὶ κατὰ τὴν ὁδὸν τῆς πραγματείας κατὰ σμικρὸν ἐποίει. Ἡ εὐγένεια ὅμως τοῦ χαρακτῆρος τοῦ ἥρωος εἰκονίζεται ἐν τοῖς φυσικοῖς αὐτῆς χρώμασιν, ὅτε οὗτος ἀπηλλάγη τῆς μήνιδος, ἣν ἐπιτυχέστατα ὁ ποιητὴς ἐκ τῆς ψυχῆς τοῦ ἥρωος ἐξώθησεν.

Ἐκ τῶν εἰρημένων λοιπὸν δῆλον γίνεται, ὅτι αὐτοὶ οἱ μῦθοι, ἐξ ὧν ἡ Ἰλιὰς συνέστη, στοιχεῖα διασπάσεως τῆς ἑνότητος οὕτω τῇ ὕλῃ συμπεφυκότα περιεῖχον, ὥστε εἰς μείζονα τῆς ὑπαρχούσης ἑνότητος οὐκ ἠδύναντο ὑποβληθῆναι. Ὁ ἡμέτερος Ἀριστοτέλης εἰπών, ὅτι τὰ ὁμηρικὰ ἔπη συνέστησαν, ὡς ἐνδέχεται ἄριστα, ἀπεῖδεν, ὡς δοκεῖ, εἰς τὴν δυσχέρειαν τῆς ὕλης. Οἱ πλεῖστοι ὅμως τῶν νεωτέρων κριτικῶν οὐ προσέσχον τὸν νοῦν ἐπιμελῶς τῇ μυθικῇ ὕλῃ, ἀλλά, καίπερ εἰδότες, ὅτι ὁ Ὅμηρος μόνον μεταμορφωτὴς καὶ διακοσμητὴς τῆς μυθικῆς ὕλης ἐστίν, ὅμως κρίνουσιν αὐτόν, ὡσεὶ ἀπηλλαγμένος πάσης δυσχερείας ἦν. Οὗτοι ἀποφαίνονται μέν, ὅτι ἡ μῆνις τοῦ Ἀχιλλέως οὐχ ἱκανή ἐστιν, ὅπως τὴν ὕλην τῆς Ἰλιάδος ὑφ' ἑαυτὴν δαμάσῃ, ὅμως οὐ λέγουσιν, ἴσως οὐδὲ ἐσκέφθησαν, τίς ἰδιότης ἄλλου ἥρωος πρὸς τοῦτο ἐπιτηδειοτέρα ἦν. Ἐνταῦθα ὅμως τοῦ λόγου ἐλθόντας δύναταί τις ἐρωτῆσαι. Τίς τὸν ποιητὴν ἠνάγκασεν, ἵνα τοιαύτην ὕλην πρὸς ποίησιν ἑνὸς ἔπους ἐπιχειρήσῃ; Οὗτος ἢ ὅλως ὤφειλεν ἀποσχεῖν ὕλης, οὔσης μὲν ἄλλως ποιητικῆς, ὅμως μὴ περιεχούσης στοιχεῖα ἑνότητος, ἢ περιορισθῆναι ἐν μικροτέρῳ κύκλῳ, π·χ ποιῆσαι μόνον Ἀχίλλειαν δυναμένην ἔχειν ἑνότητα ἴσην γε πρὸς τὴν Ὀδύσσειαν. Ἡ ἀπορία αὕτη φαίνεται ἡμῖν σπουδαία, ὅμως ἀφορᾷ τὴν τοῦ ποιητοῦ θέλησιν, ἧς τὰς ἀφορμὰς οὐ ῥά-

θιον πάσας ἀνακαλύψαι. Ἀλλ' ὁ Otfr. Müller[1]) δύο αἰτίας πρὸς μείζονα ἔκτασιν τοῦ πρώτου μέρους τῆς Ἰλιάδος εὑρίσκει. Πρῶτον ὁ ποιητὴς κατέχεται ὑπὸ τῆς ἐπιθυμίας, ἵνα πάσας τὰς τῶν Ἀχαιῶν πράξεις εἰς τὸ ἔπος αὐτοῦ ἐμβάλῃ καὶ ὑπὸ τὴν πρωτεύουσαν ἰδέαν ἑνὸς ἥρωος γενικὴν τοῦ Τρωικοῦ πολέμου περιγραφὴν δῷ. Εἶτα πρὸς τοῦτο συνεβάλετο καὶ ἡ τοῦ ποιητοῦ φιλοπατρία. Ἐν ᾧ οὗτος μετὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως μεγίστας συμφορὰς τοῖς Ἀχαιοῖς πειρᾶται ἀθροῖσαι, ὅμως φύσει ὑπὸ φιλοπατρίας ἀγόμενος οὐ ταπεινοῖ τοὺς Ἀχαιούς, ἀλλὰ καὶ ἡττωμένους ἀριστεύοντας αὐτοὺς ἀναδεικνύει. Πρὸς δὲ αἱ ἀριστεῖαι τῶν ἡρώων, αἱ ἧτται τῶν Ἀχαιῶν καὶ αἱ νῖκαι τοῦ Ἕκτορος ἦσαν ἀναγκαῖαι καὶ αὐτῷ τῷ ποιητῇ τῆς Ἀχιλλείας πρὸς ἠθοποιίαν τοῦ Ἀχιλλέως, ὡς ἐν τῇ Ὀδυσσείᾳ ἀναγκαία ἦν ἡ περιγραφὴ τῆς ἀναιδείας τῶν μνηστήρων καὶ τῆς ἀσθενείας τοῦ Τηλεμάχου πρὸς ἠθοποιίαν τοῦ Ὀδυσσέως.

Ἀφ' οὗ λοιπὸν διὰ τῶν εἰρημένων γενικῶν παρατηρήσεων ὑπεδείξαμεν τὰς δυσχερείας, ἃς αὐτὴ ἡ μυθικὴ τῆς Ἰλιάδος ὕλη τῷ ποιητῇ παρεῖχε, μεταβαίνομεν εἰς τὴν ἀνάλυσιν ἑκάστης ῥαψῳδίας, ὅπως τοὺς δεσμοὺς αὐτῆς μετά τε τῶν ἡγουμένων καὶ ἑπομένων δείξωμεν. Τὸ ἔργον ὅμως ἐστὶ μέγιστον. Διότι εὐφυὴς τοῦ ἔπους ἀναγνώστης σχεδὸν ἐν ἑκάστῃ ὁμηρικῇ φράσει δύναται ἀνακαλύψαι κρίκους ταύτην μετὰ τῶν μερῶν καὶ τοῦ ὅλου συνδέοντας. Ἐνταῦθα σημειοῦμεν μόνον πάνυ ὀλίγους, ὅπως τοῖς ἀπειροτέροις τῶν ἀναγνωστῶν τὴν ὁδὸν δείξωμεν.

Ἄν τις ἐμβριθῶς τὴν 1ην τῆς Ἰλιάδος ῥαψῳδίαν μελετήσῃ, πανταχοῦ εὑρήσει ἴχνη τῆς προθέσεως τοῦ ποιητοῦ, ὅπως μακρὸν ἔπος ᾄσῃ. Διότι αὕτη ὁμοιάζει πρὸς εὐρεῖαν καὶ ἑδραίαν κρηπῖδα προωρισμένην, ἵνα ἐπ' αὐτῆς μέγας κολοσσὸς ἐποικοδομηθῇ. Καὶ δὴ ὁ ποιητὴς ἐπικαλούμενος τὴν Μοῦσαν, ὡς ἐν πᾶσι τοῖς δυσχερέσιν αὐτοῦ προβλήμασιν, ὁμολογεῖ τὸ μέγεθος τοῦ ἔργου. Διότι ᾄδει

---

1) Geschichte der griech. Literatur I, 86.

τὴν μῆνιν τοῦ Ἀχιλλέως, τὴν οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. Διὰ τοῦ μυρία ὁ ποιητὴς ὑπῃνίχθη οὐ μόνον τὰς τῶν Ἀχαιῶν ἥττας, τὰ τῶν ἡρώων τραύματα, ἀλλὰ καὶ τὸν τοῦ Πατρόκλου φόνον. Εἶπε δὲ ταῦτα διὰ γενικῶν φράσεων, ὅπως μὴ τὴν λύσιν τοῦ μύθου ἐν τῇ ἀρχῇ προτάξῃ. Καὶ οὐ μόνον ἑκάστη φράσις τοῦ προοιμίου, ἀλλὰ καὶ πάντα τὰ μέρη ὁλοκλήρου τῆς πρώτης ῥαψῳδίας περιέχουσιν ὑποσχέσεις ἐκπλήρωσιν αἰτούσας καί, οὕτως εἰπεῖν, αἰνίγματα λύσιν ζητοῦντα. Ἡ τοῦ Ἀχιλλέως μῆνις αἰτεῖ ἀνακούφισιν καὶ τὰ μυρία τῶν Ἀχαιῶν ἄλγη πραγμάτωσιν, ἡ ἀπὸ τοῦ πεδίου τῆς μάχης ἀποχὴ[1]) τοῦ Πηλείδου προαγγέλλει ἥττας καὶ συμφορὰς καὶ αἱ πρὸς τὸν ἥρωα τοῦτον τῆς Παλλάδος ὑποσχέσεις[2]) ὤφειλον ἐκπληρωθῆναι· ὁ Ἀχιλλευς οὔτε μάτην τὸν Ἕκτορα τοῖς Ἀχαιοῖς ἐπισείει[3]), οὔτε μάτην τὴν μητέρα παρακαλεῖ[4])· αὕτη δ' οὐ μάτην ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης εἰς τὴν ἀκροτάτην τοῦ Ὀλύμπου κορυφὴν ἀναβαίνει[5]), οὔτε κενὴν ὁ Κρονίων ὑπόσχεσιν δίδωσι καὶ κατανεύει,

> … οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
> οὐδ' ἀτελεύτητον, ὅ, τι κεν κεφαλῇ κατανεύσω[6]).

οὔτε κενοὺς ἡ Ἥρα φόβους[7]) ἔχει. Ἀλλ', ἐν ᾧ ὁ ποιητὴς τοιαῦτα καὶ τοσαῦτα πανηγυρικῶς πρὸ τῶν ἀκροατῶν αὐτοῦ ὑπισχνεῖται, καὶ ἐν ᾧ θεοί τε καὶ ἄνθρωποι ὑπισχνοῦνται, ἀπειλοῦσίν ἢ φοβοῦνται, καὶ ἐν ᾧ οἱ ὁμηρικοὶ ἀκροαταὶ τεταμένοις ὠσὶ πάντων τούτων τὴν ἐκπλήρωσιν περιμένουσιν, ὁ σοφὸς August Jacob[8]) τὴν πρώτην ῥαψῳδίαν αὐτοτελὲς ᾆσμα θεωρεῖ. Διότι τοῦτο ἐκ τῆς ὀργῆς τοῦ Ἀπόλλωνος καὶ τῆς ἔριδος τῶν δύο ἡγεμόνων ἀρχόμενον λήγει εἰς τὴν τῶν θεῶν εὐθυμίαν, μεθ' ἣν ἕκαστος ἀπέρχεται κοιμηθῆναι. Ἀναντιρρήτως τὸ μέρος τοῦτο τῆς Ἰλιάδος ἔχει ὁλότητά τινα καὶ τιμᾷ τὴν κρίσιν τοῦ Ἀρι-

---

1) Ἰλιάδ. Α 169 καὶ 341. 2) Αὐτόθι 213. 3) Στίχ. 242. 4) 394. 5) 499. 6) Αὐτόθι 526. 7) 558. 8) Ueber die Entstehung der Ilias und der Odyssee σελ. 159.

στάρχου, ὅτι οὗτος εἰς τοῦτο τὸ σημεῖον τὴν ῥαψῳδίαν ἐχώρισεν. Ἀλλ' ἡ ὁλότης αὕτη ὁμοιάζει πρὸς τὴν τῶν μελῶν τοῦ σώματος π·χ πρὸς τὴν τοῦ ὀφθαλμοῦ, ἤ, ἵνα οἰκειότερον πρὸς τὴν ἡμετέραν ῥαψῳδίαν ἐκφρασθῶμεν, πρὸς τὴν τῶν ποδῶν. Καὶ οἱ πόδες ἔχουσι μὲν ὁλότητά τινα, ἀλλ' οὐ δύνανται ζῆν ἄνευ τοῦ ὅλου σώματος. Ἆρά γε ὁ σοφὸς Jacob ἐπεθύμει, ἵνα μηδὲν τῆς Ἰλιάδος μέρος βαθμόν τινα ὁλότητος ἔχῃ; Εἰ τοῦτο ἐν τῷ ἔπει ὑπῆρχε, τοῦτο οὐδεμίαν ἑνότητα περιεῖχεν, ἀλλ' ἦν ἀσυναρτήτων καὶ ἀσυναρμόστων μυθικῶν παραδόσεων κυκεών. Διότι ἕκαστον ἔπος, ὡς πᾶσα πολυσύνθετος ἰδέα, περιέχει ἢ ὀφείλει περιέχειν πολλά τινα ὅλα, τῇ ὁλότητι ὅμως τοῦ ἔπους ὑπείκοντα καὶ ταύτῃ ὑπηρετοῦντα.

Ἴσως ἡ 2η ῥαψῳδία, ἢ ὁ τῶν νηῶν κατάλογος, οὐχ ἥρμοζεν ἔπει τὰς τελευταίας τοῦ Τρωικοῦ πολέμου μάχας εἰκονίζοντι. Ἀλλ' εὑρισκόμεθα οὐχὶ ἐν ταῖς τελευταίαις, ἀλλ' ἐν ταῖς πρώταις τούτου τοῦ πολέμου μάχαις. Διότι, ἂν ἀπίδωμεν, ὡς ὁ Otfr. Müller[1]), εἰς τοὺς κυκλικοὺς καὶ τοὺς μεταγενεστέρους τούτων ποιητάς, παρ' οἷς τὰ σπουδαιότερα τοῦ Τρωικοῦ πολέμου γεγονότα διετηρήθησαν, εὑρίσκομεν, ὅτι τῶν Ἀχαιῶν εἰς τὴν Τροίαν ἀποβάντων συνεκροτήθη μάχη, ἐν ᾗ ὁ Ἕκτωρ ἔκτεινε τὸν Πρωτεσίλαον. Τραπέντες ὅμως οἱ Τρῶες εἰς φυγὴν ὑπὸ τοῦ Ἀχιλλέως διέμενον ἐν τοῖς τείχεσι μέχρι τῆς μήνιδος τοῦ ἥρωος. Ἐπειδὴ δὲ τὰ τείχη ἀντεῖχον, οἱ Ἀχαιοὶ τοῦ Ἀχιλλέως ἡγουμένου τὰς γείτονας χώρας καὶ νήσους ἐλεηλάτουν[2]). Τοῦτο δὲ οὐ μόνον πρὸς τὸν ὅλον τῆς Ἰλιάδος μῦθον, ἀλλὰ καὶ πρὸς ῥητὰς φράσεις συμφωνεῖ. Ὁ Ἀχιλλεὺς διαρρήδην λέγει πρὸς τὸν Ὀδυσσέα, ὅτι ἐφ' ὅσον οὗτος ἐβοήθει τοῖς Ἀχαιοῖς, ὁ Ἕκτωρ οὐκ ἐτόλμα πέραν τῶν Σκαιῶν πυλῶν καὶ τῆς φηγοῦ προβῆναι[3]). Πρὸς δὲ ὁ Ὅμηρος, καίπερ πολὺ ἀρχαιοτέρους τοῦ Τρωικοῦ πολέμου μύθους διηγούμενος, καίπερ μνημονεύων πολλῶν πράξεων πρὸ τῆς

1) Geschichte der griech. Literatur I, 87. 2) Ἰλιάδ. Α 365. Ὀδυσσ. Γ 105. 3) Ἰλιάδ. I, 352.

μήνιδος τοῦ Ἀχιλλέως γενομένων, ὅμως περὶ προγενεστέρων μαχῶν σιωπᾷ καὶ οὐ γινώσκει Ἀχαιόν τινα (πλὴν τοῦ εἰρημένου Πρωτεσιλάου) πρὸ τῆς ἔριδος τῶν ἡγεμόνων φονευθέντα, οὐδὲ Τρῶα πλὴν τῶν ἐν εἰρηνικοῖς ἔργοις αἰχμαλωτισθέντων, τοῦ Λυκάονος, τοῦ Μήστορος καὶ τοῦ Τρωίλου[1]. *Ἐντεῦθεν πολλὰ καὶ μεγάλα συμπεράσματα ἐξάγονται. Πρῶτον, ὅπερ καὶ ἐξ ἄλλων ἐδείχθη, τὸ τμῆμα τοῦ Τρωικοῦ μύθου, τὸ μετὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως, ἀδιάσπαστον ληφθὲν μέγα τῷ ποιητῇ πρὸς ἐπίτευξιν τῆς ἑνότητος τοῦ ἔπους ἐβοήθησεν. Εἶτα ἄρδην ἀναιροῦνται οἱ λόγοι τῶν νομιζόντων, ὅτι πολλὰ τῆς Ἰλιάδος μέρη μᾶλλον πρὸ τῆς μήνιδος, ἢ μετ' αὐτὴν προσηκόντως ἔχουσιν. Καὶ τρίτον ἐπιβάλλεται τῷ ποιητῇ τὸ καθῆκον, ὅπως μὴ τὸν ἀκροατὴν εἰς τὸ μέσον μαχῶν ἀγάγῃ, ὧν τοὺς μαχητὰς ἀγνοεῖ. Λοιπὸν ἡ ἀπαρίθμησις τῶν διαμαχομένων ἦν ἀναγκαία καὶ ἐν ἁρμοδίῳ τόπῳ ἐτέθη, ὡς καὶ αὐτὸς ὁ* W. Müller[2]) *ὁμολογεῖ. Ἀλλ' ὁ ἀνήρ, καίπερ τοῦτο ὁμολογῶν, ὅμως τὸν κατάλογον ὡς αὐτοτελὲς ᾆσμα νομίζων λέγει, ὅτι οἱ διασκευασταὶ τὸ προοίμιον τοῦ ᾄσματος οὐ μετέβαλον. Ἀλλ' αἱ τοιαῦται ἐπικλήσεις καὶ ἀλλαχοῦ τῆς Ἰλιάδος εὑρίσκονται*[3]), *ἔνθα διὰ πολλὰς αἰτίας οὐ δυνάμεθα νοῆσαι αὐτοτελῆ ᾄσματα. Ἐνταῦθα δ' ἡ ἐπίκλησις εἰς τὰς Μούσας ἦν ἀναγκαία. Διότι τὸ ἔργον τῆς ἀπαριθμήσεως ἦν δυσχερές, καὶ τὴν δυσχέρειαν αὐτὸς ὁ ποιητὴς ὁμολογεῖ. Ὡσαύτως ὁ* Otfr. Müller[4]) *ἐνόμισεν, ὅτι ἡ ἀπαρίθμησις τῶν Ἀχαιῶν καὶ Τρώων οὐκ ἔστιν ὁμηρική. Διότι κατὰ τὸν ἄνδρα τὸ μέρος τοῦτο τῆς Ἰλιάδος πρὸς τὰ λοιπὰ αὐτῆς μέρη παραβαλλόμενον προδηλοτέρας ἀντιφάσεις παρέχει. Ἴσως εἰς τὸ τμῆμα τοῦτο τῆς Ἰλιάδος ἀντιφάσεις εἰσέρρευσαν, ἀλλὰ θαυμάζομεν, ὅτι οὐχ ὑπάρχουσι πλείονες καὶ μείζονες τῶν ὑπὸ τῶν κριτικῶν δεικνυμένων. Διότι πρῶτον ὁ Ὅμηρος οὐ παρέλαβε παρὰ μύθων (διότι οὐδεὶς μῦθος οὐδεμιᾶς ἐποχῆς περιέχει κατάλογον*

---

1) Ἰλιάδ. Φ 77. Ω 257. 2) Homerische Vorschule σελ. 137. 3) Ἰλιάδ. Β 761. Λ 218, 508. Π 112. 4) Geschichte der griech. Literatur I, 97.

ὀνομάτων) τὸν κατάλογον τῶν νηῶν, ἀλλ' αὐτὸς ἐκ τῶν μύθων τοῦτον ἐξήγαγεν, ὅπερ μέγα εἰς ἀντιφάσεις συνεβάλετο. Καὶ δεύτερον εἰς τὸν κατάλογον τῶν νηῶν, ὡς ἀλλαχοῦ ἤδη εἴρηται, βραδύτερον πολλὰ ὀνόματα εἰσέρρευσαν. Ἀλλὰ καὶ αἱ ἀντιφάσεις, ἃς ὁ σοφὸς Otfr. Müller εὑρίσκει, φαίνονται προϊόντα παρανοήσεως. Παραδείγματος χάριν κατ' αὐτόν ἐστιν ἀντίφασις, ὅτι Μέγης ὁ τοῦ Φυλέως υἱὸς ἐν μὲν τῷ καταλόγῳ βασιλεὺς τοῦ Δουλιχίου ὀνομάζεται, ἐν δὲ τῇ Ἰλιάδι βασιλεὺς τῶν Ἐπειῶν[1]. Ἀλλὰ τὸ ὄνομα Ἐπειοὶ σημαίνει οὐ μόνον τοὺς Ἠλείους, ἀλλὰ καὶ τοὺς ἀντικρὺ τῆς Ἤλιδος τὰς Ἐχινάδας νήσους οἰκοῦντας, ὡς ὁ Ἀρίσταρχος[2] παρετήρησε καὶ ὁ ὁμηρικὸς Gladstone[3] οὐ παρεῖδεν. Πρὸς δὲ κατὰ τὸν Otfr. Müller[4] οἱ τὸν κατάλογον τῶν νηῶν ποιήσαντες οὐ διετήρουν ἐν τῇ μνήμῃ, ὅτι οἱ Βοιωτοὶ ἐπὶ τοῦ Τρωικοῦ πολέμου ἐν Θεσσαλίᾳ ᾤκουν. Ἀλλ', ἐπειδὴ ὁ Πηνέλεως πολλαχοῦ τῆς Ἰλιάδος μνημονεύεται[5], οἱ Βοιωτοὶ ἐπὶ Τροίαν ἐστρατεύσαντο. Ἐπειδὴ δ' οὕτως ἔχει, τὸ ζήτημα ἀφορᾷ τὴν χώραν, ἐν ᾗ ᾤκουν οἱ Βοιωτοί. Ἀλλὰ τὸ αὐτὸ ἁμάρτημα ἠδύνατο ποιῆσαι καὶ ὁ Ὅμηρος καὶ ἐκεῖνοι, οἵτινες κατὰ τὸν κριτικὸν τὸν κατάλογον ἐποίησαν. Διότι καὶ ἐκεῖνος καὶ οὗτοι μετὰ τὰ Τρωικὰ ἔζησαν. Πρὸς δὲ ὁ Ὅμηρος ἐν τῇ Ἰλιάδι λέγει, ὅτι οἱ Βοιωτοὶ οἰκοῦσι παρὰ τῇ Ὕλῃ[6], ἥτις καὶ ἐν τῷ καταλόγῳ Βοιωτικὴ πόλις (δηλαδὴ παρὰ τῇ Ἀττικῇ κειμένη) ὀνομάζεται Ὡσαύτως ὁ κριτικὸς[7] παρετήρησεν, ὅτι, ἐν ᾧ οἱ Ἀρκάδες, Περραιβοὶ καὶ Μάγνητες ἐν τῷ καταλόγῳ ἐπὶ Τροίαν στρατεύονται, ἡ καθαρὰ τῆς Ἰλιάδος παράδοσις τὰς φυλὰς ταύτας, αἵτινες μακρὸν χρόνον Πελασγικαὶ διέμειναν, μετὰ τοῦ Ἀχαϊκοῦ στρατοῦ οὐ μιγνύει. Μνημονεύονται μέν τινες τῶν Πελασγῶν ὡς σύμμαχοι τῶν Τρώων[8],

---

1) Ἰλιάδ. Β 627 ἐν παραβολῇ πρὸς Ν 632 καὶ Ο 519. 2) Lehrs, De Aristarch. stud. homeric. σελ. 231 „Δουλίχιον ἐλέγοντο δὲ καὶ οἱ ἐν τῷ Δουλιχίῳ Ἐπειοί, ὡς Ἐπαφρόδιτος παρατιθεὶς τὸν Ἀρίσταρχον ἐκδεχόμενον οὕτω.“ 3) Frei bearbeitet von A. Schuster, Homerische Studien σελ. 2. 4) Αὐτόθι σελ. 95. 5) Ἰλιάδ. Ξ 496. Π 335, 340. Ν 92. 6) Ἰλιάδ. Ε 708. 7) Αὐτόθι I, 96. Ἰλιάδ. Β 840.

ἀλλὰ τοῦτο οὐκ ἀποδεικνύει, ὅτι πάντα τὰ Πελασγικὰ φῦλα[1]) *σύμμαχα τῶν Τρώων ἦσαν. Διότι ὁ Ἀγαμέμνων πρὸ τῆς ἐπὶ Τροίαν στρατείας ὤφειλε πρῶτον τῶν Ἀρκάδων καταπολεμῆσαι, εἰ δὴ οὗτοι Πελασγοὶ ὄντες τῆς στρατείας οὐ μετεῖχον. Ἀλλ' αἱ τοιαῦται ἀντιφάσεις, καὶ εἰ ὄντως ὑπῆρχον, μᾶλλον τῷ Ὁμήρῳ ἀποδοτέαι, ἢ τοῖς διασκευασταῖς. Διότι ἐκεῖνος μὲν ἠδύνατο παραλαβεῖν ταύτας ἐκ τῶν ἀρχαίων μύθων, οὗτοι ὅμως κατάλογον ὀνομάτων εἰς ἤδη ὑπάρχον ἔπος παρεμβάλλοντες ὤφειλον ἐπιμελῶς τὸν νοῦν εἰς τοῦτο προσέχειν.*

Ἤδη ἔσται ὁ λόγος περὶ τ ῆ ς 3ης ῥ α ψ ῳ δ ί α ς. Δεξάμενοι, ὅτι πρὸ τῆς μήνιδος τοῦ Ἀχιλλέως οἱ Τρῶες πρὸς τοὺς Ἀχαιοὺς οὐκ ἐμαχέσαντο, ὀφείλομεν ὁμολογῆσαι, ὅτι οὐδὲ μονομαχία τοῦ Πάριδος καὶ Μενελάου ἐγένετο. Διότι μόνον τοῦ Ἀχιλλέως ἀπόντος οἱ Τρῶες ἐτόλμων τῶν τειχῶν ἐξελθεῖν καὶ μονομαχῆσαι. Πρὸς δὲ ἡ τοῦ Ἕκτορος δειλία, ἥτις εἰς ὕβρεις κατὰ τοῦ Πάριδος αναλύεται, μαρτυρεῖ, ὅτι ἡ μονομαχία μετὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως ἐγένετο. Ἀφ' οὗ δ' ὁ ποιητὴς ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ τὰς δυνάμεις τῶν τε Ἀχαιῶν καὶ Τρώων ἠρίθμησεν, ἐν τῇ τρίτῃ ἀντιπαρατάσσει αὐτὰς πρὸς ἀλλήλας. Ἐν ἀρχῇ ἤδη εὑρίσκομεν τοὺς Ἀχαιοὺς μένεα πνέοντας καὶ προθύμους ἀλλήλοις βοηθῆσαι[2]). *Τοῦτο ὑπομιμνήσκει ἡμᾶς τὰ ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ, ἐν ᾗ ἡ Ἀθηνᾶ τὴν αἰγίδα ἐν χερσὶν ἔχουσα ἐ ν δ ὲ σ θ έ ν ο ς ὦ ρ σ ε ν ἑ κ ά σ τ ῳ κ α ρ δ ί ῃ ἄ λ λ η κ τ ο ν π ο λ ε μ ί ζ ε ι ν ἠ δ ὲ μ ά χ ε σ θ α ι*[3]). *Ἐπειδὴ δ' ἐνταῦθα πρῶτον τὰ ἐχθρικὰ στρατόπεδα, ὡς εἴρηται, κατ' ἀλλήλων ἀντιπαρατάσσονται, τῶν μὲν Τρώων προμάχεται ὁ Πάρις*[4]), *δι' ὃν ὁ πόλεμος, τῶν δὲ Ἀχαιῶν ὁ Μενέλαος*[5]), *ὅτε τὸν τὰ δίκαια τῆς ξενίας καὶ τὴν σύζυγον ἁρπάσαντα εἶδεν. Ἡ δὲ μονομαχία παρέσχε τῷ ποιητῇ τὴν εὐκαιρίαν, ὅπως τὰ ἐχθρικὰ στρατόπεδα ἐγγὺς ἀλλήλων ἀγαγὼν οὐ μόνον τὸν χαρακτῆρα τῶν μαχητῶν, ἀλλὰ καὶ τὸ ἆθλον, δι' ὃ*

---

1) *Αὐτόθι*. 2) *Ἰλιάδ. Γ* 8. 3) *Β* 451. 4) *Γ* 16. 5) *Αὐτόθι* 21.

οὗτοι ἐμάχοντο[1]), *εἰκονίσῃ. Ἀμφιβάλλομεν δ', εἰ ἱστορικὸς τῶν νεωτέρων χρόνων τὸ μέρος τοῦτο τοῦ Τρωικοῦ πολέμου ἠδύνατο κρεῖττον περιγράψαι.*

Ἡ δὲ 4η ῥαψῳδία οὕτως αἰσθητῶς μετὰ τῆς ἡγουμένης συνδέεται, ὥστε δύναταί τις εἰπεῖν, ὅτι ἐν μὲν τῇ τρίτῃ ὑπάρχει ἡ πλοκὴ τοῦ ἐπεισοδίου τῆς μονομαχίας, ἐν δὲ τῇ τετάρτῃ ἡ λύσις. Διότι ἔβαλε μὲν ὁ Μενέλαος τὸν Πάριν καὶ εἷλκεν αὐτὸν πρὸς τοὺς Ἀχαιούς, ἀλλὰ τοῦ ἱμάντος τῆς κόρυθος κοπέντος ὁ κινδυνεύων ἐσώθη. Λοιπὸν οὔτε Μενέλαος, οὔτε ὁ Πάρις ἐφονεύθη. Τίς ὁ νικητής; Τίς κύριος τῆς Ἑλένης ἔσται; Κηρύσσει μὲν ὁ Ἀγαμέμνων ἐν τῇ τρίτῃ ῥαψῳδίᾳ τὸν Μενέλαον νικητήν[2]), *ἀλλὰ τὸν λόγον αὐτοῦ μόνον οἱ Ἀχαιοὶ ἐπαινοῦσιν*[3]). *Ἐν μὲν τῇ τρίτῃ ῥαψῳδίᾳ ὁ μῦθος τοῦ ἐπεισοδίου σπουδαίως περιεπλέχθη, ἐν δὲ τῇ τετάρτῃ ἕκαστος περιμένει λύσιν. Ὁ Μελησιγενὴς οὐκ ᾔδεῖτο, ἵνα εἰς τὴν ψεκτὴν τοῦ Εὐριπίδου μέθοδον, τὸν ἀπὸ μηχανῆς θεὸν (τοῦτο ἐν τῇ ἐποποιίᾳ οὐχὶ κακία, ἀλλ' ἀρετή ἐστιν), καταφύγῃ. Καὶ δὴ ἐν τῇ τετάρτῃ ῥαψῳδίᾳ ὁ Ζεὺς ἀποφαίνεται μὲν ἐν τοῖς θεοῖς, ὅτι νίκη μὲν ἀρηιφίλου Μενελάου*[4]), *ὅμως πέμπει τὴν Ἀθηνᾶν, ὅπως τοὺς Τρῶας εἰς παράβασιν τῶν ὁρκίων ὠθήσῃ*[5]). *Πρὸς δὲ ἡ ῥαψῳδία αὕτη οὕτω στενῶς μετὰ τῆς ἡγουμένης συνδέεται, ὥστε οἱ θεοὶ καὶ περὶ τῶν ἐν τῇ τρίτῃ γεγονότων βουλεύονται, καὶ τὸν Πάριν οὐχὶ διὰ τοῦ ἰδίου ὀνοματος, ἀλλὰ διὰ τῆς ἀντωνυμίας τ ῷ*[6]) *ὀνομάζουσιν. Οἱ Τρῶες λοιπὸν τὰ ὅρκια παραβάντες οὐ μόνον τὸν Μενέλαον τιτρώσκουσιν*[6]), *ἀλλὰ καὶ ἐπὶ τοὺς Ἀχαιοὺς ἐπέρχονται*[7]). *Ἡ δ' ἐπιορκία τούτων καὶ ἀλλαχοῦ τῆς Ἰλιάδος μνημονεύεται, ὡς ἐν τῷ ἑπομένῳ κεφαλαίῳ ἔσται λόγος. Ἐπειδὴ δ' οὕτως ἡ πρὸς εἰρήνην ἀπόπειρα ἀπέτυχεν, ἕκαστος περιμένει μάχην. Ἀλλ' ἠρίθμησε μὲν ὁ ποιητὴς τὰς δυνάμεις τῶν τε Ἀχαιῶν καὶ Τρώων, καὶ τὸν χαρακτῆρα τῶν ἡγεμόνων αὐτῶν περιέγραψεν, ἀλλ' ἆρά γε*

---

1) *Αὐτόθι* 156. 2) *Ἰλιάδ. Γ* 457. 3) *Αὐτόθι* 461. 4) *Ἰλιάδ. Ε* 13. 5) *Αὐτόθι* 69. 6) *Αὐτόθι* 10. 7) *Ἰλιάδ. Δ* 140.

ἦσαν οὗτοι ἕτοιμοι κατὰ πάντα πρὸς μάχην; Ὁ Ὅμηρος μηδεμίαν τῶν ἀκροατῶν ἀπορίαν ἀνεχόμενος τὴν τοῦ Ἀγαμέμνονος ἐπιπώλησιν προστίθησιν[1]). Οὕτως ὁ ποιητὴς ἀπὸ τῆς δευτέρας ῥαψῳδίας μέχρι τοῦ τέλους τῆς ἐπιπωλήσεως δι᾽ ἀμιμήτου τρόπου τὰς δυνάμεις, τὸν χαρακτῆρα καὶ τὴν διάθεσιν τῶν ἐχθρικῶν στρατοπέδων εἰκόνισεν. Μετὰ ταύτην τὴν περιγραφήν, ὡς εἰκός, ἔναρξις τῆς μάχης[2]) γίνεται, πρὸς ἣν πόρρωθεν ὁ ποιητὴς τὸν ἀκροατὴν παρεσκεύασεν. Ἐν ταύτῃ οἱ Ἀχαιοὶ διατηροῦσι τὸν σιωπηλὸν αὐτῶν χαρακτῆρα[3]), ὃν ἐν ἀρχῇ τῆς τρίτης ῥαψῳδίας ἐγνωρίσαμεν. Ἀλλὰ μετὰ τοσοῦτον μακρὰς περιγραφὰς καὶ μετὰ πλείστας τῶν διαμαχομένων ἀφορμὰς ἕκαστος περιέμενε σφοδροτέρας καὶ φονικωτέρας μάχας, ἃς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ οὐχ εὑρίσκει.

Ἀλλ᾽ ἡ Ἀριστάρχειος τομὴ οὐ κωλύει ἡμᾶς, ἵνα εἰς τὴν 5ην ῥ α ψ ῳ δ ί α ν εἰσελθόντες τὴν ἐν ταῖς τρισὶ ἡγουμέναις ἐγερθεῖσαν ἐπιθυμίαν ἡμῶν κορέσωμεν. Μακραὶ προπαρασκευαὶ προαγγέλλουσι μεγάλας καὶ φονικὰς μάχας, ὧν τινας ἐνταῦθα εὑρίσκομεν. Ἄξιον δὲ σημειώσεώς ἐστιν, ὅτι ἐνταῦθα ἀριστεύει ὁ Διομήδης, ὅστις ἐν τῇ ἡγουμένῃ ῥαψῳδίᾳ[4]) ὡς δειλὸς ἐψέχθη. Ἡ ἀριστεία αὕτη τοῦ Τυδείδου οὐ μόνον τὴν ἐν τῇ ἡγουμένῃ ῥαψῳδίᾳ σιωπὴν αὐτοῦ ἐξηγεῖ, ἀλλὰ καὶ τὴν ἐν τῷ μέλλοντι πανταχοῦ διαλάμπουσαν παρρησίαν αὐτοῦ ἑρμηνεύει. Πρὸ τῆς μάχης σιωπᾷ μὲν ὁ ἥρως, ἀριστεύσας ὅμως δικαίως τοὺς φυγὴν προτείναντας ἐλέγχει. Λοιπὸν ἡ ῥαψῳδία αὕτη διὰ τῶν μαχῶν καὶ τῆς τοῦ Διομήδους ἀριστείας οὐ μόνον μετὰ τῶν ἡγουμένων, ἀλλὰ καὶ μετὰ τῶν ἑπομένων συνδέεται. Πρὸς δὲ ἡ εἰς τὴν μάχην ἀνάμιξις τῆς Ἀθηνᾶς[5]), τοῦ Ἄρεως[6]) καὶ τῆς Ἀφροδίτης[7]) καὶ τὰ ἀτελῆ μέσα ἐξηγεῖ, οἷς τέως ὁ Κρονίων πρὸς πλήρωσιν τῆς αὐτοῦ ὑποσχέσεως ἐχρήσατο, καὶ προπαρασκευάζει την μετ᾽ ὀλίγον αὐστηρὰν ἀπὸ τοῦ πεδίου τῆς μάχης ἀποτροπὴν τῶν θεῶν. Πρὸς

---

1) Στίχ. 223—419. 2) Αὐτόθι 422. 3) Αὐτόθι 429. 4) Ἰλιάδ. Δ 371. 5) Ε 1 καὶ 121. 6) Αὐτόθι 30. 7) Αὐτόθι 312.

τούτοις ἄξιον σημειώσεώς ἐστιν, ὅτι μόλις οἱ Ἀχαιοὶ ὑπὸ τῶν Τρώων ἡττήθησαν[1]), καὶ εὐθὺς μνεία τοῦ ἀπόντος Ἀχιλλέως γίνεται[2]). Οὐ δυνάμεθα δὲ συχνοτέραν μνείαν αὐτοῦ ἀπαιτεῖν. Διότι τοιαῦται σκέψεις οὐχὶ ἐν τῇ φορᾷ τῆς μάχης ἐπέρχονται, ἀλλὰ καθ' ἡσυχίαν, ὅπερ καὶ ἐγένετο ἐν τῇ ἐννάτῃ ῥαψῳδίᾳ.

Ἡ δ' 6η ῥαψῳδία συνδέεται μετὰ τῆς προηγουμένης οὐ μόνον διὰ τῆς ἐξακολουθήσεως τῆς μάχης, ἀλλὰ καὶ διὰ τοῦ ἀριστεύοντος ἥρωος. Καὶ ἐνταῦθα ὁ Διομήδης οὐ παύεται ἀριστεύων. Ὁ δὲ κόμπος[3]), μεθ' οὗ οὗτος πρὸς Γλαῦκον τὸν Ἱππολόχου ἀγορεύει, οὐδόλως ἠδύνατο ἐξηγηθῆναι, εἰ μὴ ἡ ἀριστεία αὐτοῦ προηγεῖτο. Ἄνευ ἀριστείας ὁ ἐν τῇ τετάρτῃ ῥαψῳδίᾳ μέτρια φρονῶν Διομήδης οὐκ ἠδύνατο εἰπεῖν δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν[4]). Εἰ μὴ ἡ ἀριστεία τοῦ ἥρωος προηγεῖτο, ὁ Ἕλενος οὔτε πρὸς τὸν Ἀχιλλέα ἠδύνατο αὐτὸν παραβαλεῖν[5]), οὔτε ἔμελλε συμβουλεῦσαι τῷ Ἕκτορι, ἵνα διὰ τοῦ οἴκτου τῆς Ἀθηνᾶς, δι' ἣν ὁ ἥρως ἐνίκα, τὸν ἄγριον Διομήδη τῆς πόλεως ἀπώσωσιν[6]). Ἡ ἕκτη ῥαψῳδία συνδέεται καὶ μετὰ τῆς τρίτης. Διότι ὁ ἐκεῖ τὸ πεδίον τῆς μάχης καταλιπὼν[7]) Πάρις, ἐνταῦθα ἔτι ἐν τῷ θαλάμῳ εὑρίσκεται[8]), οἱ δὲ κατ' αὐτοῦ ψόγοι τοῦ τε Ἕκτορος[9]) καὶ τῆς Ἑλένης[10]) προδήλως τὴν ἐν τῇ μονομαχίᾳ ἧτταν αὐτοῦ ὑπαινίσσονται. Τελευταῖον παρατηροῦμεν, ὅτι ἡ ῥαψῳδία αὕτη ἐστὶ προπαρασκευή τις εἰς τὸν θάνατον τοῦ Ἕκτορος. Διότι ὁ Ὅμηρος εἴωθεν, ἵνα τὸν χαρακτῆρα τῶν ἡρώων, οἵτινες μέγα τι μέλλουσι πρᾶξαι ἢ παθεῖν, πόρρωθεν διαγράφῃ. Τοῦτο καὶ ἐπαινετέον καὶ ἄξιον μιμήσεως νομίζομεν. Διότι ὁ ἀκροατὴς ἢ ἀναγνώστης εἰς τὴν παλαιὰν μνείαν ὡς εἰς παλαιὰν γνωριμότητα ἀνατρέχει.

Ἡ δ' 7η ῥαψῳδία μετὰ τῆς ἕκτης οὐ μόνον διὰ τῆς συνεχείας τῶν γεγονότων, ἀλλὰ καὶ αἰσθητῶς συνδέεται.

---

1) Αὐτόθι 699. 2) Αὐτόθι 788. 3) Ἰλιάδ. Ζ 126 καὶ ἑξῆς. 4) Αὐτόθι 127. 5) Στίχ. 99. 6) Στίχ. 187, 269 καὶ 305. 7) Ἰλιάδ. Γ 382. 8) Ἰλιάδ. Ζ 316. 9) Αὐτόθι 326. 10) Αὐτόθι 344.

Διότι ἐν μὲν τῇ ἡγουμένῃ ὡμίλει ὁ Ἕκτωρ, ἐνταῦθα δ' ἄρχεται ὁ ποιητὴς διὰ τοῦ Ὡς εἰπών[1]). *Ἐκεῖ ὅ τε Πάρις καὶ ὁ Ἕκτωρ ἀπῆσαν μὲν τοῦ στρατοπέδου, ἀλλ' ᾀεὶ πρὸς ἐπάνοδον προπαρεσκευάζοντο ἢ ὥδευον, ἐνταῦθα φθάσαντες τῆς μάχης μετέχουσιν. Ἄριστα δ' ἐποίησεν ὁ ποιητής, ὅτι ἐν τῇ ἀπουσίᾳ τοῦ Ἕκτορος παρεμβαλὼν εἶδός τι μονομαχίας τοῦ Γλαύκου καὶ Διομήδους*[2]) *πᾶσαν μάχην ἀπέφυγεν. Διότι, εἰ οἱ Τρῶες, ὡς ἡ ὑπόσχεσις τοῦ Διὸς ἀπῄτει, ἄνευ τοῦ Ἕκτορος ἐνίκων τοὺς Ἀχαιούς, ἐταπεινοῦτο ὁ ἥρως, ὃν ὡς μέτρον τῆς ἀνδρίας τοῦ Ἀχιλλέως παρεσκεύαζεν. Ἄξιον δὲ σημειώσεώς ἐστιν, ὅτι ἐνταῦθα μόλις παῦσις τῆς μάχης ἐγένετο, καὶ εὐθὺς μνεία τῆς μήνιδος τοῦ Ἀχιλλέως γίνεται*[3]). *Ἐπειδὴ δὲ τὰς ἐπαναλήψεις ἀποφεύγομεν, ἐνταῦθα οὐ μνημονεύομεν πλείστων συνδέσμων, δι' ὧν ἡ ῥαψῳδία αὕτη μετὰ τῶν ἡγουμένων καὶ ἑπομένων συνδέεται. Παραδείγματος χάριν τῆς ταφῆς τῶν νεκρῶν καὶ τὴς ἀνεγέρσεως τῶν τειχῶν*[4]), *περὶ ὧν ἐν τῷ ἑπομένῳ κεφαλαίῳ ἔσται λόγος.*

Μεταβαίνομεν εἰς τὴν 8ην ῥαψῳδίαν. *Ἐγένετο μὲν νὺξ ἐν τῇ ἑβδόμῃ καὶ τὰ ἐχθρικὰ στρατόπεδα μετὰ μακρὰν εὐωχίαν* τὸ δῶρον τοῦ ὕπνου ἕλοντο, *ἀλλ' ὁ Ζεὺς ἀγρυπνεῖ* παννύχιος σμερδαλέα κτυπέων[5]). *Τί ἆρά γε σκοπεῖ ὁ τερπικέραυνος; Οἱ τὴν πρώτην ῥαψῳδίαν καὶ τὰς μετὰ ταύτην ἀναγνόντες διατηροῦσιν ἐν τῇ μνήμῃ, ὅτι ὁ θεὸς οὗτος ὑπόσχεσίν τινα ἔδω. Αἱ δὲ θεῖαι ὑποσχέσεις, ἂν καὶ βραδύνωσιν, ὅμως ἀσφαλῶς ἐκπληροῦνται. Ἐν τῇ ὀγδόῃ λοιπὸν ῥαψῳδίᾳ οὐ μόνον λύεται τὸ μυστήριον τῶν ἐν τῇ ἡγουμένῃ κεραυνῶν, ἀλλὰ καὶ ἡ τοῦ Διὸς ὑπόσχεσις ἄρχεται ἐκπληρουμένη. Διότι οὗτος εἰς ἀγορὰν τοὺς θεοὺς καλέσας λέγει αὐτοῖς, ἵνα μήτε τοῖς Ἀχαιοῖς, μήτε τοῖς Τρωσὶ βοηθῶσιν*[6]). *Ἀπὸ τῆς ὥρας ταύτης ἄρχονται αἱ συμφοραὶ τῶν Ἀχαιῶν. Ἐνταῦθα κεῖνται τὰ σπέρματα τῆς ἥττης τῶν Ἀχαιῶν, ἐνταῦθα τῆς πρὸς*

---

1) Ἰλιάδ. Η 1. 2) Ἰλιάδ. Ζ 119. 3) Ἰλιάδ. Η 113 καὶ 228. 4) Αὐτόθι 435. 5) Αὐτόθι 479. 6) Ἰλιάδ. Θ 11.

τὸν Ἀχιλλέα πρεσβεύσεως, καὶ ἐνταῦθα τὰ τῆς ἀπορρήσεως τῆς μήνιδος. Ἡ ἀπαγόρευσις ὅμως αὕτη κατὰ τὸν Jacob[1]) ἥρμοζε μᾶλλον ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ, ἢ ἐνταῦθα. Ἀλλ', ὡς νομίζομεν, διὰ τρεῖς σπουδαίας αἰτίας ἄριστα ὁ θεσπέσιος Ὅμηρος ἐποίησεν. Πρῶτον ὁ Ζεὺς οὐκ ἠδύνατο ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ ἀπογορεῦσαι τοῖς θεοῖς τὴν εἰς τὴν μάχην ἀνάμιξιν, ἀφ' οὗ μέχρις ἐκείνης τῆς στιγμῆς οὗτοι οὐκ ἀνεμίχθησαν. Δεύτερον, εἰ οὐδεὶς τῶν θεῶν τὸ κατ' ἀρχὰς ἐβοήθει τοῖς Ἀχαιοῖς, οὗτοι τὸ πρῶτον ἄνευ τοῦ Ἀχιλλέως τῆς μάχης πειρώμενοι καὶ ἐν ταύτῃ ἀποτυγχάνοντες ἔμελλον τῆς Τροίας ἀπελθεῖν. Διότι ὁ βραδύτερον βοηθείᾳ τῆς Ἀθηνᾶς ἀριστεύσας Διομήδης οὐκ ἔμελλεν ἔχειν τὸ θάρρος, ἵνα τούτους κωλύσῃ. Καὶ τελευταῖον, εἰ ἡ τοῦ Διὸς ἀπαγόρευσις ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ ὑπῆρχεν, ἡ ἀνάπτυξις τοῦ μύθου ἐν αὐτῷ τῷ σπέρματι ἐπνίγετο. Διὰ τῆς ἀπαγορεύσεως λοιπὸν τοῦ Διός οἱ Ἀχαιοὶ τῶν συμμάχων θεῶν ἐστερήθησαν. Ἀλλὰ καὶ οὕτω τι. θάρρος τοῦ ἀριστεύσαντος Διομήδους ἦν ἱκανόν, ὅπως τοὺς Τρῶας ἐν τῇ πόλει τοῦ Πριάμου καθείρξῃ, εἰ μὴ ὁ Ζεὺς διὰ κεραυνῶν αὐτὸν ἐκώλυεν[2]). Ἡ τοῦ τερπικεραύνου βούλησις ἰσχύει, καὶ οἱ μὲν Ἀχαιοὶ τρέπονται εἰς φυγήν, ὁ δ' Ἕκτωρ ἔμελλε καῦσαι τὰς ναῦς αὐτῶν[3]), εἰ μὴ ὁ Κρονίων τὸν Ἀγαμέμνονα ὀλοφυρόμενον καὶ δακρυχέοντα ᾤκτειρεν[4]). Ἀλλ', ἐπειδή ὁ τοῦ θεοῦ οἶκτος οὐ δύναται ἀναιρέσαι τὴν ὑπόσχεσιν, οἱ Ἀχαιοὶ αὖθις φεύγουσιν[5]). Πειρῶνται μὲν ἥ τε Ἥρα καὶ ἡ Ἀθηνᾶ[6]), ὅπως αὐτοῖς βοηθήσωσιν, ἀλλ' ὁ Ζεὺς διὰ φοβερῶν ἀπειλῶν ταύτας κωλύει[7]). Οὕτω τῶν Τρώων νικητῶν γενομένων προπαρασκευάζεται ἡ εἰς τὸν Ἀχιλλέα πρέσβευσις, εἰς ἣν εὐθὺς μεταβαίνομεν.

Τὴν δ' 9ην ῥαψῳδίαν ὁ ἱστορικὸς Grote[8]) πειρᾶται, ὅπως νόθην ἀποδείξῃ. Τοῦτο δὲ τοσοῦτον παράδοξόν ἐστιν, ὅσον λέγεται ὑπ' ἀνδρὸς οὐ σμικρὰν ἑνότητα ἐν

---

1) Ueber die Entstehung der Ilias und der Odyssee σελ. 219. 2) Ἰλιάδ. Θ 132. 3) Αὐτόθι 277. 4) Αὐτόθι 245. 5) Αὐτόθι 335. 6) Αὐτόθι 350. 7) Αὐτόθι 399. 8) II, 162.

τῇ Ἰλιάδι εὑρίσκοντος καὶ ταύτην εἰς δύο μικρότερα ἔπη, τὴν Ἀχίλλειαν καὶ μικροτέραν τινὰ Ἰλιάδα, διαιροῦντος. Ὁ πατήρ γε τῆς Ἀχιλλείας ὤφειλε τὴν ῥαψῳδίαν ταύτην ὡς τὸ σπουδαιότερον μέρος τοῦ ἰδίου ἔπους θεωρῆσαι. Διότι ταύτης μὴ ὑπαρχούσης ὀφείλομεν δέξασθαι νόθην καὶ τὴν πρώτην, ἥτις ἡ βάσις τῆς Γροτείου Ἀχιλλείας ἐστίν. Πρὸς δέ, ταύτης νόθης θεωρηθείσης ἡ τοῦ Διὸς πρὸς τὴν Θέτιδα ὑπόσχεσις οὐ προσηκόντως πληροῦται. Πόσον ἀνακόλουθος ἔμελλεν εἶναι ἡ ὑπόθεσις τῆς Ἰλιάδος, εἰ ὁ Ζεὺς ὑποσχεθείς, ὅπως ἀναγκάσῃ τοὺς Ἀχαιοὺς τιμῆσαι τὸν Ἀχιλλέα, ἄνευ προηγουμένης ταπεινώσεως τῶν ἀδικησάντων διὰ τοῦ φόνου τοῦ Πατρόκλου εἰς ἑκουσίαν τῆς μήνιδος ἀπόρρησιν ὤθει! Ὁ Grote νομίζει[1]), ὅτι ἡ πρέσβευσις τὸν Ἀχιλλέα ἀδιάλλακτον εἰκονίζουσα ταπεινοῖ τὸν χαρακτῆρα αὐτοῦ. Ἐν τοῖς ἔμπροσθεν ὅμως εἴπομεν τὴν αἰτίαν, δι' ἣν ὁ ποιητὴς ἠναγκάζετο τοιοῦτον τὸν ἥρωα αὐτοῦ εἰκονίσαι. Ἄλλως τοιοῦτος ἦν ὁ τοῦ Ἀχιλλέως χαρακτήρ. Οὗτος εἰς ἄκρον ἀγαπᾷ καὶ εἰς ἄκρον μισεῖ. Ἡ δὲ μεγίστη ἀνδρία στενῶς, ὡς τὰ κατὰ τὸν Μελέαγρον δεικνύουσι[2]), μετὰ τῆς μεγίστης ἀκαμψίας συνεδέετο. Ἀλλὰ κατὰ τὸν Grote[3]) χωρία τινὰ των ἑπομένων ῥαψῳδιῶν δεικνύουσιν, ὅτι ὁ ποιητὴς οὐκ ἐγίνωσκε τὰ κατὰ τὴν πρέσβευσιν. Καὶ δὴ ὁ Ἀχιλλεὺς ἐν τῇ ἑνδεκάτῃ ῥαψῳδίᾳ[4]) λέγει πρὸς τὸν Πάτροκλον, ὅτι οἱ Ἀχαιοὶ ταπεινωθήσονται πρὸ αὐτοῦ. Κατὰ τὸν ἱστορικὸν τοιαύτη φράσις οὐκ ἠδύνατο τεθῆναι εἰς τὸ στόμα τοῦ ἥρωος, εἰ ἡ πρέσβευσις προηγεῖτο. Ἀλλ' ὁ Ἀχιλλεὺς μὴ καμφθεὶς ὑπὸ τῶν πρέσβεων τῶν Ἀχαιῶν ἐπεθύμει, ἵνα οὗτοι εἰς μείζονα ἀνάγκην ἔλθωσιν. Νῦν δ' ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ εὑρισκομένων τῶν Ἀχαιῶν ὁ ἥρως νομίζει, ὅτι οὗτοι αὖθις πρὸ αὐτοῦ ταπεινωθήσονται. Εἰ δ' ὁ Ἀχιλλεὺς δευτέραν πρεσβείαν μὴ περιέμενε, τῆς Τροίας ἀπήρχετο. Ὁ δ' ἀπορῶν διὰ τὸν τοιοῦτον τοῦ ἥρωος χαρακτῆρα ὤφειλεν ἀπορεῖν καὶ διὰ τὸν τοῦ Μελεάγρου, ὅστις πολλὰς τῶν δημοτῶν αὐτοῦ πρεσβείας ἀπώθησεν.

---

1) Π, 174. 2) Ἰλιάδ. Ι, 550. 3) Π, 169—173. 4) Στίχ. 609.

Πρὸς πᾶσι δὲ τούτοις ἡ ἐννάτη ῥαψῳδία οὐ δύναται ἀποκοπῆναι τῆς Ἰλιάδος. Διότι τῆς πρεσβεύσεως οὐ μόνον ἡ Θέτις[1]) ἐν τῷ διαλόγῳ αὐτῆς πρὸς τὸν Ἥφαιστον, ἀλλὰ καὶ ὁ Ἀγαμέμνων[2]) καὶ ὁ Ἀχιλλεὺς[3]) μετὰ τὴν συνδιαλλαγὴν μνείαν ποιοῦνται. Οἱ δ' ἔντονοι τοῦ Νέστορος πρὸς τὸν Πάτροκλον λόγοι[4]), δι' ὧν ἐκεῖνος τὴν ἀκαμψιάν τοῦ Ἀχιλλέως μέμφεται, οὐκ ἠδύναντο ἐξηγηθῆναι, εἰ μὴ ἡ πρέσβευσις προηγεῖτο.

Τὴν δὲ 10ην ῥαψῳδίαν, ὡς ἀλλαχοῦ ἤδη εἴρηται, τῶν ἀρχαίων τινὲς ἐθεώρησαν ὡς ὀψιαίτερον τῆς ὁμηρικῆς Μούσης προϊὸν καὶ ὡς βραδύτερον εἰς τὴν Ἰλιάδα παρεμβεβλημένον. Ἐπειδὴ ὅμως τοῦτο οὐκ ἔστιν εἴδησις ἐκ τῶν ὁμηρικῶν χρόνων καταρρέουσα, ἀλλὰ μόνον κρίσις, ἐπιτρέπεται καὶ ἡμῖν ἴσον τοῦ κρίνειν δικαίωμα. Ἴσως οἱ οὕτως ἀποφανθέντες κριτικοὶ ἀπεῖδον εἰς τὴν φύσιν τῆς ῥαψῳδίας, ἥτις τοῦ ὅλου ἀποσπωμένη οὐ καιρίως τὴν ὅλην ὑπόθεσιν βλάπτει. Οὐ βλάπτει δὲ ταύτην, ὡς πᾶσα τοιαύτη ἐκδρομὴ οὐ μεταβάλλει τὴν τύχην τοῦ πολέμου. Ἀλλά, καίπερ τῆς κυρίας ὑποθέσεως μὴ βλαπτομένης, ὅμως ἡ ῥαψῳδία ἀποσπωμένη οὐ σμικρὸν τὴν πλοκὴν τοῦ μύθου διαταράσσει. Οἱ Ἀχαιοὶ ἐμαχέσαντο πρὸς τοὺς Τρῶας, ἀλλ' ἡττήθησαν, ὁ δὲ Διομήδης πρὸς τὸν Ἀχιλλέα πρεσβεύσας ἀπέτυχεν, ἀποτυχὼν δὲ μετὰ τῶν ἄλλων ἡρώων ἀπέρχεται κοιμηθῆναι. Ἀλλ' ἆρά γε ὁ Ἀγαμέμνων ὑπὸ τῶν Τρώων ἡττηθεὶς καὶ πρὸ τοῦ Ἀχιλλέως ταπεινωθεὶς καθ' ὅλην τὴν νύκτα ἐκοιμᾶτο; Ἆρά γε ὁ τοῦ στρατοῦ ἡγεμὼν ἐκοιμᾶτο, ἐν ᾧ ὁ Ἕκτωρ καὶ τὸ Τρωικὰ πυρὰ ἠπείλουν τοὺς Ἀχαιούς; Εἰ ἡ δεκάτη ῥαψῳδία ἔλειπεν, οἱ κριτικοὶ τὸν Ὄνειρον παρῳδήσαντες ὤφειλον εἰπεῖν τῷ ὁμηρικῷ Ἀγαμέμνονι, Εὕδεις Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο; Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν. Πρὸς δὲ ἐμέλλομεν εἰπεῖν, ὅτι ὁ λόγος

1) Ἰλιάδ. Σ 448. 2) Ἰλιάδ. Τ 140. 3) Αὐτόθι 147. 4) Ἰλιάδ. Λ 655.

τοῦ Ὁρατίου quandoque bonus dormitat Homerus [1]) *καὶ ἐνταῦθα ἐφαρμόζεται, καὶ τῇ ἀληθείᾳ ἔμελλε κοιμᾶσθαι ἀκαίρως. Ἀλλ' ὁ θεσπέσιος ποιητὴς γινώσκει, ποῦ δύναται κοιμᾶσθαι, καὶ ποῦ ὀφείλει ἀγρυπνεῖν. Καὶ δὴ ἐνταῦθα οὐκ ἐπέτρεψε τῷ Ἀγαμέμνονι ὕπνον, ἀλλὰ πάσας τὰς ἀστραπὰς καὶ τοὺς κεραυνοὺς τοῦ Διός, πάντας τοὺς στεναγμοὺς εἰς τὰ στήθη τοῦ ἥρωος ἐνέβαλεν* [2]). *Ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ εὑρίσκομεν τὸν τόπον καὶ τὸν χρόνον, οἷα ἐν ταῖς ἡγουμέναις ἐγνωρίσαμεν. Καὶ δὴ εὑρίσκομεν τὴν τάφρον* [3]) *τὴν ἐν τῇ ἑβδόμῃ ῥαψῳδίᾳ ἀνορυχθεῖσαν, καὶ οὐ μόνον τὴν ἐν τῇ ὀγδόῃ ἐπελθοῦσαν νύκτα, ἀλλὰ καὶ τὸ τῆς νυκτὸς μέρος, ὃ ἐν τῇ ἐννάτῃ ὑπελείφθη. Ὡσαύτως οἱ ἥρωες ταύτης τῆς ῥαψῳδίας τηροῦσι τὸν χαρακτῆρα, ὃν ἐν ταῖς ἄλλαις ἐγνωρίσαμεν. Ἀλλ' ὁ* Jacob [4]) *ἀνακαλύπτει, ὅτι ὁ Μενέλαος, ὅστις ἀλλαχοῦ διὰ τὴν πρὸς τοὺς ἡγεμόνας φιλοπροσηγορίαν αὐτοῦ διακρίνεται, ἐνταῦθα ὑψηλόφρων ἐγένετο. Τοῦτο δ' ὁ ἀνὴρ ἐξάγει ἐκ τῆς φράσεως τοῦ Ἀγαμέμνονος πρὸς τὸν ἀδελφόν, π α τ ρ ό θ ε ν ἐ κ γ ε ν ε ῆ ς ὀ ν ο μ ά ζ ω ν ἄ ν δ ρ α ἕ κ α σ τ ο ν, π ά ν τ α ς κ υ δ α ί ν ω ν· μ η δ ὲ μ ε γ α λ ί ζ ε ο θ υ μ ῷ* [5]). *Ἀλλ' ὁ Μενέλαος μέχρι τοῦδε οὐδὲν σημεῖον ὑψηλοφροσύνης πρὸς τοὺς ἡγεμόνας ἔδειξεν. Εἰ δ' ὁ Ἀγαμέμνων παροτρύνει αὐτὸν εἰς εὐπροσηγορίαν, τούτου προχείρως ἡ αἰτία εὑρίσκεται. Ὁ Ἀγαμέμνων, ὅστις ἐν ἑκάστῃ φράσει τὴν αὐτοῦ ταπείνωσιν δείκνυσιν, ἐπιθυμεῖ, ἵνα καὶ ὁ ἀδελφὸς τὸν αὐτὸν χαρακτῆρα ἔχῃ. Οἱ δὲ ταπεινωθέντες ἀεὶ τοὺς ἄλλους ὑψηλόφρονας θεωροῦσιν. Ἄλλως νῦν ἦν ἀνάγκη μείζονος εὐπροσηγορίας. Διότι νῦν πρῶτον τὰ τῶν Ἀχαιῶν ἐπὶ ξυροῦ ἀκμῆς ἔφθασαν.*

Τὴν δὲ 11*ην* *ῥ α ψ ῳ δ ί α ν τῶν σπουδαιοτέρων τῆς Ἰλιάδος μερῶν θεωροῦμεν. Διότι ἐνταῦθα ὁ μῦθος μάλιστα περιπλέκεται, καὶ ἡ ἀρχὴ τῆς λύσεως αὐτοῦ τίθεται. Τοῦτο ὅμως οἱ πλεῖστοι τῶν κριτικῶν παριδόντες νομίζουσι*

---

1) Ars poetica *στίχ.* 359. 2) *Ἰλιάδ. Κ ἐν ἀρχῇ.* 3) *Αὐτόθι* 194. 4) Ueber die Entstehung der Ilias u. der Odyssee *σελ.* 238. 5) *Ἰλιάδ. Κ* 68.

ταύτην νόθην. Ἂν ὅμως τὴν ῥαψῳδίαν ταύτην ἀφαιρέσωμεν, οὔτε ἡ πλοκὴ τοῦ μύθου προσηκόντως χωρεῖ, οὔτε ἡ λύσις αὐτοῦ νοεῖται. Οἱ ἄριστοι τῶν Ἀχαιῶν πρῶτον μὲν διὰ τῆς ἰδίας ἀνδρίας, εἶτα δὲ διὰ τῶν τειχῶν καὶ τῆς πρὸς τὸν Ἀχιλλέα πρεσβεύσεως ἐπειράθησαν, ὅπως τὴν ὁρμὴν τοῦ Ἕκτορος ἀναχαιτίσωσιν,· ἀλλ' ἀπέτυχον. Διὰ τὰς ἀποτυχίας δὲ ταύτας ἐν τῇ ἡγουμένῃ ῥαψῳδίᾳ εἴδομεν τὸν Ἀγαμέμνονα ἀγρυπνοῦντα, στενάζοντα καὶ τὸν ὄλεθρον τοῦ στρατοῦ φοβούμενον. Ὁ ἥρως ἐταπεινώθη καὶ διὰ τῆς ταπεινώσεως εἰς τὴν ἐσχάτην ἀνελπιστίαν ἔφθασεν. Ἀλλ' ἡ ἀνελπιστία τίκτει θάρρος. Διότι τὰ ἄκρα συνέχονται. Λοιπὸν ἡ μεταβολὴ αὕτη ἐστὶ φυσικὴ καὶ ὁ Ἀγαμέμνων δυνάμει ἐν ἑαυτῷ τὴν ἀριστείαν εἶχεν. Ἀλλ' ἡ ἀριστεία αὕτη πολλοῖς τῶν κριτικῶν ἐφάνη ἀντιφάσκουσα πρὸς τὴν ὑπόθεσιν τοῦ ὅλου ἔπους. Οὐκ ὀρθῶς, ὡς νομίζομεν. Διότι ὁ Ζεὺς ὑπέσχετο μέν, ὅπως οἱ Ἀχαιοὶ πεισθέντες τὸν Ἀχιλλέα τιμήσωσιν, ὅμως οὔτε τὸν ὄλεθρον τῶν Ἀχαιῶν θέλει, οὔτε τὴν ἀτιμίαν τοῦ Ἀγαμέμνονος ἀνέχεται, ὡς αὐτὸς ὁ ποιητὴς διαῤῥήδην λέγει·

Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλλῆα πόδας ταχύν· οὐδ' ὅγε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό [1]).

Διὰ ταῦτα λοιπὸν ἐν ἀρχῇ τῆς ῥαψῳδίας ταύτης ὁ Ἀγαμέμνων τούς τε ἄλλους κελεύσας ὁπλισθῆναι καὶ αὐτὸς ὁπλισθεὶς καὶ ἐπὶ τοὺς πολεμίους ἐπελθὼν ἀριστεύει. Πρὸς πᾶσι τούτοις τὸ τοῦ Ἀγαμέμνονος θάρρος τὴν λύσιν τοῦ ὅλου μύθου προπαρασκευάζει. Διότι ὁ ἥρως ἐκ τῆς ἀριστείας μέγα θαῤῥήσας καὶ εἰς κινδύνους ἑαυτὸν ἐμβαλὼν τιτρώσκεται [2]) καὶ τρωθεὶς τῆς μάχης ἀφίσταται [3]). Ὁ δ' Ἕκτωρ παραχρῆμα τὸν ἀριστεύοντα ἀποστάντα τῆς μάχης νοήσας ἐπὶ τοὺς Ἀχαιοὺς ἐπέρχεται, καὶ οὗτοι εἰς φυγὴν τρέπονται. Πειρῶνται μὲν Ὀδυσσεὺς [4]) καὶ ὁ Διομήδης [5]), ὅπως τὴν φυγὴν τούτων ἀναχαιτίσωσιν, ἀλλὰ τρω-

1) Ἰλιάδ. Ν 347. 2) Ἰλιάδ. Λ 252. 3) Αὐτόθι 286. 4) Αὐτόθι 440. 5) Αὐτόθι 376.

θέντες τῆς μάχης ἐξέρχονται. Οὕτως ὁ κίνδυνος τῶν Ἀχαιῶν ἐκορυφώθη. Εἰ ὁ ποιητὴς ἐνταῦθα δευτέραν πρέσβευσιν παρενέβαλε, κατέστρεφεν, ὅ, τι ἐπιτυχέστατα ἀνήγειρεν. Διότι οἱ Ἀχαιοὶ νῦν εἰσιν ἄξιοι οὐχὶ ταπεινώσεως, ἀλλ' οἴκτου, ὡς αὐτοὶ οὗτοι οἴδασι λέγοντες διὰ τοῦ στόματος τοῦ Νέστορος περὶ τοῦ Ἀχιλλέως οὐ κήδεται οὐδ' ἐλεαίρει[1]. *Οὕτως ὁ θεσπέσιος ποιητὴς βραδέως μὲν καὶ κατ' ὀλίγον, ἀλλ' ἐπιτυχῶς τὴν ταπείνωσιν τῶν Ἀχαιῶν μέχρις οἴκτου κατεβίβασε, τὴν δὲ τιμὴν τοῦ Ἀχιλλέως ἀνεβίβασε μέχρι τοῦ ὑψίστου σημείου, ἐφ' οὗ ὁ ἱστάμενος κάμπτεται. Ὄντως μέγα τῆς τέχνης πρόβλημα ὁ ποιητὴς λύει ἐνταῦθα ἐν τῇ ἐξόχῳ αὐτοῦ φύσει. Ἀλλ', ἐν ᾧ ἡ ῥαψῳδία πλείστας ἀρετὰς περιέχει, οἱ πλεῖστοι τῶν κριτικῶν ταύτην οὐ μόνον νόθην ἀποφαίνονται, ἀλλὰ καὶ ὡς ἄθροισμα θραυσμάτων θεωροῦσιν. Ἀλλ' ἴδωμεν μίαν γε αἰτίαν, ὅπως ὁ ἀναγνώστης καὶ περὶ τῶν λοιπῶν κρίνῃ. Ὁ* Jacob[2]) *τὴν ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ περιγραφομένην πανοπλίαν τοῦ Ἀγαμέμνονος*[3]) *πρὸς τὴν ἐν τῇ* 18*ῃ τοῦ Ἀχιλλέως παραβάλλων εὑρίσκει τοσαύτην διαφοράν, ὥστε λέγει, ὅτι ἦν ἀδύνατον, ἵνα ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἐν τῇ αὐτῇ τῆς Ἑλλάδος χώρᾳ αἱ δύο ἀσπίδες καὶ αἱ τούτων περιγραφαὶ ποιηθῶσιν. Καὶ κατὰ τὸν κριτικὸν ἡ μὲν τοῦ Ἀγαμέμνονός ἐστιν ἔργον ἑλληνικόν, ἡ δὲ τοῦ Ἀχιλλέως φοινικικόν. Ἀλλ' ἕκαστος ὁμηρικὸς ἥρως διάφορον πανοπλίαν τῆς τοῦ ἄλλου εἶχεν, ὡς ὁ Ὅμηρος πολλαχοῦ ἐδήλωσεν. Διαφορὰ δ' ἀσπίδων οὔτε τόπου, οὔτε χρόνου διαφορὰν δείκνυσιν. Διότι οὐ μόνον ὁ αὐτὸς τόπος καὶ χρόνος, ἀλλὰ καὶ ὁ αὐτὸς νοῦς, ὁ τοῦ Αἰσχύλου, ἐν τῷ δράματι Ἑπτὰ ἐπὶ Θήβας οὐχὶ δύο, ἀλλ' ἑπτὰ ἀσπίδας ὡς μάλιστα ἀλλήλων διαφόρους παρήγαγεν. Ἄλλως οἱ ἥρωες οὐκ ἐστεροῦντο καὶ φοινικικῶν ἔργων.*

Ἐν δὲ τῇ 12*ῃ ῥαψῳδίᾳ οἱ Ἀχαιοὶ προμάχων στερούμενοι εἰς τὰ τείχη φεύγουσιν*[4]), *ἅπερ ἐν τῇ ἑβδόμῃ ἀνή-*

---

1) *Αὐτόθι* 665. 2) Ueber die Entstehung der Ilias und der Odyssee *σελ.* 243. 3) *Ἰλιάδ. Λ* 24—46. 4) *Ἰλιάδ. Μ* 38.

γειραν. Ἡ ῥαψῳδία λοιπὸν αὕτη οὐ μόνον μετὰ τῆς ἑβδόμης ἀρρήκτως συνδέεται, ἀλλὰ καὶ μετὰ πασῶν τῶν ἄλλων, ἐν αἷς μνεία τῆς τάφρου καὶ τῶν τειχῶν γίνεται. Πρὸς δὲ οἱ ἐν τῇ ἡγουμένῃ ῥαψῳδίᾳ τρωθέντες ἥρωες τῆς μάχης ἐν ταύτῃ οὐ μετέχουσιν. Μόνον οἱ δύο Αἴαντες μετὰ τῶν δευτερευόντων ἡρώων πανταχοῦ φοιτῶντες βοηθοῦσι τοῖς κινδυνεύουσιν [1]). Οὕτω λοιπὸν ὁ ποιητὴς εὑρίσκει εὐκαιρίαν, ὅπως δείξῃ, ὅτι καὶ αἱ τελευταῖαι τῶν Ἀχαιῶν δυνάμεις οὐχ ἱκαναί εἰσιν, ἵνα τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως ἀναπληρώσωσιν. Καὶ ἔφυγον μὲν οὗτοι εἰς τὰ τείχη, ἀλλ᾽ οἱ Τρῶες τὴν τάφρον διαβάντες [2]) καὶ εἰς πέντε τάξεις διαιρεθέντες εἰς ταῦτα εἰσβάλλουσιν [3]). Εἰσβαλόντες δὲ τοὺς Ἀχαιοὺς καταπιέζουσιν. Τούτου ὅμως γενομένου ὁ Ζεὺς διὰ σημείου δείκνυσιν, ὅτι οὐκ ἀνέχεται τὸν ὄλεθρον αὐτῶν. Οἱ δὲ Τρῶες *ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν κείμενον ἐν μέσσοισι, Διὸς τέρας αἰγιόχοιο* [4]).

Οὕτω λοιπὸν ὁ Ζεὺς ἐν τῇ 13ῃ *ῥαψῳδίᾳ* νομίσας, ὅτι ἔπραξε τὸ ἑαυτοῦ, τρέπει τοὺς φαεινοὺς ὀφθαλμοὺς εἰς τὰς χώρας τῶν Θρᾳκῶν, τῶν Μυσῶν, τῶν Ἱππομολγῶν καὶ τῶν Ἀβίων [5]). Διότι οὐδεὶς τῶν ἀθανάτων, ὡς ἐνόμιζεν, ἔμελλε βοηθήσειν τοῖς διαμαχομένοις. Τοῦτο ὅμως οὐκ ἔλαθε τὸν Ποσειδῶνα, ὅστις μορφὴν καὶ φωνὴν Κάλχαντος [6]) λαβὼν τοὺς Ἀχαιοὺς πρὸς ἐκδίωξιν τῶν ἐχθρῶν παρακελεύεται. Καὶ δὴ πρῶτον μὲν τοὺς Αἴαντας [7]), εἶτα δὲ τοὺς δευτερεύοντας ἥρωας, ὡς τὸν Τεῦκρον, τὸν Ἀντίλοχον, τὸν Μηριόνην καὶ τοὺς ἄλλους εἰς μάχην παροτρύνει [8]). Ἄριστα δ᾽ ἐποίησεν ὁ ποιητής, ὅτι τούτους ἐν τῇ ἀπουσίᾳ τῶν πρωτευόντων ἡρώων ἀριστεύοντας ἐπιδεικνύει. Οὕτω πυκνῶν περὶ τοῖς Αἴασι φαλάγγων συγκεντρωθεισῶν πολλοὶ Τρῶες φονεύονται καὶ ὁ Ἕκτωρ ἐπὶ μικρὸν τῆς μάχης ἀφίσταται. Ὁ Ποσειδῶν ὅμως τὸ σχέδιον τοῦ Διὸς διετάραξεν, ἀλλὰ τοῦτο μετ᾽ ὀλίγον ἐξηγεῖται. Ἄξιον δὲ

---

1) Ἰλιάδ. Μ 226. 2) Αὐτόθι 81. 3) Στίχ. 263, 330 καὶ 462. 4) Στίχ. 209. 5) Ἰλιάδ. Ν ἐν ἀρχῇ. 6) Αὐτόθι 10. 7) Στίχ. 68. 8) Στίχ. 91.

σημειώσεώς ἐστιν, ὅτι ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ τῆς τε μήνιδος τοῦ Ἀχιλλέως καὶ τῆς ὑποσχέσεως τοῦ Διὸς μνεία γίνεται[1]).

Ἡ δὲ 14η ῥαψῳδία στενῶς μετὰ τῶν ἡγουμένων συνδέεται. Διότι ἡ τῶν Τρώων εἰς τὰ τείχη εἰσβολὴ καὶ ἡ πίεσις τῶν Ἀχαιῶν παρήγαγον ἰαχήν, ἥτις ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ μέχρι τῶν ὤτων τοῦ Νέστορος φθάνει[2]). *Ὁ δὲ γέρων τῆς σκηνῆς ἐξελθὼν ἐντυγχάνει τῷ Διομήδει, τῷ Ὀδυσσεῖ καὶ τῷ Ἀγαμέμνονι*[3]). *Οὗτοι φέρουσι τὰ τραύματα, ἅπερ ἐν τῇ ἑνδεκάτῃ ῥαψῳδίᾳ ἔσχον. Ὁ Ἀγαμέμνων προτείνει φυγήν, ἀλλ' ἐλέγχεται ὑπὸ τοῦ Ὀδυσσέως*[4]). *Κατὰ συμβουλὴν δὲ τοῦ Διομήδους οἱ τρωθέντες τῆς μάχης μετέχουσιν*[5]). *Γέρων καὶ τραυματίαι πειρῶνται, ὅπως τὰς ναῦς σώσωσιν. Ἀλλ', ἐν ᾧ οὕτω τὰ τῆς μάχης εἶχον, ὁ Ποσειδῶν μέγα φωνήσας ἐμπνέει θάρρος τοῖς Ἀχαιοῖς*[6]). *Ἡ δ' Ἥρα ταῦτα ἐκ τοῦ ῥίου τοῦ Ὀλύμπου ὁρῶσα ἔχαιρε μέν*[7]), *ὅμως ἐγίνωσκεν, ὅτι ἡ χαρὰ ἔμελλεν εἶναι ὀλιγοχρόνιος, εἰ μὴ τοὺς ὀφθαλμοὺς τοῦ Διὸς ἔκλειεν. Διὰ τοῦτο τὸν κεστὸν τῆς Ἀφροδίτης ἱμάντα λαβοῦσα καὶ τὸν Ὕπνον παραπείσασα διέρχεται ὑπὸ τὰς ὄψεις τοῦ ἐπὶ τῆς Ἴδης καθημένου Διός. Οὗτος δ' ὑπὸ ἔρωτος τρωθεὶς μετὰ τῆς συζύγου κοιμᾶται*[8]). *Ὁ δὲ Ποσειδῶν αὖθις θάρρος ἐμπνέει τοῖς κινδυνεύουσιν, οἵτινες ὑπὸ τοὺς τετρωμένους ἥρωας ταχθέντες ἐπὶ τοὺς πολεμίους ἐπέρχονται*[9]). *Πληγέντος δὲ τοῦ Ἕκτορος*[10]) *οἱ Τρῶες τρέπονται εἰς φυγήν, ὧν πλεῖστοι φονεύονται*[11]).

Ἡ δὲ 15η ῥαψῳδία οὕτως αἰσθητῶς μετὰ τῆς ἡγουμένης συνδέεται, ὥστε καὶ αὐτὰ τὰ ὑποκείμενα τῶν πρώτων προτάσεων ὡς ἐκ τῆς προτέρας νοούμενα λείπουσιν[12]). *Ὁ δ' ἐν τῇ ἡγουμένῃ ἀπατηθεὶς Ζεὺς ἐν ταύτῃ ὁρῶν τοὺς μὲν Τρῶας πάσχοντας, τὸν δ' Ἕκτορα αἷμα ἐμοῦντα κατὰ τῆς Ἥρας ὀργίζεται. Ἀλλ' ἡ θεὰ ἐπιορκοῦσα*

---

1) *Ἰλιάδ.* Ν 107, 324 καὶ 347. 2) *Ἰλιάδ.* Ξ 1. 3) *Αὐτόθι* 28. 4) *Αὐτόθι* 83. 5) *Αὐτόθι* 128. 6) *Αὐτόθι* 157. 7) *Αὐτόθι* 157. 8) *Αὐτόθι* 353. 9) *Αὐτόθι* 379. 10) *Αὐτόθι* 468. 11) *Αὐτόθι* 506. 12) *Ἰλιάδ.* Ο ἐν ἀρχῇ.

λέγει, ὅτι ὁ Ποσειδῶν ἐξ ἰδίας βουλήσεως τοῖς Ἀχαιοῖς ἐβοήθησεν [1]. Μετὰ τοῦτο ὁ Κρονίδης τῷ μὲν Ποσειδῶνι ἀπειλεῖ [2], τῷ δ' Ἕκτορι αὖθις θάρρος ἐμπνέει [3]. Τούτου δὲ τῆς μάχης μετασχόντος οἱ Ἀχαιοὶ εἴς τε τά τείχη καὶ τὰς ναῦς φεύγουσιν. Ὁ δ' Ἕκτωρ τῆς νηὸς τοῦ Πρωτεσιλάου [4] ἁψάμενος κελεύει τοὺς Τρῶας, ἵνα πῦρ φέρωσιν [5]. Μόνη δ' ἡ ἀνδρία τοῦ Αἴαντος τὸν ἐμπρησμὸν τῶν νηῶν κωλύει. Πρὶν δὲ μεταβῶμεν εἰς τὴν ἑπομένην ῥαψῳδίαν, παρατηροῦμεν, ὅτι αὕτη ὡς καὶ αἱ προηγούμεναι, ἐν αἷς οἱ θεοὶ τοῖς Ἀχαιοῖς βοηθοῦσι, συνδέονται ἀρρήκτως μεθ' ὅλου τοῦ ἔπους. Διότι οὗτοι βοηθοῦσι μὲν τοῖς κινδυνεύουσιν, ἀλλ' ᾀείποτε γινώσκοντες, ὅτι παρὰ τὴν τοῦ Διὸς βούλησιν, ἣν οὗτος ἐν τῇ ἑβδόμῃ ῥαψῳδίᾳ ἐδήλωσε, πράττουσιν. Ἄλλως οἱ θεοί, οἵτινες ἐν τῷ πρώτῳ τῆς Ἰλιάδος ἡμίσει πολλαχῶς τοῖς Ἀχαιοῖς ἐβοήθουν, οὐκ ἠδύναντο διὰ τὴν ἀπαγόρευσιν τοῦ Διὸς ἐν τῷ ἐσχάτῳ τούτων κινδύνῳ ἀπαθεῖς θεαταὶ μένειν.

Ἡ δὲ 16η ῥαψῳδία οὐ μόνον μετὰ τῆς ἡγουμένης, ἀλλὰ καὶ μετὰ τῆς ἑνδεκάτης στενῶς συνδέεται. Διότι ἐν μὲν τῇ ἡγουμένῃ οἱ Τρῶες πειρῶνται, ὅπως τὰς ναῦς τῶν Ἀχαιῶν καύσωσιν, ἐν δὲ τῇ παρούσῃ ὁ ποιητὴς ἄρχεται διὰ τοῦ Ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο [6]. Ὁ δ' ἐν τῇ ἑνδεκάτῃ εἰς τὸ στρατόπεδον τῶν Ἀχαιῶν πεμφθεὶς Πάτροκλος ἐνταῦθα γινώσκει τὰ κατ' αὐτούς,

Βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσσεὺς δουρυκλυτὸς ἠδ' Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ [7].

Ταῦτα δὲ ἀφηγησάμενος παρακαλεῖ τὸν ἑταῖρον, ἵνα ἢ αὐτὸς τῆς μάχης μετάσχῃ ἢ αὐτὸν μετὰ τῶν Μυρμιδόνων πέμψῃ [8]. Ὁ δ' Ἀχιλλεὺς μεταμέλεται, ὅτι ταχέως ὠργίσθη οὐδ' ἄρα πως ἦν ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν [9], καὶ πείθεται, ἵνα τὸν ἑταῖρον ἱκετεύοντα πρὸς βοή-

---

1) Αὐτόθι 34—46. 2) Αὐτόθι 157. 3) Αὐτόθι 231. 4) Αὐτόθι 704. 5) Αὐτόθι 718. 6) Ἰλιάδ. Π ἐν ἀρχῇ. 7) Αὐτόθι 25. 8) Αὐτόθι 36. 9) Αὐτόθι 60.

θειαν τοῖς Ἀχαιοῖς πέμψῃ[1]). Ὀρθῶς δ' ἐποίησεν ὁ ποιητὴς μὴ ἐπιτρέψας, ἵνα αὐτὸς ὁ Ἀχιλλεὺς τῆς μάχης μετάσχῃ. Διότι οὕτως ὁ ἥρως ἐταπεινοῦτο. Ἀλλ', ἐν ᾧ ὁ Ἀχιλλεὺς συναινεῖ, ὅπως ὁ Πάτροκλος τοῖς Ἀχαιοῖς βοηθήσῃ, ὁ Τελαμώνιος Αἴας, ὅστις μόνος τὰς ναῦς τούτων ἐφρούρει, καὶ τὰς τελευταίας αὐτοῦ δυνάμεις ἐξαντλήσας ἀναγκάζεται ἀποχωρῆσαι. Τούτου δὲ γενομένου οἱ Τρῶες πῦρ εἰς τὴν ναῦν τοῦ Πρωτεσιλάου βάλλουσι, τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ[2]). Ἂν δὲ ταχὺ βλέμμα εἰς τὰ μέχρι τοῦδε εἰρημένα ῥίψωμεν, παρατηροῦμεν, πόσον θαυμασίως ὁ θεσπέσιος ποιητὴς τὰς συμφορὰς τῶν Ἀχαιῶν ἐκορύφωσε καὶ κατ' εὐθὺν λόγον τὴν τιμὴν τοῦ Ἀχιλλέως ἀνύψωσεν. Ἀπὸ τοῦ θάρρους τοῦ Ἕκτορος ἔβη εἰς τὴν ἧτταν τῶν Ἀχαιῶν. Οὕτως ἡ πρὸς τὸν Ἀχιλλέα πρέσβευσις ἐπετεύχθη. Εἶτα εἰς τὰ τραύματα τῶν ἐξοχωτέρων ἡρώων προβὰς διήγειρε τὸν οἶκτον τοῦ ἥρωος, ὅπως τὸν Πάτροκλον εἰς τὸ στρατόπεδον τῶν Ἀχαιῶν πέμψῃ. Τελευταῖον καὶ τὴν τελευταίαν αὐτῶν δύναμιν, τὸν Τελαμώνιον Αἴαντα, καταναλίσκει, ὅπως τὸν ἥρωα τοῦ ἔπους μάλιστα τιμήσῃ. Ἀλλ' ἡ φλὸξ τῆς Ἀχαϊκῆς νηὸς καίει τὴν μῆνιν καὶ ἀναγκάζει αὐτόν, ἵνα τὸν ἑταῖρον τάχιστα ἐπίκουρον πέμψῃ. Οὗτος δ' εἰς τὸ πεδίον τῆς μάχης ἐλθὼν τὸ δόρυ αὐτοῦ βάλλει ἐκεῖ, ἔνθα ἡ τοῦ Πρωτεσιλάου ναῦς ἐκαίετο, καὶ βαλὼν φονεύει τὸν Πυραίχμην[3]). Τούτου δὲ πεσόντος οἱ Τρῶες εἰς φυγὴν τρέπονται, τὸ πῦρ σβέννυται[4]), ὁ Ἕκτωρ φεύγει[5]) καὶ ὁ Σαρπηδὼν νεκρὸς πίπτει[6]). Ἀλλ' ἐν τῇ φορᾷ τῆς νίκης ὁ Πάτροκλος τῆς ἐντολῆς[7]) τοῦ ἑταίρου ἐπιλήσμων γενόμενος κατὰ τῆς ὑψιπύλου Τροίας ἐπέρχεται[8]). Εἰ ἡ πόλις ὑπ' αὐτοῦ ἐξεπορθεῖτο, οὔτε ἡ ὑπόσχεσις τοῦ Διὸς ἀκριβῶς ἐπληροῦτο, οὔτε ὁ Ἀχιλλεύς, ὡς ἔδει, ὑπὸ τῶν Ἀχαιῶν ἐτιμᾶτο. Διὰ τοῦτο ὁ Ἀπόλλων τὴν βούλησιν τοῦ Διὸς πληρῶν τὴν πανοπλίαν τοῦ ἥρωος ἀφαιρεῖ, ὅστις τιτρώσκεται μὲν ὑπὸ

---

1) *Αὐτόθι* 65. 2) *Αὐτόθι* 123. 3) *Αὐτόθι* 284. 4) *Αὐτόθι* 293. 5) *Αὐτόθι* 367. 6) *Αὐτόθι* 482. 7) *Αὐτόθι* 92. 8) *Αὐτόθι* 698.

τοῦ Εὐφόρβου, κτείνεται δ' ὑπὸ τοῦ Ἕκτορος[1]). Θνήσκων δὲ γινώσκει, ὅτι ὁ Ζεὺς καὶ ὁ Ἀπόλλων αὐτὸν ἐδάμασαν[2]).

Ἡ δὲ 17η ῥαψῳδία οὐ δύναται νοηθῆναι ἄνευ τῆς προηγουμένης. Διότι ἐκεῖ μὲν φονεύεται ὁ Πάτροκλος, ἐνταῦθα δ' αἱ περὶ τὸ σῶμα αὐτοῦ μάχαι εἰκονίζονται. Ὁ δὲ ποιητὴς οὐκ ἠδύνατο παραλιπεῖν ταύτην τὴν ῥαψῳδίαν. Διότι, εἰ περὶ τὸ σῶμα τοῦ ἡνιόχου ἑκάστου ἥρωος σφοδρὰ μάχη ἠγείρετο, ἦν ἄξιον ἀπορίας, εἰ ὁ ποιητὴς περὶ τοῦ σώματος τοῦ σωτῆρος τῶν νηῶν καὶ τοῦ ἑταίρου τοῦ Ἀχιλλέως ἐσιώπα. Αἱ αὐταὶ δὲ μάχαι πληροῦσι καὶ ἄλλον σκοπόν. Δεικνύουσι δηλαδή, ὅτι οἱ Ἀχαιοί, καίπερ μετὰ τῶν Μυρμιδόνων μαχόμενοι, οὐ δύνανται ἀπῶσαι τὸν Ἕκτορα. Διότι ὁ Κρονίδης οὐ παύεται τιμῶν τὸν Ἀχιλλέα, διδοὺς μὲν τοῖς Τρωσὶ νίκην, φόβον δὲ τοῖς Ἀχαιοῖς ἐμπνέων[3]). Οὗτοι δὲ μὴ δυνάμενοι σῶσαι τὸ σῶμα τοῦ Πατρόκλου πέμπουσιν εἰς τὸν Ἀχιλλέα τὸν Ἀντίλοχον[4]). Καὶ ἐνταῦθα τελευταῖον ὁ Ὅμηρος ταπεινοῖ τοὺς Ἀχαιοὺς πρὸ τοῦ Ἀχιλλέως. Ἡ δ' ἀποστολὴ τοῦ Ἀντιλόχου ἐπιτηδειοτέρα πάσης πρεσβεύσεώς ἐστιν. Διὰ τῆς ταπεινώσεως δὲ ταύτης πᾶν ἴχνος τῆς μήνιδος ἐξαλείφεται καὶ ὁ Μενέλαος δικαίως τὴν ἔλευσιν τοῦ Ἀχιλλέως προσδοκᾷ[5]).

Ὁ πεμφθεὶς Ἀντίλοχος ἐν τῇ 18ῃ ῥαψῳδίᾳ ἔρχεται εἰς τὸν Ἀχιλλέα[6]), ὅστις τὸν φόνον τοῦ ἑταίρου μαθὼν διὰ τῆς νέας μήνιδος τὴν παλαιὰν πνίγει·

Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ[7]).

Ἀποβάλλων δὲ τὴν μῆνιν ὁ ἥρως εὑρίσκει ἐσθλὸν κλέος ἐν τῇ τιμωρίᾳ τῶν Τρώων, οἵτινες μόνον διὰ τὴν ἀπουσίαν αὐτοῦ ἐνίκων[8]). Ἀλλ', ἐν ᾧ ὁ ἥρως βουλεύεται, ἵνα τοῖς Ἀχαιοῖς βοηθήσῃ, οὗτοι εἰς τὰς ναῦς φεύγοντες οὐ δύνανται σῶσαι τὸ σῶμα τοῦ Πατρόκλου. Μόνον οἱ δύο Αἴαντες μάχονται, ἀλλὰ καὶ οὗτοι ἔμελλον τῆς μάχης ἀποστῆ-

1) Αὐτόθι 821. 2) Αὐτόθι 845. 3) Αὐτόθι 596, 627 καὶ 630. 4) Αὐτόθι 685. 5) Αὐτόθι 710. 6) Ἰλιάδ. Σ 2. 7) Αὐτόθι 112. 8) Αὐτόθι 125.

ναι, εἰ μὴ ἡ Ἶρις τῷ Ἀχιλλεῖ τὸν κίνδυνον ἀνήγγελλεν[1]). Ὁ Ὅμηρος, ὅστις τὴν ἀπουσίαν τοῦ ἥρωος ἐγίνωσκε πικρὰν ἀναδεῖξαι, οὐκ ἠγνόει, ὅπως τὴν παρουσίαν αὐτοῦ ἔξοχον εἰκονίσῃ. Μόλις ὁ Ἀχιλλεὺς παρὰ τῆς Ἴριδος ἤκουσεν, ὅτι τὸ σῶμα τοῦ ἑταίρου κινδυνεύει, καὶ εὐθὺς μετὰ μεγαλοπρεπείας ἐγερθεὶς καὶ τρὶς φωνήσας τοὺς Τρῶας εἰς φυγὴν τρέπει[2]). Τούτων δὲ φυγόντων οἱ Ἀχαιοὶ γίνονται κύριοι τοῦ Πατροκλείου σώματος. Ἕκαστος προσδοκᾷ, ἵνα οἱ Τρῶες, ὡς πρὸ τῆς μήνιδος τοῦ Ἀχιλλέως, ἐν τοῖς τείχεσι κλεισθῶσιν. Τοῦτο τῇ ἀληθείᾳ ἦν σκόπιμον καὶ ὁ ποιητὴς εἰς τὸ στόμα τοῦ Πολυδάμαντος ἐνέβαλεν. Ἀλλ' ὁ Ἕκτωρ πολλάκις τοὺς Ἀχαιοὺς νικήσας, πῦρ εἰς τὰς ναῦς αὐτῶν βαλὼν καὶ τὸν ἑταῖρον τοῦ Ἀχιλλέως κτείνας πῶς ἠδύνατο ἐν μιᾷ στιγμῇ τὸν κόμπον συστεῖλαι; Ὁ νήπιος νομίζων, ὅτι ὁ Κρονίδης αὐτὸν τιμῶν τὰς τῶν Ἀχαιῶν ἥττας ἐπέτρεπε, ψέγει τὴν σοφὴν τοῦ Πολυδάμαντος συμβουλὴν καὶ ἐλπίζει, ὅτι αὐτὸν τὸν Ἀχιλλέα φονεύσει! Οἱ δὲ Τρῶες ἐπαινοῦσι τὸν λόγον αὐτοῦ. Οὕτως ὁ ποιητὴς καρποῦται τῆς ἀλαζονείας τοῦ Ἕκτορος, ὅπως εἰς τὴν λύσιν τοῦ μύθου φθάσῃ. Ἀλλ' ἐπελθούσης τῆς νυκτὸς οἱ μὲν Ἀχαιοὶ στενάζουσι περὶ τὸν Πάτροκλον[3]), ἡ δὲ Θέτις πορεύεται εἰς τὸν Ἥφαιστον, ὅπως παρ' αὐτοῦ πανοπλίαν τῷ Ἀχιλλεῖ αἰτήσῃ[4]).

Οὕτως εἰσήλθομεν εἰς τὴν 19ην ῥαψῳδίαν, ἐν ᾗ ἡ Θέτις κατὰ τὴν ἐν τῇ ἡγουμένῃ[5]) ὑπόσχεσιν αὐτῆς ἐπανέρχεται τῷ Ἀχιλλεῖ ἡφαιστότευκτον πανοπλίαν κομίζουσα[6]). Οὕτως ὁ ἥρως ἐστὶν ἕτοιμος εἰς μάχην, ἀλλὰ πρὸ ταύτης γίνεται ἀγορά, ἐν ᾗ οὗτος λυπεῖται διὰ τὴν ἔριδα πολλῶν συμφορῶν αἰτίαν γενομένην καὶ λήθην τῶν προγεγενημένων παραινεῖ[7]). Ταῦτα δ' εἰπόντος τοῦ Ἀχιλλέως, ὁ Ἀγαμέμνων ὁμολογεῖ μέν, ὅτι ἥμαρτεν, ἀλλ' αἰτιᾶται τοὺς θεούς[9]) καὶ δίδωσι τὰ δῶρα, ἅπερ ὁ Ὀδυσσεὺς ἐν τῇ ἐν-

---

1) Αὐτόθι 165. 2) Αὐτόθι 203—229. 3) Αὐτόθι 315. 4) Αὐτόθι 615. 5) Ἰλιάδ. Σ 136. 6) Ἰλιάδ. Τ 12. 7) Αὐτόθι 67. 8) Αὐτόθι 86. 9) Αὐτόθι 141.

νάτῃ ῥαψῳδίᾳ ὑπέσχετο[1]). Οὕτω πάντα τὰ πρόσωπα ταύτης τῆς ῥαψῳδίας γινώσκουσι τὰ ἐν ταῖς ἡγουμέναις γενόμενα. Ὁ Jacob[2]) ὅμως ἐνόμισεν, ὅτι ὁ Ἀγαμέμνων ταύτης τῆς ῥαψῳδίας ἀγνοεῖ, ὅτι τρεῖς ἥρωες πρὸς τὸν Ἀχιλλέα ἐπρέσβευσαν. Διότι οὗτος μόνον τὸν Ὀδυσσέα ὀνομάζει· χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς[3]). Ἀλλ' ἐπρέσβευσαν μὲν τρεῖς ἥρωες, ὅμως ὁ Ὀδυσσεὺς τὰ δῶρα ὑπέσχετο[4]). Πρὸς δὲ οἱ πλεῖστοι τῶν κριτικῶν (δηλαδὴ οἱ τὸ προοίμιον τοῦ ἔπους μὴ περιεκτικὸν θεωροῦντες) νομίζουσιν, ὅτι μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος ἡ Ἰλιὰς λήγει ἢ ὤφειλε λῆξαι. Ἀλλ', εἰ τὸ ἔπος ἐνταῦθα ἔληγεν, ἠγείροντο ἀπορίαι τινές, ὧν τὴν λύσιν ὁ ὁμηρικὸς ἀκροατὴς ὤφειλεν ἀπαιτεῖν. Τίς ἦν οὗτος ὁ ἥρως, πρὸ οὗ οἱ Ἀχαιοὶ ἐταπεινώθησαν; Ἆρά γε οὗτος ἠδύνατο σῶσαι αὐτούς; Ἆρά γε ἠδύνατο τιμωρῆσαι τὸν φόνον τοῦ Πατρόκλου, ὡς ἕκαστος ἥρως τὸν ἴδιον ἡνίοχον; Ἆρά γε ὁ Ἕκτωρ διέμεινεν ἀτιμώρητος; Ἆρά γε ὁ Πάτροκλος ἄταφος; Ἆρά γε οἱ θεοί, οἵτινες ἐν τῷ πρώτῳ ἡμίσει τῆς Ἰλιάδος κατ' ἀλλήλων μαίνονται, νῦν τοῦ Ἀχιλλέως τὴν ὀργὴν καταλιπόντος καὶ τοῦ Διὸς μηκέτι κωλύοντος οὐκ ἔσπευσαν, ὅπως τῆς μάχης μετασχόντες τὰ ἴδια πάθη κορέσωσιν; Πῶς ὁ Ὅμηρος, ὅστις οὐδεμίαν ἀπορίαν τοῦ ἀκροατοῦ ἀνέχεται, ὅστις οὐδὲν τῇ φαντασίᾳ αὐτοῦ ἐμπιστεύει, ὁ Ὅμηρος, λέγομεν, ἠδύνατο τοσαύτας ἀπορίας καταλιπεῖν; Ὁ θεσπέσιος ποιητὴς οἶδεν, ὅ, τι δεῖ ποιεῖν, διὰ τοῦ στόματος τοῦ Ἀχιλλέως λέγων· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον[5]).

Εἰς τὴν 20ὴν ῥαψῳδίαν εἰσερχόμενοι εὑρίσκομεν, ὅ, τι περιεμένομεν. Ἀφ' οὗ ἐν τῇ ἡγουμένῃ ὁ Ἀχιλλεὺς τὴν μῆνιν ἀπεῖπεν, ἐν ταύτῃ ὁ Ζεὺς τὸ πεδίον τῆς μάχης ἐλεύθερον τοῖς θεοῖς καταλείπει. Ἀγορὰν δὲ τῶν θεῶν καλέσας λέγει, ὅτι αὐτὸς μὲν τέρψεται ἐπὶ τοῦ Ὀλύμπου, οἱ δὲ δὴ ἄλλοι ἔρχεσθ' ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας

---

1) Αὐτόθι 141. 2) Ueber die Entstehung der Ilias u. der Odyssee σελ. 325. 3) Ἰλιάδ. Τ 141. 4) Ἰλιάδ. Ι 223. 5) Αὐτόθι 150.

καὶ Ἀχαιούς, ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος ἐστὶν ἑκάστου[1]). Ἐνταῦθα ὄντως μεγαλοπρεπέστατον θέαμα εἰκονίζεται καὶ τῆς δόξης τοῦ ποιητοῦ ἄξιον. Ἥρωες μετὰ πολλοῦ τοῦ πάθους μάχονται καὶ δύο ἐπικουρικοὶ στρατοὶ θεῶν τοὺς συμμάχους σώζουσι καὶ σφοδρὰς κατ' ἀλλήλων μάχας ἐγείρουσιν. Ἀλλ' οἱ Τρῶες πανταχοῦ φεύγουσιν ὑπὸ τοῦ Ἀχιλλέως διωκόμενοι.

Οὕτως ἐφθάσαμεν μέχρι τῆς 21ης ῥαψῳδίας, ἥτις ἐστὶν ἐξακολούθησις τῆς προηγουμένης, μεθ' ἧς στενῶς συνδέεται. Τὰ ὑποκείμενα τῶν πρώτων προτάσεων ὡς ἐκ τῆς ἡγουμένης νοούμενα[2]) λείπουσιν. Οἱ Τρῶες οὐ παύονται φεύγοντες μέχρι τοῦ ποταμοῦ Ξάνθου, ὅστις κατὰ τοῦ Ἀχιλλέως ὀργίζεται. Καὶ δὴ πρῶτον αἰτεῖ παρ' αὐτοῦ, ἵνα πέραν τῆς δίνης τοὺς Τρῶας φονεύῃ[3]). Ἐπειδὴ ὅμως ὁ ἥρως οὐ πείθεται, ὁ ποταμὸς πλημμυρεῖ καὶ ὁ Ἀχιλλεὺς κινδυνεύει[4]). Ἀλλὰ βοηθοῦσιν αὐτῷ ὁ Ποσειδῶν, ἡ Ἀθηνᾶ καὶ ὁ Ἥφαιστος[5]), ὅστις τὴν τοῦ ποταμοῦ κοίτην ξηραίνει[6]). Ἐνταῦθα ὁ Jacob[7]) παρατηρεῖ, ὅτι οἱ θεοὶ οὐχί, ὡς ἄλλοτε, ἀνθρωποφυεῖς εἰκονίζονται, ἀλλ' ὡς στοιχεῖα κατ' ἀλλήλων μάχονται. Ἀλλ', ἐπειδὴ ὁ Ὅμηρος μόνον ἐνταῦθα μάχην ποταμίου θεοῦ πρὸς τὸν Ἥφαιστον εἰκονίζει, ἡ εἰκὼν φαίνεταί πως ἀσυνήθης. Ἀλλ', εἰ οὗτος καὶ ἀλλαχοῦ ἀφορμὴν πρὸς τοιαύτην εἰκόνα εἶχεν, οὐκ ἠδύνατο ἄλλως τὸ πρᾶγμα εἰκονίσαι. Διότι τὰ στοιχεῖα ἢ τὰ βασίλεια τῶν θεῶν πολλαχοῦ μετ' αὐτῶν τῶν θεῶν συγχέονται. Παραδείγματος χάριν ὁ Οὐρανὸς ὁτὲ μὲν ὡς πρόσωπον εἰκονίζεται, ὁτὲ δὲ ἀστερόεις, εὐρύς, χάλκεος ὀνομάζεται. Χαίρομεν δ', ὅτι καὶ αὐτὸς ὁ Jacob τὴν εἰκόνα οὐχὶ ἀλλοτρίαν τῆς ὁμηρικῆς Μούσης ἐθεώρησεν. Διότι ὁ ἀνὴρ ὁμολογεῖ, ὅτι περὶ τοῦ εἴδους καὶ τῆς ἐλευθερίας τοῦ ἀρχαίου ἡρωικοῦ ᾄσματος πάνυ ὀλίγα γινώσκομεν[8]). Σπουδαῖος δὲ

1) Ἰλιάδ. Υ 23. 2) Ἰλιάδ. Φ ἐν ἀρχῇ. 3) Αὐτόθι 217. 4) Αὐτόθι 235 καὶ 272. 5) Αὐτόθι 285. 6) Αὐτόθι 349. 7) Ueber die Entstehung der Ilias und der Odyssee σελ. 339. 8) Αὐτόθι „Dürfen wir aber deshalb behaupten, diese Schilderungen können nicht aus der ursprünglichen Dichtung Homer's stammen? Dazu wissen wir viel zu wenig von der

τῆς Ἰλιάδος ἀναγνώστης ἐκ τῶν πρώτων ἤδη ῥαψῳδιῶν ἠδύνατο προϊδεῖν τὴν θεομαχίαν. Διότι θεοί, οἵτινες, καίπερ ὑπὸ τοῦ Διὸς κωλυόμενοι, ὅμως εἰς τὸ πεδίον τῆς μάχης κατήρχοντο ἢ ἐκ τοῦ Ὀλύμπου ἄγρια πάθη ἐξέφραζον, ἔμελλον καὶ εἰς σφοδρὰν κατ᾽ ἀλλήλων μάχην κατελθεῖν. Ὁ δὲ θεσπέσιος ποιητὴς ἄριστα ἐποίησεν, ὅτι τὴν θεομαχίαν, ἥτις τῷ ὁμηρικῷ αἰῶνι μεγαλοπρεπές τι θέαμα ἐθεωρεῖτο, ἐνταῦθα ἔθηκεν. Διότι ἐκεῖ, ἔνθα ὁ ἥρως τοῦ ἔπους τὸν ἀγῶνα ἀνεδέξατο, τὰ τῶν θεῶν πάθη ἐκρηγνύμενα το μέρος τοῦτο τῆς Ἰλιάδος μεγαλοπρεπέστατον ἀποδεικνύουσιν. Πρὸς δὲ ἡ θεομαχία ἐνταῦθα προπαρασκευάζει φυσικὴν λύσιν τῆς πλοκῆς τοῦ ὅλου μύθου. Διότι ὁ ποιητὴς ταύτην προτάξας δείκνυσιν, ὅτι οὐ μόνον οἱ Τρῶες, ἀλλὰ καὶ οἱ τούτων προστάται ἡττήθησεν.

Ἐν δὲ τῇ 22ῃ ῥαψῳδίᾳ διαπράττονται, ὅσα ἐν τῷ ὅλῳ ἔπει προπαρασκευάζονται. Ἐν τῇ ἀρχῇ τοῦ παρόντος κεφαλαίου εἴπομεν, ὅτι ὁ Ἕκτωρ ἐστὶ τὸ τῆς ἀνδρίας μέτρον, πρὸς ὃ αἱ τῶν Ἀχαιῶν δυνάμεις ἀφ᾽ ἑνός, καὶ ἡ τοῦ Ἀχιλλέως ἀφ᾽ ἑτέρου παραβάλλονται. Ὁ δὲ ποιητὴς ὑψῶν τὸν Ἕκτορα ὕψου τὸ θῦμα τοῦ Ἀχιλλέως, ὕψου τὸν ἥρωα τοῦ ἔπους. Ἀφ᾽ οὗ δ᾽ ὁ μὲν Ἀχιλλεὺς τὴν μῆνιν ἀπεῖπεν, ὁ δ᾽ Ἕκτωρ διὰ τοῦ φόνου τοῦ Πατρόκλου ἄξιος τιμωρίας ἐγένετο, ὁ ποιητὴς δείκνυσιν, ὡς ὤφειλεν, ὅτι ὁ λίαν τιμηθεὶς Ἀχιλλεὺς ἠδύνατο τούς τε φίλους σῶσαι καὶ τοὺς ἐχθροὺς κολάσαι. Ἄν τις ταῦτα ὑπ᾽ ὄψιν λάβῃ, ὁμολογήσει, ὅτι ὅλον τὸ μέχρι τοῦδε μέρος τῆς Ἰλιάδος ἦν σῶμα, οὗ ἡ κεφαλὴ λείπει[1]). Ἐνταῦθα τιμωρεῖται ὁ πολλὰς τοῖς Ἀχαιοῖς συμφορὰς ἐπενεγκών, ἐνταῦθα ἀναδείκνυται ἡ καθ᾽ ὅλον τὸ ἔπος φημιζομένη ἀνδρία τοῦ Ἀχιλλέως, ἐνταῦθα ἐκτελεῖται ἡ τοῦ Πατρόκλου προφητεία. Ὄντως θαυμαστός ἐστιν ὁ τρόπος, καθ᾽ ὃν ὁ θεσπέσιος ποιητὴς πόῤῥωθεν

Art und namentlich von den Freiheiten des alten Heldengesanges."

1) Εὐφυῶς δ᾽ ὁ Σωκράτης λέγει „Ἀλλ᾽ οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέμις εἶναι καταλείπειν, ἀλλ᾽ ἐπιθέντας κεφαλήν, ἵνα μὴ ἄνευ κεφαλῆς περιίῃ." Πλατ. Γοργ. 505.

τὸν Ἕκτορα παρεσκεύασεν, ὅπως πρὸς τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως ἀντιστῇ. Αἱ νῖκαι αὐτοῦ ἦσαν, ὡς εἴδομεν, τῇ ἄλλῃ τοῦ ἔπους οἰκονομίᾳ ἀναγκαῖαι, συνεβάλοντο ὅμως καὶ πρὸς τοῦτο, ὅπως ὁ ἥρως θρασύτερος γενόμενος ἔξω τῶν τειχῶν τῆς πόλεως μείνῃ. Ἱκετεύει μὲν αὐτὸν ὁ πατήρ[1]), ἱκετεύει δὲ ἡ μήτηρ[2]), ὅπως εἰς τὴν πόλιν εἰσελθὼν τὸν κίνδυνον διαφύγῃ, ἀλλ' ὁ ἥρως τῶν λόγων τοῦ Πολυδάμαντος[3]) μνησθεὶς ἀρνεῖται. Ἥττων δὲ πρὸς κρείσσονα μαχεσάμενος, ὡς εἰκός, πίπτει[4]).

Καὶ ἐνταῦθα αὖθις οἱ κριτικοὶ λέγουσιν, ὅτι τὴν Ἰλιάδα ἔδει λῆξαι. Διότι ὁ μὲν Ἀχιλλεὺς ἐπαύσατο ὀργιζόμενος, ὁ δ' Ἕκτωρ διὰ τὸν φόνον τοῦ Πατρόκλου ἐτιμωρήθη. Ἀλλ', εἰ ἐν τῷ 19ῳ αἰῶνι ἡ Ἰλιὰς ἐποιεῖτο, ἴσως ἐνταῦθα ἔληγεν. Τὸ ἔπος ὅμως ἐποιήθη ἐν τοῖς καλουμένοις ὁμηρικοῖς χρόνοις, ἐφ' ὧν ἡ τοῦ νεκροῦ ταφὴ μέγα τι ἐλογίζετο. Οἱ ὁμηρικοὶ ἥρωες οὐ φοβοῦνται τοσοῦτον τὸν θάνατον, ὅσον τὴν ἀπαίσιον ἰδέαν, ὅτι τὰ σώματα αὐτῶν ἠδύναντο γενέσθαι ἑλώρια τῶν κυνῶν καὶ τῶν οἰωνῶν. Ὁ δὲ ποιητὴς τῆς Ἰλιάδος οὐδεμίαν ἄλλην μείζονα συμφορὰν εὗρεν, ὅπως τοῦ ἔπους προτάξῃ, ἢ ὅτι πολλοὶ Ἀχαιοὶ ἄταφοι ἔμειναν. Οἱ τὴν ὁμηρικὴν ψυχολογίαν μελετήσαντες γινώσκουσιν, ὅτι τὸ σπουδαιότερον τοῦ ὁμηρικοῦ ἀνθρώπου μέρος ἐστὶ τὸ σῶμα, οὗ μὴ τυχόντος ταφῆς ἡ ψυχὴ ἀπόλλυται. Διὰ τοῦτο ὁ ποιητὴς φροντίζει, ἵνα περὶ τοῦ σώματος ἑκάστου πεσόντος ἥρωος λέγῃ τι. Εἰ λοιπὸν οἱ ὁμηρικοὶ ἄνθρωποι τοιαύτας περὶ ταφῆς ἰδέας εἶχον, πῶς ἠδύνατο ὁ ποιητὴς τῆς Ἰλιάδος σιωπῆσαι περὶ τοῦ σώματος τοῦ Πατρόκλου; Τοῦ Πατρόκλου, λέγομεν, ὃν ὁ Ἀχιλλεὺς ἴσον τῇ αὐτοῦ κεφαλῇ ἠγάπα. Ἴσως τραγικὸς ποιητὴς ἠδύνατο ἐνταῦθα παύσασθαι, οὐχὶ δὲ καὶ ἐπικός. Διότι τὸ ἔπος ἐξάπτει μὲν πάθος τι, ὅμως καὶ κατασβέννυσι τοῦτο.

Ἀλλ', ἐν ᾧ τὴν ταφὴν τοῦ Πατρόκλου οὕτω σφόδρα τὸ πνεῦμα τῆς ὁμηρικῆς ποιήσεως ἀπῄτει, ὑπῆρχον καὶ

1) Ἰλιάδ. Ψ 38. 2) Αὐτόθι 82. 3) Αὐτόθι 100 ἐν παραβολῇ πρὸς Ξ 255. 4) Ἰλιάδ. Ψ 386.

ἄλλαι αἰτίαι τὸν ποιητὴν ἀναγκάσασαι, ὅπως τὸ ἔπος καὶ πέραν τοῦ φόνου τοῦ Ἕκτορος ἐκτείνῃ. Ὁ Ἀχιλλεὺς πρὸς τὸν Ἀγαμέμνονα ἐρίσας πολλῶν καὶ μεγάλων συμφορῶν αἰτία τοῖς Ἀχαιοῖς ἐγένετο, καὶ τὴν μῆνιν ἀπειπὼν τὸν φονέα τοῦ Πατρόκλου ἐτιμώρησεν. Οἱ ὁμηρικοὶ ὅμως ἄνθρωποι τιμῶσι μὲν τὸν ἀνδρεῖον, ἀλλὰ καὶ τὸν φιλόφρονα καὶ ἤπιον ἀγαπῶσιν. Αἱ δύο αὗται ἀρεταὶ συνδεδεμέναι ἀποδεικνύουσι τὸν ἥρωα ἄξιον τῆς τιμῆς τοῦ ὁμηρικοῦ κόσμου. Ἡ δ' ἀνδρία μόνη ἦν ἀπαίσιόν τι καὶ ἀποτρόπαιον. Παραδείγματος χάριν ὁ Κύκλωψ Πολύφημος ἦν ἀνδρειότερος τοῦ Ἀχιλλέως, ἀλλ' οὐκ ἠδύνατο γενέσθαι ἥρως ἔπους, ὡς οὐδὲ ὁ Ἔχετος. Εἰ δ' αἱ δύο τελευταῖαι ῥαψῳδίαι ἔλειπον, ὁ Ἀχιλλεὺς ἔμενεν ὡς τραχύς τις καὶ σκληροκάρδιος ἥρως, ὅπερ ὁ ποιητὴς οὐδόλως ἐσκόπει.

Ἐπειδὴ λοιπὸν οὔτε ὁ ποιητὴς ἐσκόπει, ἵνα τὸν ἥρωα τοῦ ἔπους τραχὺν εἰκονίσῃ, οὔτε οἱ ὁμηρικοὶ ἄνθρωποι τοιοῦτον χαρακτῆρα ἐτίμων, ἡ τῆς μήνιδος ἀπόρρησις καὶ ὁ τοῦ Ἕκτορος φόνος οὐκ ἦσαν ἱκανά, ὅπως τὸν ἀληθῆ τοῦ ἥρωος χαρακτῆρα δείξωσιν. Ἡ τοῦ μύθου ὅμως πλοκὴ οὐκ ἐπέτρεπε τῷ Ὁμήρῳ, ἵνα δι' ἄλλου τρόπου τὸν χαρακτῆρα αὐτοῦ εἰκονίσῃ, ἢ διὰ τῆς ταφῆς τοῦ ἑταίρου καὶ τῆς λύσεως τοῦ σώματος τοῦ ἐχθροῦ. Καὶ δὴ ἐν μὲν τῇ 23ῃ ῥαψῳδίᾳ ὁ Ἀχιλλεὺς διὰ μεγαλοπρεπῶν ἀγώνων τὰς τελευταίας τῷ ἑταίρῳ τιμὰς ἀποδίδωσι καὶ πρὸς τοὺς Ἀχαιοὺς φιλόφρων δειχθεὶς τὴν ἀγάπην πάντων πρὸς ἑαυτὸν ἐπισπᾷ. Ἐν δὲ τῇ τελευταίᾳ ῥαψῳδίᾳ ἤπιος πρὸς τὸν Πρίαμον δειχθεὶς[1]) καὶ συγγνώμην παρὰ τοῦ Πατρόκλου αἰτησάμενος[2]) τὸ σῶμα τοῦ Ἕκτορος λύει.

Οὕτω λοιπὸν ἡ μῆνις καὶ τὰ ταύτῃ ἀναγκαίως ἑπόμενα λήγουσιν ἐκεῖ, ἔνθα ἔδει. Μάλιστα δ' ἁμαρτάνουσιν οἱ λέγοντες, ὅτι ὁ ποιητὴς μόνον τὴν μῆνιν ὑπεσχέθη ᾆσαι, οὐχὶ δὲ καὶ ταφὰς καὶ λύσεις σωμάτων. Διότι ἑκάστη πρᾶξις οὐ λήγει ἐκεῖ, ἔνθα τὸ σπουδαιότερον αὐτῆς μερος διαπράττεται. Τοῦτο οὐ δύναται νοηθῆναι ἄνευ ἡγουμέ-

1) Ἰλιάδ. Ω 518. 2) Αὐτόθι 592.

νων, ὡς ἡ κεφαλὴ οὐ δύναται ἔχειν ὑπόστασιν ἄνευ τῶν ἧττον σπουδαίων τοῦ σώματος μελῶν. Πάνυ δ' εὐφυῶς ὁ Otfr. Müller[1]) λέγει, ὅτι ἀποκοπὴ μέρους τινὸς τῆς Ἰλιάδος σημαίνει διαμελισμὸν ὀργανικοῦ τινος ὄντος, οὗ τὰ μέλη ἀναγκαῖα τῇ ζωῇ εἰσιν. Ὡς δ' ἡ ζωὴ οὐκ ἐνοικεῖ ἐν ἑκάστῳ μέλει, ἀλλ' ἐν τῇ ἑνότητι τῶν μελῶν, οὕτω καὶ ἡ ἐσωτερικὴ τῆς Ἰλιάδος ἑνότης ἐπὶ τῆς συναρμογῆς τῶν μερῶν ἐρείδεται. Ἀλλ' ἐν ὅλῳ τούτῳ τῷ κεφαλαίῳ ἐκ προθέσεως τὰς κατὰ τῆς ἑνότητος ἀποδείξεις τοῦ Lachmann ἀπεφύγομεν, ὅπως ταύτας ἐν ἰδιαιτέρῳ κεφαλαίῳ πραγματευθῶμεν. Οὕτω δ' ὁ ἀναγνώστης ἔχει ἐν συνόλῳ τὰς ἀποδείξεις τοῦ μεγάλου τουτου κριτικοῦ. Τὸ ἑπόμενον λοιπὸν κεφάλαιον συμπληροῖ τὸ ἡγουμενον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς ὑπὸ τοῦ Λαχμάννου τομῆς τῆς Ἰλιάδος.

Οἱ ἁψάμενοι τῆς γερμανικῆς φιλολογίας γινώσκουσιν, ὅτι δύο μακρὰ ἡρωικὰ ἔπη, τὸ Nibelungen (ἀρχαιοπρεπέστερον Nibelunge) ἢ Nibelungenlied καὶ τὸ Gudrum, ὁμοιάζουσί πως πρὸς τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. Ἰδίως δὲ τὸ Nibelungenlied οἱ Γερμανοὶ ἡδέως πρὸς τὴν ἡμετέραν Ἰλιάδα παραβάλλουσιν, εἰ καὶ αὕτη τοσοῦτον ἐκείνου διαφέρει, ὅσον ἡ ἀρχαία ἑλληνικὴ φιλολογία τῆς γερμανικῆς. Ἐπειδὴ δὲ τὸ προϊὸν τοῦτο τοῦ μέσου αἰῶνος (1190—1210 Μ·Χ) οὐδενὶ ποιητῇ ἀπεδίδετο, ῥᾳδίως ἠδύνατο ἐπελθεῖν εἰς τὸν νοῦν τῶν κριτικῶν, ὅτι συλλογὴ δημοτικῶν ᾀσμάτων ἐστίν. Ἀλλ' ὅμως οἱ Γερμανοὶ μακρὸν χρόνον τοιαύτης ὑποθέσεως ἀπέσχον. Ἐν τοῖς τελευταίοις δὲ χρόνοις

---

1) Geschichte der griech. Literatur I, 85.

πολλοὶ τῶν φιλολόγων τῆς Γερμανίας μὴ ἀνεχόμενοι τὴν μομφήν, ὅτι τὰ μὲν ἀλλότρια μετὰ πολλῆς τῆς σπουδῆς ἐξετάζουσι, τῶν δ' οἰκείων ὀλιγωροῦσιν, εἰς τὴν σπουδὴν τῆς αὐτῶν ἀρχαιότητος ἐτράπησαν. Καὶ ἐν ταύτῃ τῇ ἀληθείᾳ πολλὰ καὶ μεγάλα διεπράξαντο. Καὶ ἄλλοι μὲν περὶ ἄλλα ἠσχολήθησαν, ὁ δὲ K. Lachmann περι τὸ Nibelungenlied. Καὶ δὴ τὴν ἑνότητα τοῦ ἔπους μελετήσας ἀνέλυσεν αὐτὸ εἰς μικρὰ ᾄσματα. Οἱ πλεῖστοι ὅμως τῶν κριτικῶν τὴν τοιαύτην διαίρεσιν ἀπεδοκίμασαν. Μετὰ τὴν διαίρεσιν δὲ τοῦ ἐθνικοῦ ἔπους ὁ κριτικὸς καὶ εἰς τὴν ἡμετέραν Ἰλιάδα προβὰς ἐν δυσὶ πραγματείαις[1]) ἐν τῇ Ἀκαδημίᾳ τοῦ Βερολίνου ἀναγνωσθείσαις πειρᾶται, ὅπως τὰς εἴκοσι καὶ δύο ῥαψῳδίας (Α—Χ) ταύτης εἰς δεκαὲξ ᾄσματα διαιρέσῃ. Ἐπειδὴ δ' αἱ αἰτίαι, δι' ἃς ὁ μέγας οὗτος κριτικὸς τὴν Ἰλιάδα ἔταμεν, οὐ μόνον ἀσθενεῖς, ἀλλὰ καὶ μάλιστα ἡμαρτημέναι ἡμῖν ἐφάνησαν, τολμῶμεν, ἵνα ταύτας ἀναιρέσωμεν. Ἐὰν δ' ὁ κορυφαῖος τῆς σχολῆς ταύτης ἁμαρτάνων ἐλεγχθῇ, ὁ ἡμέτερος ἀναγνώστης δύναται κρίνειν καὶ περὶ τῆς ἀξίας τῶν ὀπαδῶν αὐτοῦ. Ἐπειδὴ ὅμως τὸ ἔργον ἐστὶ μέγα, ἐξετάζομεν οὐχὶ πάντα, ἀλλὰ τὸ πλεῖστον μέρος τῶν ᾀσμάτων αὐτοῦ καὶ τοῦτο νομίζομεν ἱκανόν. Ἀρχόμεθα δ' ἐκ τῆς πρώτης ῥαψῳδίας.

Ὁ Lachmann μέχρι τοῦ στίχου 347 οὐδόλως προσκρούει. Ἐν τοῖς ἐφεξῆς ὅμως ἀντιφάσεις εὑρίσκων διαιρεῖ τοὺς λοιποὺς τῆς ῥαψῳδίας στίχους εἰς δύο τμήματα, ὧν τὸ πρῶτον θεωρεῖ παρεμβεβλημένον εἰς τὸ δεύτερον. Καὶ τὸ μὲν πρῶτον περιέχει τοὺς στίχους 430—492, δηλαδὴ τὴν διὰ τοῦ Ὀδυσσέως ἀπόδοσιν τῆς Χρυσηΐδος, τὸ δὲ δεύτερον, εἰς ὃ παρενετέθη τὸ πρῶτον, συνίσταται ἐκ τῶν στίχων 348—429 (οἱ ἐν τῷ μεταξὺ στίχοι ἀνήκουσι τῷ πρώτῳ τμήματι) καὶ 493—611. Τὰ δύο λοιπὸν ταῦτα τμήματα ὁ κριτικὸς θεωρεῖ ὡς προσθήκας εἰς τὸ πρῶτον

---

1) Ἀμφότεραι αἱ πραγματεῖαι μετά τινων προσθηκῶν ἐξεδόθησαν δὶς ὑπὸ Moritz Haupt, Betrachtungen über Homer's Ilias von Karl Lachmann 1847 καὶ 1865, Berlin.

ᾆσμα, ὅπερ, ὡς εἴρηται, εἰς τὸν στίχον 347 λήγει. Κατ' αὐτόν, ἐὰν τὸ πρῶτον τμῆμα μετὰ τοῦ ᾄσματος συνδεθῇ, οὐδεμία ἀντίφασις ὑπάρχει. Ἡ δὲ σύνδεσις εὔκολός ἐστιν. Διότι τὸ ᾆσμα λήγει εἰς τὴν φράσιν αὐτὰρ Ἀχιλλεύς, ἣν ἀντικαθίστησι διὰ τῆς φράσεως αὐτὰρ Ὀδυσσεὺς τοῦ στίχου 430 τοῦ πρώτου τμήματος. Ἐὰν ὅμως τὸ πρῶτον τμῆμα παρεντεθῇ εἰς τὸ δεύτερον, ὡς νῦν ὑπάρχει, γεννᾶται ἡ ἑξῆς ἀντίφασις. Ἡ Θέτις τὴν πρὸς τὸν Ἀχιλλέα ὕβριν ἀκούσασα ὑπισχνεῖται αὐτῷ, ἵνα εἰς τὸν Ὄλυμπον ἀναβᾶσα τὸν Δία ὑπὲρ τῆς τιμῆς αὐτοῦ ἱκετεύσῃ. Λέγει δ', ὅτι ὁ θεὸς τὴν δωδεκάτην ἡμέραν ἐκ τῶν Αἰθιόπων εἰς τὸν Ὄλυμπον ἐπανακάμψει. Ἐὰν λοιπὸν τὸ πρῶτον τμῆμα εἰς τὸ δεύτερον παρεντεθῇ, δηλαδὴ ἡ διήγησις τῆς διὰ τοῦ Ὀδυσσέως ἀποδόσεως τῆς Χρυσηίδος, παρεμπίπτουσι πολλαὶ ἡμέραι. Διότι ὁ Ζεὺς μόλις τὴν δεκάτην τετάρτην ἢ δεκάτην πέμπτην ἡμέραν εἰς τὸν Ὄλυμπον ἐπανέρχεται. Ἡ ἀντίφασις ὅμως αὕτη γεννᾶται ἐκ τῆς ἡμαρτημένης ἑρμηνείας τοῦ ἐκ τοῖο[1]). Διότι ὁ κριτικὸς[2]) νομίζει, ὅτι τοῦτο ἀναφέρεται εἰς τὸν χρόνον, καθ' ὃν ὁ Ὀδυσσεὺς ἐκ τῶν Θηβῶν ἐπανῆλθεν, ἐν ᾧ ἀναφέρεται εἰς τὸν χρόνον τῆς ἀπὸ τοῦ Ὀλύμπου ἀναχωρήσεως τῶν θεῶν. Κατὰ τὸν χρόνον, καθ' ὃν οἱ θεοὶ παρὰ τοῖς Αἰθίοψι διέτριβον, ὁ μὲν Ὀδυσσεὺς ἀπῆλθεν εἰς τὰς Θήβας, ὁ δ' Ἀχιλλεὺς ἐμήνυεν· ὅτε δὲ πορῆλθον ἐκ τοῖο, δηλαδὴ ἐκ τούτου τοῦ χρόνου, καθ' ὃν οἱ θεοὶ ἀπῆλθον τοῦ Ὀλύμπου, δώδεκα ἡμέραι, τότε δὴ οἱ θεοὶ ἔφθασαν εἰς τὸν Ὄλυμπον. Νομίζομεν, ὅτι ὁ ποιητὴς σαφέστερον οὐκ ἠδύνατο τὸ πρᾶγμα δηλῶσαι. Οὕτω λοιπὸν ἀναιρεῖται ἡ ἀντίφασις, ἣν ὁ Lachmann μεταξὺ τῶν δύο τμημάτων ἐνυπάρχουσαν ἀνευρίσκει. Ὁ αὐτὸς δὲ κριτικὸς παραβάλλων τὸ δεύτερον τμῆμα πρὸς τὸ ᾆσμα, ὅπερ, ὡς εἴρηται, λήγει εἰς τὸν στίχον 347, εὑρίσκει ἄλλην ἀντίφασιν[3]). Εἰ πάν-

---

1) Ἰλιάδ. Α 493. 2) Κεφ. II. 3) Κεφ. III „Wenn die götter (423) seit gestern bei den Aethiopern sind, und Apollon nicht ausgenommen wird, so ist es wunderlich, ihn von dort auf das achäische heer schiessend zu den-

τες οἱ θεοὶ κατὰ τὸν στίχον 423 (ἄρα οὐδὲ ὁ Ἀπόλλων ἐξαιρεῖται) χθὲς εἰς τοὺς Αἰθίοπας ἀπῆλθον, πῶς ἦν δυνατόν, ἵνα ὁ Κάλχας λέγῃ, ὅτι ὁ Ἀπόλλων ἔδω ἄλγη τοῖς Ἀχαιοῖς καὶ ἔτι δώσει; Πῶς ἦν δυνατόν, ἵνα ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ τῆς ἔριδος καὶ ὁ Ἀπόλλων τοῦ ἐξιλασμοῦ ἐκ τῶν Αἰθιόπων ἀκούσωσιν; Τῇ ἀληθείᾳ μακρὸν χρόνον ἐσκέφθημεν, εἰ ὁ μέγας Lachmann σπουδαίως τοιαύτας ἀπορίας εὗρεν; Διότι, εἰ ὁ κριτικὸς νομίζει ἀντιφατικόν, ὅτι ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐκ τῶν Αἰθιόπων τῆς ἔριδος τοῦ Ἀχιλλέως καὶ Ἀγαμέμνονος ἤκουσαν, τί οὐ νομίζει ἐξ ἴσου ἀντιφατικόν, ὅτι ἡ Θέτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης πολλαχοῦ τῆς Ἰλιάδος[1]) ἀκούει τοῦ Ἀχιλλέως; Πρὸς δέ, εἰ οἱ θεοὶ ἐκ τοῦ Ὀλύμπου ἠδύναντο ἀκοῦσαι τῆς ἔριδος καὶ τοῦ ἐξιλασμοῦ, ἠδύναντο καὶ ἐκ τῶν Αἰθιόπων. Εἰ δ' ἀπορεῖ ὁ κριτικός, ὅτι ὁ Ἀπόλλων ἐκ τῶν Αἰθιόπων ἠδύνατο κατατοξεῦσαι τοῦ στρατοπέδου τῶν Ἀχαιῶν, τί οὐκ ἀπορεῖ, ὅτι ὁ αὐτὸς θεὸς τὸ αὐτὸ δὴ ἔργον ἀπάνευθε νεῶν[2]) ἐποίει; Τῇ ἀληθείᾳ ἀνθρωποφυὴς τοξότης τοῦτο οὐκ ἠδύνατο ποιῆσαι. Οἱ ὁμηρικοὶ θεοὶ εἰκονίζονται μὲν ἀνθρωποφυεῖς, ὅμως οὐ στεροῦνται καὶ ὑπερανθρώπου φύσεως. Διὰ τοῦτο ἐν βραχυτάτῳ χρόνῳ μεγάλους χώρους διατρέχουσι καὶ πόρρωθεν ἀκούουσι καὶ βλέπουσιν. Πάντες οἱ μῦθοι, ἐν οἷς ἀναμιγνύονται ὑπερφυσικὰ ὄντα, πάντων τῶν λαῶν καὶ πασῶν τῶν ἐποχῶν περιέχουσι τοιαύτας, εἰ δύνανται οὕτως ὀνομασθῆναι, ἀντιφάσεις. Διότι οἱ λαοὶ οὐχ ὁρίζουσι, τί ὑπερφυσικὸν καὶ τί ἀνθρώπινον τὰ ὑπὸ τῆς ἰδίας φαντασίας δημιουργηθέντα περιέχουσιν. Διὰ τὰς εἰρημένας ἀντιφάσεις ὁ κριτικὸς τὸ πρῶτον ᾆσμα μετὰ τοῦ πρώτου τμήματος συνδέων οὐδεμίαν ἀντίφασιν εὑρίσκει· τὸ δεύτερον ὅμως τμῆμα ὡς ἀντιφάσκον πρός τε τὸ ᾆσμα καὶ τὸ πρῶτον τμῆμα ὡς νόθον ἀποβάλλει. Λοιπὸν τὸ γνήσιον ἤ, μᾶλλον εἰπεῖν, τὸ μὴ ἀντιφάσκον μέρος τῆς πρώ-

ken, und Kalchas kann nicht sagen 96 .... wenn man auch allenfalls zugibt, dass Here und Athene 195 bei den Aethiopern den zank gehört haben und 474 Apollon bei den Aethiopern das sühnelied der Achäer hört."

1) Α 357. Σ 36. 2) Ἰλιάδ. Α 48.

της ῥαψῳδίας ἐστὶ κατὰ τὸν Lachmann ἡ ἔρις τοῦ Ἀγαμέμνονος καὶ Ἀχιλλέως καὶ ἡ τῆς Χρυσηίδος ἀπόδοσις. Ἀλλὰ τίς ποιητὴς ἠδύνατο ποιῆσαι τοιοῦτον αὐτοτελὲς ᾆσμα; Τί ἔπραξεν ὁ τοσοῦτον ὀργισθεὶς Ἀχιλλεὺς πρὸς τιμωρίαν τοῦ τὴν Βρισηίδα ἁρπάσαντος; Ἡ Ἀθηνᾶ ἀποτρέπουσα τὸν Ἀχιλλέα βιαίας κατὰ τοῦ Ἀγαμέμνονος πράξεως ὑπισχνεῖται αὐτῷ ἀγλαὰ δῶρα[1]), ἅπερ οὐδαμοῦ τοῦ αὐτοτελοῦς τούτου ᾄσματος τῷ ἥρωι προσφέρονται. Ὁ Ἀχιλλεὺς λέγει, ὅτι οἱ Ἀχαιοὶ ποθήσουσιν αὐτόν, ὅτι πολλοὶ τούτων ὑπὸ τοῦ Ἕκτορος φονευθήσονται[2]) καὶ ὅτι ὁ Ἀγαμέμνων οὐ δυνήσεται βοηθεῖν αὐτοῖς. Τί πάντα ταῦτα ἐν τῷ Λαχμαννείῳ αὐτοτελεῖ ᾄσματι οὐκ ἐκτελοῦται; Τὸ ᾆσμα τοῦτο, ὡς καὶ ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ εἴρηται, μόνον ὡς εἰς μέγα ἔπος εἰσαγωγὴ δύναται νοηθῆναι.

Τὴν δὲ δευτέραν ῥαψῳδίαν ὁ Lachmann θεωρεῖ μὲν ὡς αὐτοτελὲς ᾆσμα, ὅμως ἐκβάλλει μέγα πλῆθος στίχων ὡς νόθων. Τὴν αὐτοτέλειαν τοῦ ᾄσματος ὁ κριτικὸς στηρίζει ἐπὶ τούτου, ὅτι ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ οὔτε τοῦ λοιμοῦ, οὔτε τῆς ἱκεσίας τῆς Θέτιδος μνεία γίνεται[3]). Τί δὴ ἀπαιτεῖ ὁ κριτικός, ἵνα ὁ Ὅμηρος περὶ λοιμοῦ εἴπῃ; Ἡ μὲν Χρυσηὶς ἀπεδόθη τῷ πατρί, οὗ εὐξαμένου ἔκλυε Φοῖβος Ἀπόλλων, ὁ δὲ λοιμὸς ἔληξεν. Τούτων δὲ γενομένων οὐδεὶς ἀκροατὴς ἢ ἀναγνώστης περιμένει, ἵνα ὁ ποιητής τι περὶ λοιμοῦ εἴπῃ. Διότι οὗτος οὐκ ἔστι τῆς Ἰλιάδος ὑπόθεσις, ὡς ἡ μῆνις, ἀλλὰ μόνον τῆς μήνιδος ἔνανσμα. Εἰ δ' ὁ ποιητὴς ἰδέας ὡς μάλιστα τῆς κυρίας ὑποθέσεως ἀφισταμένας ἐν ἑκάστῳ μέρει τοῦ ἔπους ἐπανελάμβανε, τῇ ἀληθείᾳ, καὶ εἰ δέκα γλώσσας καὶ χάλκεα στήθη εἶχεν, οὐκ ἠδύνατο ποιῆσαι Ἰλιάδα. Καὶ αὐτὸς δὲ οἶδε τοῦτο λέγων

. . . . ἐχθρὸν δέ μοί ἐστιν
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν[4]).

---

1) Αὐτόθι 212. 2) Αὐτόθι 240. 3) Κεφ. IV „Die beziehungen auf das erste buch sind so schwach, dass der inhalt desselben dem dichter nicht sehr lebendig vorzuschweben scheint. Nichts von der pest, nichts von Thetis bitte.“ 4) Ὀδυσσ. Μ 452.

Τί ὅμως οὐ γίνεται μνεία τῆς ἱκεσίας τῆς Θέτιδος; Ἴσως ὁ Lachmann *ἐπεθύμει, ἵνα εὐθὺς ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ ἡ πρὸς τὴν θεὰν ὑπόσχεσις ἐκπληρωθῇ. Παραινοῦμεν ὅμως ὑπομονήν. Διότι τοιαῦται ὑποσχέσεις οὔτε ἐκτελοῦνται ταχέως, οὔτε, ἂν ἐκτελῶνται, δύνανται γενέσθαι ὑποθέσεις μακρῶν ἐπῶν. Ἀλλ' ἐν ὀνόματι τῶν νόμων τῆς ποιήσεως, τίς ποιητὴς ὀφείλει, ἵνα ἐν ξηρῷ ὀνομάτων καταλόγῳ τὴν κυρίαν τοῦ ποιήματος ἰδέαν παρεμβάλῃ; Ἀλλά, καὶ εἰ μὴ ἡ δευτέρα ῥαψῳδία ἦν κατάλογος ὀνομάτων, ὁ ποιητὴς οὐκ ἠδύνατο ποιῆσαι τοῦθ', ὅπερ ὁ κριτικὸς ἀπαιτεῖ. Διότι οἱ ποιηταί, ἰδίως μακρῶν ἐπῶν, ὀφείλουσιν, ἵνα μὴ τὸν τῆς κυρίας ἰδέας μῖτον ἀφειδῶς περὶ τὰς ἀρχὰς τοῦ ποιήματος ἀνελίσσωσιν Ἀλλ' ὅμως ὁ ποιητὴς οὐκ ἐγένετο ἐπιλήσμων τῆς πρὸς τὴν Θέτιδα ὑποσχέσεως. Διότι ἐν αὐτῇ τῇ ἀρχῇ τῆς ῥαψῳδίας ὁ τὴν ὑπόσχεσιν δοὺς Ζεὺς οὐ κοιμᾶται, ἀλλὰ μερμηρίζει κατὰ φρένα, ἵνα τ ι μ ή σ ῃ τὸν Ἀχιλλέα*[1]. *Πρὸς δέ, εἰ καὶ οὐδεὶς τῶν Ἀχαιῶν ἐτόλμα ὑπομνῆσαι τῷ Ἀγαμέμνονι πρόσφατον ἔριδα, ὅμως ὁ θρασὺς Θερσίτης τὸν Ἀγαμέμνονα διὰ τὴν πρὸς τὸν Ἀχιλλέα ἔριδα κακίζει καὶ τὴν μῆνιν τούτου ὀνομάζει*[2]. *Αὐτὸς δ' ὁ Ἀγαμέμνων μεταμελούμενος τῆς πρὸς τὸν Ἀχιλλέα ἔριδος μέμνηται*[3]. *Αἱ ὑπομνήσεις λοιπὸν αὗται ἱκαναί εἰσιν, ὅπως τὴν δευτέραν ῥαψῳδίαν ἀρρήκτως μετὰ τῆς πρώτης συνδέσωσιν. Ἤδη μεταβαίνομεν εἰς τὰς ἀθετήσεις ταύτης τῆς ῥαψῳδίας. Ὁ* Lachmann[4] *εὑρίσκει ἄτοπον, ὅτι ὁ Ἀγαμέμνων παρὰ τὴν συμβουλὴν τοῦ Ὀνείρου*[5] *παροτρύνει τοὺς Ἀχαιούς, ἵνα τῆς Τροίας ἀπέλθωσιν. Νομίζει δ' ὁ κριτικός, ὅτι μεταγενέστερός τις ποιητὴς τὰ κατὰ τὴν βουλὴν τῶν γερόντων*[6] *προσέθηκεν. Ἀλλ' ὅμως κατ' αὐτὸν ἀπέτυχε· διότι ἡ τοῦ ἀπροσδοκήτου ἔκπληξις ἀπὸ τοῦ πράγματος εἰς τὴν βουλὴν μετετέθη. Κατὰ πρῶτον παρατηροῦμεν, ὅτι τὸ μέρος τοῦτο τῆς Ἰλιάδος ἦν τὸ δυσχερέστατον καὶ τὸ μείζονας ἴσως δυσκολίας τῷ ποιητῇ παρασχόν. Διότι ἐνταῦθα ὁ ποιητὴς*

1) *Ἰλιάδ. Β* 3. 2) *Αὐτόθι* 239. 3) 376. 4) *Κεφ.* V. 5) *Ἰλιάδ. Β* 140. 6) *Ἰλιάδ. Β* 53—86.

ὤφειλε λῦσαι σπουδαιότατον πρόβλημα, ἐξ οὗ ἡ ἑνότης τοῦ ὅλου ἔπους ἐξηρτᾶτο. Ἐννέα[1]) ἔτη ἀπὸ τῆς εἰς τὴν Τροίαν ἀποβάσεως τῶν Ἀχαιῶν παρῆλθον ἄνευ οὐδεμιᾶς ἐκ τοῦ συστάδην μάχης καὶ ταῦτα παρόντος τοῦ Ἀχιλλέως, ὅστις ἠδύνατο τοὺς Τρῶας νικῆσαι. Εἰ δ' οὕτως εἶχε, τίς αἰτία ἀπόντος τοῦ Ἀχιλλέως ἠδύνατο ὠθῆσαι τοὺς Ἀχαιούς, ἵνα κατὰ τῶν τειχῶν τῆς πόλεως στρατεύσωσιν; Οἱ μὲν Ἀχαιοὶ ἐκείνου ἀπόντος ὤφειλον τῆς προσβολῆς, ὥς γε καὶ πρότερον, ἀπέχεσθαι, οἱ δὲ Τρῶες κατὰ τὸ ἔθος ἀμύνεσθαι. Ἀλλ' ὁ ποιητὴς ἐπινοήσας (δυστυχῶς οὐ γινώσκομεν, τί παρὰ τοῦ μύθου ἔλαβε καὶ τί ὁ ποιητὴς αὐτὸς ἐπενόησε) τὰ κατὰ τὸν Ὄνειρον τοὺς Ἀχαιοὺς εἰς μάχην παρασύρει. Οὗτος ὑπὸ τοῦ Διὸς πεμφθεὶς παροτρύνει καθ' ὕπνον τὸν Ἀγαμέμνονα, ὅπως κατὰ τῆς πόλεως στρατεύσῃ. Διὰ τῆς ἀπάτης δὲ τοῦ Ὀνείρου ὁ Ὅμηρος ἔλυσε τὸ πρόβλημα αὐτοῦ. Διότι οἱ Ἀχαιοὶ θαρρήσαντες κατὰ τῶν τειχῶν τῆς πόλεως στρατεύουσι, καὶ οὕτω τὸ πρῶτον βῆμα πρὸς πλήρωσιν τῆς ὑποσχέσεως γίνεται. Μετὰ τὰ εἰρημένα λειαίνομεν τοὺς ὄχθους, εἰς οὓς ὁ κριτικὸς προσέκρουσεν. Τούτῳ φαίνεται ἄτοπον, ὅτι ὁ Ἀγαμέμνων πειρᾶται τοῦ στρατοῦ. Νομίζει λοιπόν, ὅτι ὁ ἡγεμών, ὡς δὴ Πρώσσος στρατηγός, ὤφειλε κελεῦσαι τοὺς Ἀχαιοὺς πρὸς πόρθησιν τῆς πόλεως τοῦ Πριάμου. Ἀλλὰ τοῦτο ἦν δυνατόν, εἰ ὁ Ἀτρείδης ἦρχε πρωσσικοῦ στρατοῦ, δυστυχῶς ὅμως ἦρχεν ἀτάκτου πλήθους καὶ ταῦτα δυσμενῶς πρὸς αὐτὸν ἔχοντος. Διὰ τοῦτο ἦν ἀνάγκη, ὅπως πρῶτον πειραθῇ αὐτοῦ. Λοιπὸν τὸ ἀπροσδόκητον τοῦ πράγματος ἀναιρεῖται, τούτου δ' ἀναιρουμένου καὶ ἡ αἰτία, δι' ἣν ὁ Lachmann τὰ κατὰ τὴν βουλὴν τῶν γερόντων νόθα ἐθεώρησεν. Πρὸς τούτοις ὁ κριτικὸς παρατηρεῖ, ὅτι, εἰ οἱ ἡγεμόνες τῶν Ἀχαιῶν ἐν τῇ βουλῇ τὸν σκοπὸν τοῦ στρατηγοῦ ἐμάνθανον, οὐκ ἦν ἀνάγκη, ἵνα ἡ Ἀθηνᾶ τὸν Ὀδυσσέα πρὸς κώλυσιν τῶν Ἀχαιῶν παροτρύνῃ[2]). Ἀλλὰ τί ἠδύ-

---

1) Αὐτόθι 134. 2) Κεφ. V „Denn wenn die führer des obersten feldherrn absicht wussten, so brauchten Here und Athene sich nicht zu bemühen.“

ναντο οἱ ἡγεμόνες τῶν Ἀχαιῶν ποιῆσαι; Ὁ Ἀγαμέμνων ἐπειράθη τοῦ στρατοῦ, ὅστις ἀπελθεῖν τῆς Τροίας ἤθελε καὶ ὄντως ἔφευγεν. Ὁ δ' Ὀδυσσεύς, ὅστις καὶ ἀνδρεῖος ἦν καὶ πειθὼ εἶχεν, ἐκώλυσε τοὺς ἀπερχομένους. Ὁ δὲ ποιητὴς κατὰ τὴν πίστιν τῶν τότε ἀνθρώπων εἶπεν, ὅτι ἡ Ἀθηνᾶ τὸν ἥρωα πρὸς τὸ ἔργον παρώτρυνεν. Ὅτι δ' οἱ ἡγεμόνες τῶν Ἀχαιῶν ἐκ τῆς βουλῆς τὸν σκοπὸν τοῦ Ἀγαμέμνονος ἐγίνωσκον, δῆλον· διότι πλὴν τῶν μὴ παρευρεθέντων ἐν ἐκείνῃ τῇ βουλῇ[1]) οὐδεὶς τῶν βουληφόρων ἀπήρχετο, ἀλλὰ μόνον οἱ ἐκ τοῦ δήμου[2]). Αὐτὴ δὴ ἡ Ἀθηνᾶ εὗρε τὸν Ὀδυσσέα παρὰ ταῖς ναυσὶν ἱστάμενον καὶ μὴ ἕλκοντα ταύτας εἰς τὴν θάλασσαν. Ἀλλ' οὐ δεόμεθα πλειόνων ἀποδείξεων· διότι αὐτὸς ὁ Ὀδυσσεὺς καὶ γενώσκει καὶ διαῤῥήδην λέγει[3]), ὅτι ὁ Ἀγαμέμνων πειρᾶται τοῦ στρατοῦ. Τελευταῖον δεῖ καὶ τοῦτο εἰπεῖν. Εἰ μὴ οἱ ἡγεμόνες τῶν Ἀχαιῶν ἐκ τῆς βουλῆς τὴν πρόθεσιν τοῦ Ἀγαμέμνονος ἐγίνωσκον, τί ἐν τῇ ἀγορᾷ οὐ κακίζουσιν αὐτὸν παροτρύναντα ἀπελθεῖν τῆς Τροίας ὁ Διομήδης καὶ ὁ Ὀδυσσεύς, οἵτινες μετὰ πολλὰς τῶν Ἀχαιῶν ἥττας ὁμοίαν γνώμην εἰπόντα πικρότατα ἐλέγχουσιν;[4]) Τοὐναντίον ὁ Ὀδυσσεὺς τὴν αἰτίαν τῆς φυγῆς ἀποδίδωσι τοῖς Ἀχαιοῖς, ἐν ᾧ, εἰ τὰ ἐν τῇ βουλῇ ἠγνόει, ὤφειλεν ἀποδοῦναι αὐτὴν τῷ Ἀγαμέμνονι. Πρὸς τούτοις ὁ κριτικὸς ἀθετεῖ καὶ τοὺς στίχους 278—332 ὡς περιττούς. Διότι κατ' αὐτὸν ὁ Ὀδυσσεὺς ἔπραξε τὸ καθ' ἑαυτόν, τοὺς φεύγοντας ἐπανήγαγε καὶ τῷ Θερσίτῃ ἐπέβαλε σιωπήν[5]). Καὶ τελευταῖον ψέγει τὸν λόγον τοῦ Ὀδυσσέως· διότι οὗτος οὐ ποιεῖται μνείαν τῶν φυγόντων, ὡς ὁ Νέστωρ μετ' ὀλίγον. Τῇ ἀληθείᾳ τοιαύτας ἀθετήσεις δύνανται ποιῆσαι μόνον οἱ ἀρχαῖα χειρόγραφα καὶ Ἀκαδημιακοὺς καθ' ὅλον τὸν βίον πρὸ ὀφθαλμῶν ἔχοντες. Ἀλλ' ὁ τρόπος τῆς σκέψεως τῶν Ἀκαδημιακῶν πολὺ διά-

---

1) *Ἰλιάδ.* *B* 194. 2) *Αὐτόθι* 198. 3) *Αὐτόθι* 193. 4) *Ἰλιάδ.* *I* 17—49 *καὶ Ξ* 65—102. 5) *Κεφ.* V „V. 278—332 hoffe ich nicht ohne den beifall feiner leser zu verwerfen. Odysseus hat das seinige gethan, er hat die fliehenden zurückgetrieben und den Thersites zum schweigen gebracht, dass er danach eine lange rede hält, auf die kein mensch rücksicht nimmt . . .“

φορός ἐστι τοῦ τῶν κοινῶν ἀνθρώπων. Εἴ τις κριτικὸς πάσας τὰς πράξεις τῶν στρατηγῶν τῆς ἡμετέρας ἐπαναστάσεως εἰς τοσοῦτον αὐστηρὰν κριτικὴν ὑπέβαλεν, ἴσως πάσας ἔμελλεν εὑρεῖν ἡμαρτημένας. Ἀλλὰ καί, εἴ τις στρατηγὸς τὰς τῶν κριτικῶν σκέψεις ἐπεχείρει ἐκτελέσαι, αἱ πλεῖσται, εἰ μὴ πᾶσαι, ἔμελλον ἀποτυχεῖν. Ὁ δ' Ὅμηρος, εἰ μὴ πιστῶς τὰ τοιαῦτα παρὰ τῶν μύθων παρέλαβεν, ἐσκέπτετο ὅμως κατὰ τὸν λαόν, οὗ τὰς πράξεις ὕμνει. Ταῦτα δ' ὑμεῖςγε οἱ τῆς παρούσης γενεᾶς Ἕλληνες, οἵτινες εὐτυχεῖς γεγόναμεν ἰδόντες πολλοὺς τῶν στρατηγῶν τῆς ἡμετέρας ἐπαναστάσεως, οὕτω φυσικὰ εὑρίσκομεν, ὥστε διὰ τὰς τοιαύτας ἀθετήσεις ὑπομειδιῶμεν. Ποσάκις ὁ πάνυ ὅμοιος τῷ Ὀδυσσεῖ στρατηγὸς τῆς Πελοποννήσου οὐκ ἠγόρευσεν, ὁσάκις οἱ στρατιῶται αὐτοῦ διά τινα αἰτίαν ἐταράχθησαν; Ἀλλὰ πλὴν πάντων τούτων οὐδὲν τὸ παρὰ φύσιν ἐν τῷ λόγῳ τούτῳ τοῦ Ὀδυσσέως εὑρίσκομεν. Ἐπανήγαγε μὲν ὁ ἥρως τοὺς φεύγοντας, καὶ πάντες εἰς ἀγορὰν συνῆλθον, ἀλλὰ τίς πρῶτον ὤφειλεν ἀγορεῦσαι; Ἐν τῇ αὐτῇ ἀγορᾷ ἠγόρευσαν ὁ Νέστωρ καὶ ὁ Ἀγαμέμνων. Ἀλλ' οὔτε ὁ εἷς, οὔτε ὁ ἕτερος ἠδύναντο ἀγορεῦσαι πρὸ τοῦ Ὀδυσσέως, ὅστις τὰ πλήθη ἐπαναγαγὼν ἐν τῇ φορᾷ τῆς αὐτοῦ ἐνεργείας πρῶτος ὤφειλε τοῦτο ποιῆσαι. Ἄλλως ὁ Νέστωρ οὐκ ἠδύνατο πρῶτος ἀγορεῦσαι· διότι τοῦ πλήθους ἔτι ταρασσομένου ἦν ἀνάγκη οὐχὶ γεροντείας συνέσεως, ἀλλὰ δημοκοπίας καὶ ῥητορικῆς δεινότητος. Οὔτε ὁ Ἀγαμέμνων· διότι οὗτος αἰτία τῆς φυγῆς ἦν. Νομίζομεν δὲ περιττόν, ἵνα τὸν τοῦ Ὀδυσσέως λόγον ἀναλύσαντες τὸ καίριον δείξωμεν. Διότι σπουδαῖος τῆς Ἰλιάδος ἀναγνώστης πάνυ ῥᾳδίως δύναται τοῦτο ποιῆσαι.

Τὸ δὲ τρίτον ᾆσμα τοῦ Lachmann ἐκ τοῦ 15ου ἢ 16ου στίχου ἀρχόμενον λήγει εἰς τὸ τέλος τῆς ῥαψῳδίας. Νομίζει δ' ὁ κριτικός, ὅτι εἰς τὸ ᾆσμα οὕτω πολλὴ ὕλη εἰσέρρευσεν, ὥστε τῶν 461 στίχων ταύτης τῆς ῥαψῳδίας μόνον τοὺς 170 ὡς γνησίους δέχεται. Καὶ δὴ λέγει, ὅτι ὁ τοῦ Πριάμου καὶ τῆς Ἑλένης διάλογος οὐκ ἀνήκει τούτῳ τῷ ᾄσματι. Ἐν τῷ στίχῳ 382 ὁ Πάρις ἁρπάζεται ὑπὸ τῆς

Ἀφροδίτης. Τῇ δ' ἁρπαγῇ ἕπεται ὁ διάλογος τῆς Ἑλένης μετὰ τῆς θεᾶς καὶ τοῦ Πάριδος. Πᾶσαν τὴν διήγησιν ταύτην ὁ κριτικὸς νόθην ἀποφαίνεται· διότι κατ' αὐτὸν ἡ ἐξ 66 *στίχων διήγησις βλάπτει τὴν συμμετρίαν*[1]). *Ἀλλά, τίνα συμμετρίαν ὁ ἀνὴρ ἐνόει, τῇ ἀληθείᾳ ἀγνοοῦμεν. Διότι ἐν τοῖς ἔπεσι τοῦ Ὁμήρου εὑρίσκονται ἐπεισόδια οὐχὶ ἐξ* 66, *ἀλλ' ἐξ ἑκατοντάδων στίχων, ὧν ἡ γνησιότης οὐκ ἀμφισβητεῖται. Ἄλλως μακρὰ ἐπεισόδια ἐν μακροῖς ἔπεσιν οὐ μόνον σύμμετρα, ἀλλὰ καὶ ἀναγκαῖα θεωροῦνται καὶ ὑπὸ τῶν νόμων τῆς ποιήσεως ἐπιτάσσονται. Τὸ ἐναντίον ἐστὶν ἀσύμμετρον. Πρὸς τούτοις ὁ* Lachmann[2]) *μετὰ πολλῶν ἄλλων κριτικῶν ἀθετεῖ τὴν καλουμένην Τειχοσκοπίαν στιχ.* 121—244 *διὰ τὰ ἐρωτήματα τοῦ Πριάμου πρὸς τὴν Ἑλένην· διότι ταῦτα ἐν τῷ δεκάτῳ ἔτει τοῦ πολέμου γίνονται. Ἀλλ' ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ἐδείξαμεν, ὅτι ταῦτα οὐκ ἠδύναντο πρὸ τῆς μήνιδος τοῦ Ἀχιλλέως γενέσθαι. Ἀλλά, καὶ ἂν ὑποτεθῇ, ὅτι ὅμοιά τινα ἐγίνοντο, πάλιν ὁ γέρων Πρίαμος οὐκ ἠδύνατο γινώσκειν τοὺς ἡγεμόνας τῶν Ἀχαιῶν. Διότι οὗτος διὰ τὸ βαθὺ γῆρας ἔμενεν ἐν τῇ πόλει, μόνος δ' ὁ Ἕκτωρ μετὰ τῶν Τρώων καὶ ἐπικούρων, εἴ ποτε ἐτόλμα, ταύτης ἐξήρχετο. Ἁρμοδίως λοιπὸν ὁ ποιητὴς ἐν τῇ ἀνακωχῇ τὰ ἐρωτήματα ταῦτα εἰς τὸ στόμα τοῦ γέροντος ἐμβάλλει. Ὁ μέγας* Lachmann *τοῦτο ἐθεώρησεν ἁμάρτημα. Ἀλλὰ σφόδρα χαίρομεν διὰ τὴν ὄντως εἰλικρινῆ τοῦ κριτικοῦ ὁμολογίαν, ὅτι τοιούτων ἁμαρτημάτων ἐξ ἴσου καὶ ὁ ἀρχαῖος ποιητὴς καὶ οἱ διασκευασταὶ δύνανται εἶναι ἔνοχοι*[3]). *Αὕτη ὅμως πανταχοῦ ἐφαρμοζομένη ἄρδην τὸ οἰκοδόμημα αὐτοῦ καταστρέφει. Ἀλλ' ὁ κριτικὸς καὶ δι' ἄλλας ἀφορμὰς τῆς Τειχοσκοπίαν ἀθετεῖ. Ἐν ᾧ ἡ Ἑλένη ἐρωτᾶται περὶ τοῦ Αἴαντος, αὕτη προστίθησί τι καὶ περὶ τοῦ Ἰδομενέως*[4]). *Τῇ ἀληθείᾳ αἰ-*

---

1) *Κεφ.* VI. 2) *Αὐτόθι* „Und nicht minder störend ist die mit jenem abschnitt zusammenhängende Teichoscopie 121—244. Die unschicklichkeit der fragen an Helena im zehnten jahre des krieges könnte vielleicht der erste dichter dieses liedes so gut verschuldet haben wie ein interpolator.“ 3) *Κεφ.* VI. 4) *Ἰλιάδ. Γ* 230.

δούμεθα, ἵνα τοιούτων ἀποριῶν τὴν λύσιν ἐπιχειροῦμεν. Τί ἀπορεῖ ὁ ἀνήρ; Ἀμνημονεῖ τῆς πολυλογίας τῶν Ἑλλήνων καὶ ἰδίως τῶν ὁμηρικῶν; Εἰ δ' ἀπορεῖ διὰ τοῦτο, τί οὐκ ἀπορεῖ μᾶλλον, ὅτι ἕκαστος ἥρως πρὸ τῆς μάχης μακρὰ πρὸς τὸν ἐχθρὸν διαλέγεται; Ἀλλ' οὔτε πολυλογίαν ἐν τῷ λόγῳ τῆς Ἑλένης ἐνορῶμεν, ἀλλὰ μᾶλλον ἀποφυγὴν ταύτης. Διότι ὁ ποιητής, ἵνα ἀποφύγῃ τὰς πολλάκις ἐπαναληφθείσας φράσεις, ἰδὼν ἐρέειν' ὁ γερεὸς καὶ τὸν δ' Ἑλένη ἠμείβετο, ἃς αὐτὸς δὴ ὁ Lachmann παιδαριώδεις ἐθεώρησεν, ἐμβάλλει εἰς τὸ στόμα τῆς ἡρωίδος καὶ τὸ τοῦ Ἰδομενέως ὄνομα, περὶ οὗ οὐκ ἠρωτήθη. Ἀλλά, καὶ ἂν τοῦτο ἁμάρτημα θεωρηθῇ, τί οὐκ ἐφαρμόζει ὁ κριτικὸς τὴν ἀρχήν, ἣν πρὸ ὀλίγου ὡμολόγησεν; Πρὸς τούτοις ὁ κριτικὸς ἐρωτᾷ [1]). Ποῦ οἱ κήρυκες εὗρον τὸν Πρίαμον; Ἀποκρινόμεθα ἐπὶ τῶν Σκαιῶν πυλῶν. Ὁ Ἕκτωρ πέμπει εἰς τὴν πόλιν τοὺς κήρυκας, ἵνα κομίσωσι τὰ πρὸς θυσίαν καὶ καλέσωσι τὸν Πρίαμον. Οὗτοι δ' εἰς τὴν πόλιν ἀπελθόντες ἔλαβον τὰ ἀναγκαῖα καὶ ἐπανερχόμενοι εὗρον τὸν γέροντα παρὰ ταῖς Σκαιαῖς πύλαις ἱστάμενον, ὃν καλοῦσιν εἰς τὸ στρατόπεδον. Οὐδὲν δὲ τὸ παράδοξον, ὅτι οἱ ἵπποι καὶ ἡ ἅμαξα αὐτοῦ ἐγγὺς εὑρίσκονται. Διότι, εἰ οὗτος ἀπὸ τῶν Σκαιῶν πυλῶν μέχρι τοῦ στρατοπέδου ᾠχεῖτο, ἕκαστος εἰκάζει, ὅτι ὁ γέρων καὶ ἀπὸ τῶν ἀνακτόρων μέχρι τῶν εἰρημένων πυλῶν τὸ αὐτὸ ἔπραξεν. Οὐδόλως δ' ἀποροῦμεν διὰ τὴν σιωπὴν τοῦ ποιητοῦ, ὅτι ὁ Πριάμος κατέβη ἐκ τῶν πύργων τῶν Σκαιῶν πυλῶν, ὡς οὐκ ἀποροῦμεν διὰ μυρία ἄλλα, ἅπερ ὁ ποιητὴς ὡς νοούμενα παραλείπει καὶ ὁ ἀκριβέστερος ἀκροατὴς ἢ ἀναγνώστης οὐκ ἀπαιτεῖ. Διὰ ταῦτα λοιπὸν νομίζομεν, ὅτι οὐδεμία ἀλλαγὴ τόπου ἐγένετο. Πρὸς τούτοις ὁ Lachmann ἐρωτᾷ. Ἐπὶ τίνι ὁ Ἕκτωρ μετεπέμψατο τὸν Πρίαμον; Ὄφρ' ὅρκια τάμνῃ αὐτός; Ἀλλ' ἀποκρίνεται, ὅτι τοῦτο οὐκ ἔπραξεν αὐτός, ἀλλ' ὁ Ἀγαμέμνων [2]). Τοῦτο ἐλέγχει λήθην

---

1) Κεφ. VI. 2) Κεφ. VI „Ferner, zu welchem zwecke wird der könig geholt? Damit er die eidopfer schneide, ὄφρ' ὅρκια τάμνῃ αὐτός, heisst es V. 105. Das thut aber nicht er, sondern Agamemnon, 273 ...“

τῆς ὁμηρικῆς γλώσσης. Διότι ὅρκια τέμνειν παρ' Ὁμήρῳ σημαίνει οὐχὶ σφάζειν ἀρνία, ἀλλὰ μετέχειν τῆς θυσίας καὶ συνθήκας ποιεῖσθαι, ὡς δεικνύουσιν αὐτῆς δὴ τῆς τρίτης ῥαψῳδίας στίχοι; Ὁ Ἕκτωρ προτείνει τοῖς Ἀχαιοῖς μονομαχίαν, ἐν ᾗ ὁ νικήσας ἔμελλε λαβεῖν τὴν Ἑλένην καὶ πάντα τὰ κτήματα, οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες[1]) ἔμελλον ἀποστῆναι τῆς μάχης. Κατὰ ταύτην τὴν φράσιν πάντες οἱ ἄλλοι ἔμελλον σφάξαι τὰ θύματα; Τοῦτο τῇ ἀληθείᾳ οὐ δύναται νοηθῆναι. Τὸν Πρίαμον λοιπὸν ἐκάλεσαν, ἵνα τῶν ὁρκίων μετάσχῃ, δηλαδὴ ἵνα λάβῃ τρίχας τῶν ἀρνῶν, ὡς ὄντως ἔλαβε μετὰ τῶν Τρώων καὶ Ἀχαιῶν[2]). Τίς δὲ κατὰ τὴν κυρίαν τῆς λέξεως σημασίαν τέμνει τὰ ἀρνία, τοῦτο ἀδιάφορόν ἐστιν. Διὰ τὴν ἡμαρτημένην δ' ἑρμηνείαν τοῦ ὅρκια τέμνειν ὁ κριτικὸς περιπίπτει εἰς ἀπορίαν, ἣν οὐ δύναται λῦσαι. Ὁ Ἀγαμέμνων τέμνει τὰς κεφαλὰς πολλῶν ἀρνῶν, ἐν ᾧ οἱ Ἀχαιοὶ πρὸς θυσίαν ἕνα μόνον ἐκόμισαν[3]). Ἡ ἀπορία ὅμως αὕτη ἀριδήλως τὴν ἡμαρτημένην τοῦ κριτικοῦ ἑρμηνείαν κυροῖ. Τὸ ὅρκια δὲ τέμνειν ὀρθῶς ἑρμηνεύοντες οὐδεμίαν ἀπορίαν εὑρίσκομεν. Διότι ὁ Ἀγαμέμνων τέμνει τρία ἀρνία, δύο τῶν Τρώων καὶ ἓν τῶν Ἀχαιῶν. Ὁ Lachmann λοιπὸν νομίζει, ὅτι ὅρκια πρὸ τῆς μονομαχίας οὐκ ἐγένοντο. Ἐπειδὴ ὅμως ᾔρθησαν αἱ αἰτίαι, αἴρεται καὶ τὸ ἀποτέλεσμα, ἡ ἀθέτησις. Ἀλλ' ἴδωμεν, εἰ καὶ ἄλλαι αἰτίαι τὴν ἀθέτησιν κωλύουσιν. Ὁ κριτικὸς πρὸς ἐνίσχυσιν τῆς αὐτοῦ εἰκασίας σημειοῖ τοὺς στίχους[4]), ἐν οἷς ὁ Πάρις ὁμιλεῖ περί τε τῆς θυσίας καὶ τῶν ὁρκίων, ἅπερ μετὰ τὸ τέλος τῆς μονομαχίας ἔμελλον γενέσθαι. Ἀλλ' ἐν τῷ λόγῳ τούτῳ οὐ γίνεται μὲν μνεία τῶν πρὸ τῆς μονομαχίας ὁρκίων, ὅμως ταῦτα νοοῦνται. Ἔμελλον δύο ὅρκια γενέσθαι, τὰ μὲν πρὸ τῆς μονομαχίας, τὰ δὲ μετὰ ταύτην. Τῶν τελευταίων μνημονεύουσιν οἱ Τρῶες,

---

1) Ἰλιάδ. Γ 73. 2) Αὐτόθι 274. 3) Κεφ. VI „Und Agamemnon, was hat er mit lämmern zu thun? Nur ein lamm war für die Achäer geholt worden, 104. Δὴ δ' ἡμεῖς οἴσομεν ἄλλον.“ 4) Ἰλιάδ. Γ 71—75.

ὅπως δι' ὅρκου τῶν δεινῶν τοῦ πολέμου ἀπαλλαγῶσιν. Ἀλλά, καὶ ἂν μὴ νοῶνται, οὐδὲν ὁ Lachmann ὑπὲρ τῆς εἰκασίας αὐτοῦ κερδίζει. Διότι ἐκ προθέσεως ὁ ποιητὴς οὐκ ἐνέβαλεν εἰς τὸ στόμα τῶν Τρώων πρότασιν περὶ ὅρκων, οὓς οὗτοι ἔμελλον παραβῆναι. Ὁ Μενέλαος ὅμως προτείνει ὅρκια [1]). Σημειωτέον δ', ὅτι οὐ δυνάμεθα ἀθετῆσαι τὸν λόγον τούτου τοῦ ἥρωος. Διότι ἀναγκαίως ἡ τοῦ μονομαχήσοντος ὁμολογία ἀπαιτεῖται. Πρὸς τὰ εἰρημένα ὅμως δύναταί τις ἀντειπεῖν, ὅτι καὶ ὁ Ἕκτωρ βραδύτερον ἐμονομάχησε πρὸς τὸν Αἴαντα, ὅμως οὐ προηγήθησαν ὅρκια. Ἀλλὰ παρατηροῦμεν πρῶτον, ὅτι ἐν τῇ δευτέρᾳ ταύτῃ μονομαχίᾳ διὰ τῶν ὁρκίων ἐτίθετο ἐν ἀσφαλείᾳ μόνον τὸ τοῦ πεσόντος σῶμα, ἐν ᾧ ἐκ τῆς πρώτης ἐξηρτᾶτο ἡ παῦσις ἢ ἡ ἐξακολούθησις τοῦ Τρωικοῦ πολέμου καὶ δεύτερον, ὅτι οἱ Τρῶες ἐν τῇ δευτέρᾳ μονομαχίᾳ οὐκ ἠδύναντο ὅρκια προτεῖναι. Διότι ἄπιστα τὰ τούτων ἐδείχθησαν. Οἱ δ' ἅπαξ ἀναιδῶς τὰ ὅρκια παραβάντες τὸ δεύτερον ἀναιδέστερον ταῦτα παρέβησαν. Ὁ Ἕκτωρ συνειδὼς τοῦτο ἀπέχει τοιαύτης προτάσεως [2]). Ἀλλὰ δικαίως δύναταί τις ἡμᾶς μέμψασθαι, ὅτι εἰς τοιαύτας συζητήσεις κατερχόμεθα, ἐν ᾧ ῥηταὶ μαρτυρίαι τὴν γνησιότητα τῶν ὁρκίων κυροῦσιν. Καὶ δὴ ἡ τῶν ὁρκίων σύγχυσις, ἐξ ἧς ἡ ἑπομένη ῥαψῳδία ἄρχεται, οὐ δύναται νοηθῆναι ἄνευ τῶν ὁρκίων. Πρὸς δέ, πολλαχοῦ τῆς τετάρτης ῥαψῳδίας μνεία τῶν ὁρκίων γίνεται [3]). Παραλείποντες δὲ πλείστας σιωπηλὰς μαρτυρίας σημειοῦμεν μόνον, ὅτι ὁ Ἀγαμέμνων διαρρήδην [4]) τὰ ὅρκια ἀναμεμνήσκων τὸν ὄλεθρον τῶν ἐπιόρκων προλέγει.

Τὴν δὲ τετάρτην ῥαψῳδίαν ὁ Lachmann τέταρτον ᾆσμα θεωρεῖ. Ἐπειδὴ ὅμως αὕτη στενῶς μετὰ τῶν ὁρκίων τῆς τρίτης ῥαψῳδίας συνδέεται, ὁ κριτικὸς ἀναγκάζεται, ἵνα ὅλως νέον ᾆσμα δημιουργήσῃ, ὅπερ ὅμως ἀπωλέσθη, ἢ τμῆμα ᾄσματος, ὅπερ νῦν οὐχ ὑπάρχει [5]). Εἰς πόσας

---

1) Ἰλιάδ. Γ 103. 2) Ἰλιάδ. Η 69. 3) Ἰλιάδ. Δ 67, 72, 271. 4) Αὐτόθι 155—168. 5) Κεφ. VIII „Mithin entweder fehlt uns ein ganz anderes

δυσχερείας ἄγουσιν ἡμαρτημέναι εἰκασίαι! Ταῦτα δ' ὁ κριτικὸς στηρίζει ἐπὶ παραβολῆς φράσεώς τινος. Διότι ἐν μὲν τῇ τετάρτῃ ῥαψῳδίᾳ ὁ ποιητὴς χρῆται τῇ φράσει, ὑπὲρ ὅρκια δηλήσασθαι[1]), ἐν δὲ τῇ τρίτῃ, Διὸς ὅρκια δηλήσασθαι[2]) καὶ ὑπὲρ ὅρκια πημῆναι[3]). Ἀλλὰ τίς ποιητὴς ἢ τίς πεζογράφος τὴν αὐτὴν ἰδέαν ᾀείποτε διὰ τῆς ἰδίας φράσεως ἐδήλωσεν; Πλὴν τούτου παρατηροῦμεν, ὅτι οἱ περὶ τὸν Lachmann κατὰ τὸ δοκοῦν χρῶνται δυσὶ μέτροις, ὁτὲ μὲν τῷ ἑνί, ὁτὲ δὲ τῷ ἑτέρῳ. Εἰ μὲν ὁ ποιητὴς τὴν αὐτὴν ἰδέαν διὰ τῆς αὐτῆς φράσεως ἐκφράζει, τὸ ἓν τοῦ ἑτέρου ἀπομίμημα ὀνομάζουσιν. Εἰ δ' οὗτος τὴν αὐτὴν ἰδέαν διὰ διαφόρου φράσεως λέγει, οἱ αὐτοὶ κριτικοὶ ἄλλον τὸν ποιητὴν τῆς διαφόρου φράσεως ἀναγνωρίζουσιν. Ὥστε κατὰ τὸ ἓν ἢ κατὰ τὸ ἄλλο μέτρον ἄλλον ποιητὴν οἱ σοφοὶ οὗτοι ἄνδρες ἀποδεικνύουσιν. Τὰ διπλᾶ ὅμως μέτρα καλοῦνται κίβδηλα, αἱ δὲ κιβδηλεῖαι ἔν γε τῇ ἐπιστήμῃ οὐκ ἀνεκταί. Ἡ τετάρτη ῥαψῳδία περιέχει τὸ συμβούλιον τῶν θεῶν, τὸ τοῦ Μενελάου τραῦμα καὶ τὴν καλουμένην ἐπιπώλησιν τοῦ Ἀγαμέμνονος. Ταῦτα πάντα λήγουσιν εἰς τὸν στίχον 421. Ἐνταῦθα ὁ Lachmann μηδεμίαν ἀντίφασιν εὑρίσκων παρατηρεῖ μόνον, ὅτι πᾶσα ἡ εἰρημένη προπαρασκευὴ λήγει εἰς τοῦτον τὸν στίχον καὶ οὐδεὶς οἶδε, ποῦ ὁ Ἀγαμέμνων πορεύεται. Ἀλλ' ὑπομιμνήσκομεν, ὅ, τι πολλαχοῦ εἴπομεν. Ὁ ποιητὴς μόνον ἐκείνων τῶν πράξεων μνείαν ποιεῖται, ὅσαι ἄμεσον πρὸς τὴν κυρίαν ὑπόθεσιν σχέσιν ἔχουσιν. Ἄλλως οὐδὲν τὸ παράδοξον. Διότι τῆς ἐπιπωλήσεως τελεσθείσης καὶ τῆς μάχης ἀρξαμένης ὁ ποιητὴς μόνον τὸν φονεύοντα καὶ φονευόμενον ὀνομάζει. Ὅτε δὲ καὶ ὁ Ἀγαμέμνων ἐχθρὸν ἐφόνευσε καὶ τοῦτον ὁ ποιητὴς ὠνόμασεν.

Κατὰ τὸν Lachmann τὸ πέμπτον ᾆσμα περιλαμβάνει

---

lied oder [stück für Γ, oder wenigstens statt der von mir verworfenen verse eine andere ausführung, aber man wird wohl lieber sagen ein anderes lied.

1) Ἰλιάδ. Δ 67, 72, 236, 271. 2) Ἰλιάδ. Γ 107. 3) Αὐτόθι 299.

μέρος τῆς τεττάρτης ῥαψῳδίας[1]) καὶ ὁλόκληρον τὴν πέμπτην[2]). Τοῦτο δ' ὁ κριτικὸς συνδέει μετὰ τῆς δευτέρας, ἐν ᾗ ὁμοιότητα πρὸς τὴν παροῦσαν εὑρίσκει. Καὶ δὴ συνδέει τὸν στίχον 422 τοῦ Δ μετὰ τοῦ 483 ἢ 780 τοῦ Β. Ἀλλ' ἡμεῖς γε οὐδεμίαν ἄλλην ὁμοιότητα μείζονα τῶν ἄλλων εὑρίσκομεν, ἢ τὴν ὁμοιότητα τῆς ὕλης. Ἐν μὲν τῷ Β ὁ ποιητὴς ἀριθμεῖ στρατιώτας, ἐνταῦθα δὲ φόνους στρατιωτῶν. Ἡ δ' ὁμοιότης τῆς ὕλης φύσει ὁμοιότητα παραστάσεως γεννᾷ. Ὁ δὲ ποιητὴς ἀποβαίνει διάφορος, εἰ οὐκ ἀριθμεῖ, ἀλλὰ διηγεῖται ἀλλοῖα γεγονότα, ὡς συζυγικοὺς διαλόγους καὶ τὰ παραπλήσια. Ἀλλὰ τί ᾆσμά ἐστι τοῦθ', ὅπερ ὁ μέγας Lachmann ἐδημιούργησεν; Εἰ καὶ λίαν μέγα ἐστὶν (ἐκ δισχιλίων στίχων συνιστάμενον), ὅμως οὐδεμίαν ἑνότητα, οὐδεμίαν πλοκήν, οὐδεμίαν λύσιν τοῦ μύθου ἔχει. Ἆρά γε τοσοῦτον μικρὸς κατάλογος ἥρμοζε τοσοῦτον μικρῷ ἔπει; Ἐνταῦθα ὄντως παραβαίνεται ἡ συμμετρία, ἣν μάτην ὁ κριτικὸς ἀλλαχοῦ ἐπικαλεῖται. Τί παθὼν ὁ ποιητὴς ἐποίησε μακρὸν κατάλογον ἡγεμόνων, οἵτινες ἐν τῷ Λαχμαννείῳ ἔπει πλὴν τοῦ Διομήδους οὐδὲν ἔπραξαν; Τοιαῦτα ᾄσματα μόνον ἐν ψυχραῖς κεφαλαῖς δημιουργοῦνται, ὁ πραγματικὸς ὅμως κόσμος ἀγνοεῖ ταῦτα. Ἀλλά, καὶ ἂν πάντα ταῦτα πιθανὰ θεωρηθῶσιν, οἱ μετὰ τοῦ Γ καὶ Δ σύνδεσμοι κωλύουσι τὴν σύνδεσιν τοῦ Β καὶ Ε. Διότι ὁ Πάνδαρος ἐν τῷ Ε[3]) μέμνηται τοῦ τραύματος, ὅπερ οὗτος τῷ Μενελάῳ ἐν τῷ Δ ἐπήνεγκεν. Πλὴν δὲ τῆς ῥητῆς ταύτης ἀποδείξεως ὑπάρχουσι καὶ ἄλλαι μόνον οὐχὶ φωνὴν ἀφιεῖσαι, ὅτι τὸ Δ μετὰ τοῦ Ε συνδέεται. Ἆρά γε ἡ ἐν τῷ Ε ἀριστεία τοῦ Διομήδους, ὅστις ἐν τῷ τέλει (δηλαδὴ ἐκεῖ, ἔνθα ὁ Lachmann τοῦτο τέμνει) τοῦ τεττάρτου ᾄσματος[4]) ὑπὸ τοῦ Ἀγαμέμνονος ὡς δειλὸς χακίζεται, τυχαία ἐστίν; Ἆρά γε ὁ Πάνδαρος, ὅστις ἐν τῷ Δ[5]) τὰς ὅρκια παραβὰς τὸν Μενέλαον τιτρώσκει, ὅλως κατὰ τύχην ἐν τῷ Ε[6]) φονεύεται; Ἆρά γε ἡ Ἀφροδίτη, ἥτις ἐν τῷ Γ τὸν

---

1) Ἀπὸ τοῦ στίχου 422. 2) Κεφ. IX. 3) Στίχ. 207. 4) Στίχ 370—418. 5) Στίχ. 125. 6) Στίχ. 297.

Πάριν ἁρπάσασα αἰτία τῆς συγχύσεως τῶν ὁρκίων ἐγένετο, ὅλως κατὰ τύχην ἐν τῷ Ε[1]) *τιτρώσκεται;*

Τὸ δ' ἕκτον ᾆσμα τοῦ Lachmann *ἀπὸ τοῦ δευτέρου ἢ πέμπτου στίχου τοῦ Ζ ἀρχόμενον λήγει εἰς τὸν στίχον* 312 *τοῦ Η. Ἐν τῷ ᾄσματι τούτῳ παρατηρεῖ ὁ κριτικός, ὅτι, ἐν ᾧ μνημονεύονται τὰ ὅρκια, οὐ γίνεται μνεία τῆς πρὸς τὸν Πάριν μονομαχίας τοῦ Μενελάου*[2]). *Πρῶτον λέγομεν, ὅτι τὰ ὅρκια προϋποτιθέασι τὴν μονομαχίαν. Εἶτα δ' οὔτε ὁ Ἕκτωρ, οὔτε οἱ Ἀχαιοὶ ἠδύναντο ταύτης μνησθῆναι. Ἐκεῖνος μὲν οὐκ ἠδύνατο μνησθῆναι μονομαχίας μέγα αἶσχος τῆς Τρωσὶ προστριβούσης, οἱ δ' Ἀχαιοί οὐκ ἠδύναντο· διότι τοιαύτη ὑπόμνησις ἦν σημεῖον δειλίας. Εἰ οὗτοι ἀντὶ τῆς παραδοχῆς τῆς μονομαχίας προὔτασσον τὴν τοῦ Πάριδος φυγήν, ἔδιδον ἀφορμὴν τῷ Ἕκτορι, ἵνα τούτους δειλοὺς ὀνομάσῃ. Εἶτα ἐν τῷ τμήματι τούτῳ ἐνορῶμεν καὶ ἄλλους κρίκους τοῦτο μετὰ τῆς μονομαχίας τοῦ Πάριδος καὶ Μενελάου συνδέοντας. Τί ἐν τῇ προκλήσει τοῦ Ἕκτορος οὐκ ἐγείρεται μονομαχήσων ὁ Διομήδης, ὅστις πρὸ μικροῦ μέγαν τοῖς Τρωσὶ τρόμον ἐνέπνευσε καὶ πρὸς τὸν Ἄρη αὐτὸν ἐμαχέσατο; Μόνον, εἰ ἡ πρώτη μονομαχία προηγεῖται, ἐξηγεῖται τοῦθ', ὅτι πρῶτος ὁ Μενέλαος ἐγείρεται. Διότι οὗτος ἐκ τῆς πρώτης μονομαχίας τὸ θάρρος ἀντλῶν τολμᾷ, ἵνα καὶ πρὸς τὸν Ἕκτορα αὐτὸν μονομαχήσῃ*[3]). *Πρὸς δὲ ὁ* Lachmann *προσκρούει εἰς τὸν λόγον τῆς Ἀνδρομάχης, ἔνθα ἡ ἡρωὶς λέγει*[4]), *ὅτι οἱ Ἀχαιοὶ τρὶς παρὰ τῷ ἐρινεῷ ἐπειράθησαν, ἵνα τὴν πόλιν ἐκπορθήσωσιν. Διότι ὁ κριτικὸς τοῦτο οὐδαμοῦ τοῦ πέμπτου ᾄσματος εὑρίσκει*[5]). *Ἀλλ' ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ οἱ Ἀχαιοὶ ἐνίκων τοὺς Τρῶας καὶ μικροῦ δεῖν ἠνάγκαζον αὐτούς, ἵνα εἰς τὰ τείχη εἰσέλθωσιν, ὡς διαρρήδην λέγει ὁ ποιητής. Οἱ Ἀχαιοί, ὡς δοκεῖ, ἐν τῇ φορᾷ τῆς νίκης αὐτῶν προσεπέλασαν τῷ ἐρινεῷ, ἴσως δὲ καὶ ἡ γυνεκεία φύσις ἐμεγέθυνε τὸ πρᾶγμα. Πρὸς τούτοις οὐκ ἔστι δῆλον, εἰ ὁ ποιητὴς πά-*

---

1) *Στίχ.*336. 2) *Κεφ.* Χ. 3) *Ἰλιάδ. Η* 94. 4) *Ἰλιάδ. Ζ* 435.
5) *Κεφ* Χ.

σας τὰς μάχας καὶ πάσας τὰς διευθύνσεις αὐτῶν εἰκονίζει. Ἄλλως ἡ Ἀνδρομάχη οὐχ ὁρίζει τὸν χρόνον, καθ' ὃν οἱ Ἀχαιοὶ τοῦ ἔργου ἐπειράθησαν. Διότι ἡ τῆς ἡρωίδος φράσις οὐκ ἀποκλείει τὴν εἰκασίαν, ὅτι ἡ ἀπόπειρα πρὸ τῆς μήνιδος τοῦ Ἀχιλλέως ἐγένετο. Τελευταῖον παρατηροῦμεν, ὅτι ὁ διάλογος τοῦ Ἕκτορος καὶ τῆς Ἀνδρομάχης οὔκ ἐστι νοητός, ἂν μὴ οὗτος ᾖ τμῆμα μείζονος ἔπους καὶ διὰ τούτου ὁ τοῦ ἥρωος θάνατος προπαρασκευάζεται.

Ἀπὸ δὲ τοῦ στίχου 313 τοῦ Η μέχρι τοῦ 252 τοῦ Θ ἀποτελεῖται κατὰ τὸν Lachmann τμῆμά τι, ὅπερ ὡς ἑνότητος στερούμενον οὐ δύναται ὀνομασθῆναι ᾆσμα. Διὰ τοῦτο ὁ κριτικὸς ἕπεται τῷ Hermann θεωροῦντι τὸ μέρος τοῦτο τῆς Ἰλιάδος ὡς ἀλλόκοτον οἰκτροτάτου μιμητικοῦ ὕφους παράδειγμα[1]). Ὁ Lachmann λοιπὸν ἀξιοῖ, ὅτι τὰ ᾄσματα αὐτοῦ ἔχουσιν ἑνότητα καὶ ὅτι μόνον τὸ τμῆμα τοῦτο στερεῖται. Ἐπικαλούμεθα τὴν κρίσιν τῶν εἰδημόνων τῆς ποιήσεως, ἵνα ἀποφανθῶσιν, εἰ ἴχνος αὐτοτελοῦς ἑνότητος ἐν αὐτοῖς ὑπάρχει, καί, ἂν ὑπάρχῃ, εἰ αὕτη πρὸς τὴν τοῦ ὅλους ἔπους δύναται παραβληθῆναι. Ἡ τῆς Ἰλιάδος κατατομὴ ἐγένετο πρὸς ἐπίτευξιν ἑνότητος, ἧς οὐκ ἔτυχον. Πρὸς τί λοιπὸν κατατέμνουσι τὸ ἔπος; Τὸ τμῆμα τοῦτο ὄντως οὐκ ἔχει ἑνότητα, ἀλλ' οὔτε, ἅτε τμῆμα ὄν, ἠδύνατο ἔχειν, ὡς πάντα τὰ Λαχμάννεια ᾄσματα στεροῦνται αὐτοτελοῦς ἑνότητος. Ὁ κριτικὸς ἐνόμισεν, ὅτι τὸ μέρος τοῦτο τῆς Ἰλιάδος οὐδὲ τὸν ἐλάχιστον σύνδεσμον μετὰ τῶν ἡγουμένων ἔχει πλὴν δύο μόνων δυναμένων ἐξαλειφθῆναι. Οἱ σύνδεσμοι οὗτοί εἰσιν οἱ στίχοι, ἐν οἷς ὁ Αἴας ἐν τῇ εὐωχίᾳ τιμᾶται[2]), καὶ ἡ τῆς παραβάσεως τῶν ὁρκίων ἀνάμνησις[3]). Ἀλλ', εἰ ὁ κριτικὸς ἔχει τὸ δικαίωμα τοῦ ἐξοβελίζειν στίχους, ἡμεῖς ἔχομεν ἐξ ἴσου τὸ δικαίωμα νοεῖν ἄλλους, οἵτινες ἀπωλέσθησαν. Διὰ τοῦτο ὀφείλομεν κρίνειν τὸ ἔπος κατὰ τὴν παροῦσαν αὐτοῦ μορφήν. Πρὸς

1) Κεφ. XI „Man kann dies stück, wie es aller einheit ermangelt, nicht ein besonderes lied nennen, und gewiss mit recht hat es Hermann schon in der vorrede zu den hymnen S. VII als ein auffallendes beispiel des elendesten nachahmerstils aufgestellt." 2) Ἰλιάδ. Η 321 καὶ 322. 3) Αὐτόθι 351.

δὲ οὐκ ἐθαυμάζομεν, εἰ ὄντως ὁ Lachmann ἠδύνατο εὑρεῖν μέρος τι τῆς Ἰλιάδος συνδέσμων μετὰ τῶν ἄλλων αὐτῆς μερῶν στερούμενον. Διότι ὅμοιόν τι δύναται εὑρεθῆναι ἐν πᾶσι τοῖς ποιήμασι πάντων τῶν ποιητῶν. Ἀλλ' ἡμεῖς γε πλὴν τῶν εἰρημένων εὑρίσκομεν καὶ ἄλλους συνδέσμους. Τὸ μέρος τοῦτο συνδέεται μετὰ τῶν ἡγουμένων διὰ τοῦ χρόνου. Ἐν μὲν τῷ ἡγουμένῳ τμήματι ὁ Ἕκτωρ καὶ ὁ Αἴας μονομαχοῦσι μέχρι νυκτός [1], ἐν τούτῳ δὲ ἥ τε εὐωχία τῶν Ἀχαιῶν [2]) καὶ ἡ τῶν Τρώων ἀγορὰ [3]) ἐν νυκτὶ τελοῦνται. Ὁ τοῦ Νέστορος [4]) λόγος ἀφ' ἑνὸς καὶ ὁ τοῦ Πριάμου [5]) ἀφ' ἑτέρου, ἐν οἷς γίνεται πρότασις περὶ ταφῆς τῶν νεκρῶν, προϋποτιθέασι τὴν ἐν ταύτῃ τῇ ἡμέρᾳ φονικὴν μάχην. Τίς ποιητὴς ἠδύνατο ποιῆσαι ταφὴν νεκρῶν ἄνευ περιγραφῆς μάχης, καθ' ἣν οἱ νεκροὶ ἔπεσαν; Ἡ πρότασις τοῦ Ἀντήνορος περὶ ἀποδόσεως τῆς Ἑλένης [6]) προϋποτίθησι τὴν νίκην τῶν Ἀχαιῶν. Οὐ τυχαῖον δὲ φαίνεται ἡμῖν, ὅτι πρῶτος ὁ Διομήδης ἀποκρούει τὰ ὑπὸ τῶν Τρώων διδόμενα κτήματα τῆς Ἑλένης [7]). Διότι τὸ θάρρος αὐτοῦ ἀντλεῖ ἐκ τῆς προηγηθείσης ἀριστείας. Ἐν τῷ τμήματι τούτῳ οἱ Ἀχαιοὶ κατασκευάζουσι τὰ τείχη [8]), ὧν συχνάκις μνεία γίνεται ἐν τοῖς ἑπομένοις. Τελευταῖον δεῖ σημειῶσαι, ὅτι ἐν τούτῳ τῷ τμήματι ὁ Ζεὺς τοῖς θεοῖς τὴν εἰς τὰς μάχας [9]) ἀνάμιξιν ἀπαγορεύων σπουδαιότατον βῆμα ποιεῖται πρὸς ἐκπλήρωσιν τῆς ὑποσχέσεως. Ὥστε τὸ τμῆμα τοῦτο συνδέεται οὐ μόνον μετὰ τῆς πρώτης ῥαψῳδίας, ἀλλὰ καὶ μεθ' ὅλου τοῦ ἔπους. Πρὸς τούτοις ὁ Lachmann περὶ τοῦ τμήματος τούτου παρατηρεῖ. „Ἡ διήγησίς ἐστι τοσοῦτον βραχεῖα καὶ ἄτακτος, ὥστε οὐ δύναταί τις ἀσφαλῶς τὰς ἡμέρας λογίσασθαι. Η 381 πρωί ἐστι, 421 γίνεται ἡμέρα, 433 οὐκέτι πρωί (πάλιν;), 465 δύει ὁ ἥλιος, Θ 1 πάλιν ἀνατέλλει, 68 μεσημβρία ἐστίν" [10]). Ἀλλ' ὁ λογισμὸς τῶν ἡμερῶν οὐκ ἔστιν οὕτω δυσχερής, ὡς ὁ κρι-

1) Αὐτόθι 228. 2) Αὐτόθι 331. 3) Αὐτόθι 372. 4) Αὐτόθι 332. 5) Αὐτόθι 376. 6) Αὐτόθι 350. 7) Αὐτόθι 340. 8) Αὐτόθι 436. 9) Ἰλιάδ. Θ 5—29. 10) Κεφ. XI.

τικὸς ἐνόμισεν. Τό μόνον μέρος, ὅπερ ἠδύνατο ταράξαι τοὺς λογισμοὺς αὐτοῦ, ἐστὶν ὁ στίχος[1]), καθ' ὃν ὁ ποιητὴς λέγει, ὅτι ἦν ἠώς, ἐν ᾧ οὐκ εἶπε πρότερον, ὅτι ἐγένετο νύξ. Ἀλλὰ μόνον πεζὸς ἀναγνώστης δύναται προσκροῦσαι εἰς τοσοῦτον μικρὸν ὄχθον. Ἕκαστος ἐννοεῖ, ὅτι παρενέπεσε νύξ. Διότι ὁ ποιητὴς ἐν στίχῳ 421 λέγει, ὅτι ὁ ἥλιος προσέβαλε τὰς ἀρούρας. Ἐν τῇ ἡμέρᾳ ταύτῃ οἵ τε Τρῶες καὶ οἱ Ἀχαιοὶ ἀσχολοῦνται περὶ τὴν συνάθροισιν τῶν νεκρῶν καὶ καῦσιν αὐτῶν. Τούτου δὲ γενομένου οἱ μὲν Τρῶες ἀπῆλθον εἰς τὴν πόλιν, οἱ δ' Ἀχαιοὶ εἰς τὰς ναῦς. Τοῦτο σημαίνει, ὅτι νὺξ ἐπῆλθεν. Πρὸς δὲ οὐδεὶς δύναται νοῆσαι, ὅτι ἡ αὐτὴ ἔτι ἡμέρα ἐξακολουθεῖ. Διότι ἐν μὲν τῷ στίχῳ 421 ὁ ἥλιος ἀνύψωτο, ἐν δὲ τῷ στίχῳ 433 ἦν ἠὼς καὶ ἀ μ φ ι λ ύ κ η. Ὁ κριτικός, ὡς εἴρηται, ψέγει τὴν διήγησιν τούτου τοῦ τμήματος ὡς βραχεῖαν. Ἀλλ' οὐ περιεμένομεν ταύτην ἐκτενεστέραν. Ἀνακωχὴ ἐγένετο καὶ ἡ μάχη ἔπαυσεν. Τί ὁ ποιητὴς ὤφειλεν ἐνταῦθα εἰπεῖν; Ἴσως τις ἀπαιτεῖ ἐκτενεστέραν τῆς καύσεως καὶ τῆς ταφῆς τῶν νεκρῶν περιγραφήν. Ἀλλ', εἰ τοῦτο ὁ Ὅμηρος ἐποίει, ὁ κριτικὸς ἦν ἕτοιμος, ἵνα τοῦτο ταὐτολογίαν καὶ ἀπομίμημα τοῦ Ψ ὀνομάσῃ, ἔνθα ἐκεῖνος τὴν ταφὴν καὶ τὴν καῦσιν τοῦ Πατροκλείου πτώματος περιγράφει. Ἴσως ὁ κριτικὸς ἀπαιτεῖ ἐπεισόδιόν τι. Τοῦτο οὐκ ἀγνοεῖ ὁ ποιητής, ἀλλ' ἀποκρίνεται, ὅτι σ ι ω π ῇ[2]) εἷλκον τὰ πτώματα εἰς τὴν πυράν, καὶ προστίθησιν, ὅτι ὁ Πρίαμος καὶ τοὺς κλαυθμοὺς τοῖς Τρωσὶν ἀπηγόρευσεν. Ἄριστα λοιπὸν ποιεῖ ὁ ποιητής, ὅτι τὴν νεκρικὴν σιγὴν διὰ τῆς συνήθους αὐτῷ πολυλογίας οὐ ταράσσει. Λοιπὸν ὁ ποιητὴς ὤφειλε μὲν σιωπῆσαι, ἀλλ' οὐκ ἠδύνατο παραλιπεῖν τὴν ἀπαρίθμησιν τῶν ἡμερῶν, αἵτινες πρὸς καῦσιν καὶ ταφὴν τῶν νεκρῶν καὶ πρὸς κατασκευὴν τῶν τειχῶν ἀναγκαῖαι ἦσαν. Διότι ἄλλως ὁ κριτικὸς ἔμελλε ψέξαι τὸν ποιητὴν ὡς ὄντως τοῦτο ποιεῖ. Καὶ δὴ ψέγει τὸ μέρος τοῦτο τῆς Ἰλιάδος, ὅτι ἐν ὀλιγωτέροις τῶν 500 στίχων

1) Ἰλιάδ. Η 433. 2) Αὐτόθ. 427.

πολλὰ καὶ ποικίλα συμβαίνουσιν[1]. *Μνημονεύονται τέσσαρες εὐωχίαι, ὧν ἡ τελευταία ἐγένετο τὴν πρωίαν, ἐν ᾧ καθ' ὅλην τὴν νύκτα οἱ Ἀχαιοὶ εὐωχοῦντο. Ὁ κριτικός, ὡς δοκεῖ, ἀμνημονεῖ τοῦ χαρακτῆρος τῶν ὁμηρικῶν ἀνθρώπων, οἵτινες, ἂν μὴ μάχωνται, εὐωχοῦνται. Ἐν μὲν τοῖς ἀνακτόροις τοῦ Ὀδυσσέως οἱ μνηστῆρες πολλὰ ἔτη, ἐν δὲ τοῖς τοῦ Ἀλκινόου οἱ βασιλεῖς τῶν Φαιάκων καθ' ὅλον τὸν βίον εὐωχοῦνται. Οὕτως ἐγίνετο, ὁ δὲ ποιητὴς τὰ γινόμενα ἐμιμήθη. Ἄλλως ὁ κριτικὸς τότε μόνον ἠδύνατο ψέξαι τὸ μέρος τοῦτο, εἰ ἐκτενῶς ὁ ποιητὴς τέσσαρας εὐωχίας εἰκόνιζεν. Πρὸς δὲ ὁ ποιητὴς οὐχὶ ἀκαίρως ταύτας τοῖς αὐτοῦ μαχηταῖς παρέθηκεν. Διότι ἡ μὲν πρώτη*[2] *ἐγένετο μετὰ τὸ τέλος πολυμόχθου μάχης καὶ πρὸς τιμὴν τοῦ Αἴαντος. Τοῦθ', ὅπερ ἐποίησαν οἱ Ἀχαιοί, πράττουσι καὶ οἱ Τρῶες*[3]. *Ἡ δὲ τρίτη εὐωχία παρατίθεται τοῖς Ἀχαιοῖς, οἵτινες καθ' ὅλην τὴν ἡμέραν εἰργάζοντο πρὸς κατασκευὴν τῶν τειχῶν*[4]. *Τελευταῖον οἱ στρατιῶται πρὸ τῆς μάχης δειπνοῦσιν*[5]. *Ὥστε οὐδὲν τὸ παρὰ φύσιν. Πρὸς δὲ ὁ κριτικὸς ταράσσεται, ὅτι ὁ τερπικέραυνος Ζεὺς βροντᾷ καὶ κεραυνοβολεῖ*[6]. *Ἀλλ' ἴσως ταράσσεται διὰ τὸ ἀηθες· διότι ἡμεῖς οἱ κάτοικοι τῆς μεσημβρίας τὸ μέρος τοῦτο ὡς τὸ ἄριστον τῆς Ἰλιάδος θεωροῦμεν. Οἱ κεραυνοὶ τὴν θύελλαν τῆς μάχης περικοσμοῦσιν. Ἀλλ' ἴδωμεν καὶ τὰ αἴτια, δι' ἃ ὁ τερπικέραυνος τὸ ἔθος αὐτοῦ οὐ παρέβη. Μέχρι τοῦδε* (*Η* 478) *ὁ Ζεὺς ἔπεμψε μὲν τὸν Ὄνειρον, ὅπως τοὺς Ἀχαιοὺς εἰς μάχην παρασύρῃ, ὅμως οὗτοι καὶ ἀπόντος τοῦ Ἀχιλλέως τῇ βοηθείᾳ τῆς Ἥρας καὶ ἰδίως τῆς Ἀθηνᾶς παρὰ τὴν τοῦ Διὸς βούλησιν ἐνίκων τοὺ Τρῶας. Ἡ δ' ἀνάμιξις τῆς Ἀθηνᾶς τοσοῦτον προέβη, ὥστε ὁ Διομήδης βοηθείᾳ ταύτης τήν τε Ἀφροδίτην καὶ τὸν Ἄρη*[7]) *αὐτὸν ἔτρωσεν. Ἐπειδὴ δ' οὕτως οὐκ ἐπληροῦτο ἡ πρὸς*

1) *Κεφ.* XI „Es ereignet sich viel und mancherlei in noch nicht 500 versen; viermal essen *H* 313, 370, 466. *Θ* 53 (das letzte mal am morgen, nachdem eben *H* 476 die ganze nacht durch geschmaust worden ist), viermal donner und blitz . . .“ 2) *Ἰλιάδ. H* 313. 3) *Αὐτόθι* 370. 4) *Αὐτόθι* 466. 5) *Θ* 53. 6) *Ἰλιάδ. H* 478. *Θ* 75, 133 *καὶ* 170. 7) *Ἰλιάδ. E* 858.

τὴν Θέτιδα ὑπόσχεσις, ὁ Ζεὺς σκέπτεται, ἵνα τοῖς μὲν θεοῖς τὴν ἀνάμιξιν ἀπογορεύσῃ, τοὺς δ' Ἀχαιοὺς ἐκφοβήσῃ καὶ δὴ παννύχιος κακὰ μήδετο σμερδαλέα κτυπέων[1]. Διὰ τοῦ πρώτου λοιπὸν κεραυνοῦ ὁ τερπικέραυνος φόβον τοῖς Ἀχαιοῖς ἐμπνέει. Τὴν δ' ἑπομένην ἡμέραν ἀγορὰν τῶν θεῶν καλέσας ἀπαγορεύει τούτοις τὴν εἰς τὴν μάχην ἀνάμιξιν. Οἱ Ἀχαιοὶ ὅμως τὸ θάρρος ἐκ τῶν προτέρων νικῶν ἔχοντες ἐπὶ τοὺς πολεμίους ἐπέρχονται. Ὁ Ζεὺς ἀναγκάζεται, ἵνα τούτοις διὰ κεραυνοῦ δειλίαν ἐπιβάλῃ[2]. Καὶ ὄντως οἱ μὲν ἄλλοι Ἀχαιοὶ ὑπὸ δέους καταλαμβάνονται, ὁ Διομήδης ὅμως πρὸ ὀλίγων ἡμερῶν ἀριστεύσας ὁρμᾷ ἐπὶ τοὺς Τρῶας, οἵτινες ἔμελλον εἰσελθεῖν εἰς τὴν πόλιν, εἰ μὴ ὁ Ζεὺς τὸ τρίτον ἐκεραυνοβόλει[3]. Ὁ τὸ ἅρμα τοῦ Διομήδους ἡνιοχῶν Νέστωρ παραινεῖ τῷ ἥρωι ὑποχώρησιν καὶ οὗτος πείθεται. Ἀλλ' ὁ Ἕκτωρ ὑβρίζει τὸν ὑποχωρήσαντα, ὅστις τὰς ὕβρεις μὴ ἀνεχόμενος τρὶς μὲν πειρᾶται, ὅπως τοὺς ἵππους κατὰ τοῦ ὑβριστοῦ τρέψῃ, ἀλλὰ καὶ τρὶς ὑπὸ τοῦ κεραυνοῦ τοῦ Διὸς κωλύεται[4]. Τοσαύτην ἀρετὴν περιέχει τὸ μέρος τοῦτο τῆς Ἰλιάδος, ὅπερ ὁ Hermann καὶ Lachmann ὡς ἀλλόκοτον παράδειγμα οἰκτροτάτου μιμητικοῦ ὕφους ἐθεώρησαν! Οἱ κεραυνοὶ λοιπὸν σκοπίμως ἐβλήθησαν. Ὡσαύτως οὐ ψέγομεν τὸ μέρος τοῦτο τῆς Ἰλιάδος, ὅτι πολλὰ καὶ ποικίλα συμβαίνουσιν. Διότι ἐν τούτῳ γίνεται προπαρασκευὴ πρὸς νέαν τοῦ Τρωικοῦ πολέμου τροπήν. Πᾶσα δὲ προπαρασκευὴ φύσει πολυσύνθετός ἐστιν. Ὁ δὲ ποιητὴς ἦν μεμπτός, εἰ ἄνευ τῆς πολυσυνθέτου ταύτης προπαρασκευῆς εἰς τὴν νέαν τοῦ πολέμου φάσιν αἴφνης εἰσήρχετο.

Τὸ δ' ἕβδομον ᾆσμα τοῦ Lachmann (τὸ προηγούμενον τμῆμα ὁ ἀνὴρ οὐκ ἐθεώρησε τοιοῦτον) ἀρχόμενον ἐκ τοῦ στίχου 253 τοῦ Θ λήγει εἰς τὸν 484. Ἐν τῷ τμήματι τούτῳ εὑρίσκονται πλεῖστοι σύνδεσμοι ἀρρήκτως τοῦτο μετὰ τῶν ἡγουμένων συνδεόντες καὶ δὴ ἡ ἀνορυχθεῖσα τάφρος ἐν-

---

1) Η 478. 2) Θ 75. 3) Αὐτόθι 133. 4) Αὐτόθι 167.

ταῦθα μνημονεύεται[1]. *Ἀλλ' ὁ κριτικὸς παρατηρεῖ, ὅτι ἐν τούτῳ οὐ γίνεται μνεία τῶν τειχῶν. Ὁ ποιητὴς ὅμως ὠνόμασε τὴν τάφρον ὡς τὸ τελευταῖον τῆς ἐξόδου καὶ τὸ πρῶτον τῆς εἰσόδου. Διότι τοῦτο μόνον ἀπῃτεῖτο. Πρὸς δὲ ὁ Ζεύς, ὅστις ἐν τῷ ἡγουμένῳ τμήματι ἐκάθητο ἐπὶ τῆς Ἴδης*[2], *ἐν τῷ τμήματι τούτῳ ἔτι ἐνταῦθα διαμένει*[3]. *Ὁ αὐτὸς θεός, ὅστις ἐκεῖ λόγῳ τοῖς θεαῖς τὴν εἰς τὴν μάχην ἀνάμιξιν ἀπηγόρευσεν*[4], *ἐνταῦθα ἔργῳ κωλύει τὴν Ἀθηνᾶν*[5], *ἥτις δὴ αἰτιᾶται αὐτόν, ὅτι Θέτιδος ἐξήνυσε βουλάς*[6]. *Τὸ ἕβδομον ᾆσμα κατὰ τὸν κριτικόν, ὡς εἴρηται, λήγει εἰς τὸν στίχον 484· διότι ἐν τῷ στίχῳ 485 δύει ὁ ἥλιος, ἐν ᾧ οἱ Τρῶες οὔπω εἰς τὸ στρατόπεδον ἀπανῆλθον*[7]. *Νομίζει δ' ὁ ἀνὴρ οὐχ ἱκανόν, ὅτι μόλις ὁ ποιητὴς τὴν περιγραφὴν τῆς δύσεως τοῦ ἡλίου ἐτελείωσε καὶ εὐθὺς τοὺς Τρῶας εἰς ἀγορὰν ἤγαγεν. Τοῦτο δὴ ὑπερβαίνει τὰ ὅρια τῆς ἀνεκτῆς μικρολογίας. Ἀλλά, καὶ εἰ ὑπὸ ταύτην τὸν Ὅμηρον ὑπεβάλομεν, πάλιν οὗτος οὐχ ἁμαρτάνει. Διότι ὁ ποιητὴς δι' ὀλίγων στίχων τὴν τοῦ ἡλίου δύσιν εἰκονίζων ἐπιτάσσει τὴν τῶν Τρώων ἀγοράν, ἐν ᾗ μᾶλλον ἐνδιατρίβει. Ἴσως δὲ καὶ οἱ Τρῶες μετὰ τὴν δύσιν τοῦ ἡλίου συνῆλθον. Διότι οὗτοι νικῶντες ἐπεθύμουν μάχεσθαι, ὡς αὐτὸς ὁ Ὅμηρος διαρρήδην λέγει Τρωσὶν μέν ῥ' ἀέκουσιν ἔδυ φάος*[8].

Ὁ Lachmann *οὐκ εἰσέρχεται εἰς κριτικὴν ἔρευναν τῆς ἐννάτης ῥαψῳδίας, ἥτις κατ' αὐτὸν ἀποτελεῖ τὸ ὄγδοον ᾆσμα. Διότι λέγει*[9], *ὅτι πανταχοῦ φέρει τὸν τύπον τῆς μιμήσεως καὶ δὴ ὁ Ἀγαμέμνων οὐκ ἠδύνατο παρῳδῆσαι ἑαυτὸν χρώμενος φράσεσιν*[10], *ἃς ἐν τῇ δευτέρᾳ*[11] *τοῦ στρατοῦ πειρώμενος εἶπεν. Ἀλλ' ἕκαστον ἄτομον ἔχει ἴδιον τρόπον τοῦ σκέπτεσθαι καί, ὡς εἰκός, διὰ τῶν αὐτῶν φρά-*

---

1) *Ἰλιάδ.* Θ 255, 343. 2) *Αὐτόθι* 51. 3) *Αὐτόθι* 397. 4) *Αὐτόθι* 5—27. 5) *Αὐτόθι* 399. 6) *Αὐτόθι* 370. 7) *Κεφ.* XIII „Weiter können wir nämlich nicht gehen, denn Θ 485 erfolgt der untergang der sonne so unpassend als möglich, ohne dass erst die Troer heimkehren ...“ 8) *Ἰλιάδ.* 487. 9) *Κεφ.* XIII. 10) *Ἰλιάδ.* *Τ* 17. 11) *Στίχ.* 110.

σεων τὰς αὐτοῦ σκέψεις ἐκφράζει. Ὥστε οὐκ ἐννοοῦμεν, διὰ τί ὁ Ἀγαμέμνων ὤφειλε μεταβαλεῖν τὸν ἴδιον χαρακτῆρα. Εἰ δὲ τοῦτο ἐποίει, ἴσως ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ οὐκ ἦν πιστευτός. Νομίζομεν δ', ὅτι αἱ ἐν τῷ Ι φράσεις τοῦ Ἀγαμέμνονος ὑποστηρίζουσι τὴν γνησιότητα τῶν ἐν τῷ Β. Διότι ἐκ τῆς παραβολῆς γίνεται δῆλον, ὅτι ὁ ἥρως τὸν ἴδιον χαρακτῆρα διατηρεῖ. Ἄλλως ἡ περὶ ἀποχωρήσεως παρακέλευσις τοῦ Ἀγαμέμνονος ὑποστηρίζεται πολλαχῶς. Πρῶτον οἱ κεραυνοὶ τοῦ Διὸς καὶ αἱ τῶν Ἀχαιῶν ἧτται, καθ' ἃς πολλοὶ ἐφονεύθησαν, ἐνέπνευσαν τῷ ἡγεμόνι τὴν περὶ φυγῆς ἰδέαν. Τοῦτο δ' οὕτω πιθανόν ἐστιν, ὥστε καὶ ὁ Ἕκτωρ κελεύει τοὺ Τρῶας, ἵνα πῦρ μέχρις οὐρανοῦ καίοντες τὴν τῶν Ἀχαιῶν φυγὴν κωλύσωσιν [1]). Εἶτα σκοπίμως ὁ Ἀγαμέμνων σκέπτεται τῆς Τροίας ἀποχωρῆσαι, ὅπως μὴ πρὸ τοῦ Ἀχιλλέως ταπεινωθῇ.

Ἡ δὲ Δολώνεια τὸ ἔννατον ᾆσμα ἀποτελοῦσα κατα τὸν Lachmann ἀπό τε τῶν ἡγουμένων καὶ ἑπομένων καθαρῶς χωρίζεται. Ἀλλ' αἱ αἰτίαι εἰσὶ λίαν ἀσθενεῖς. Εἰ δ' αὕτη οὐ περιέχει πολλοὺς μετὰ τῶν ἄλλων μερῶν συνδέσμους, ἡ αἰτία οὐχὶ ἐν τῷ ποιητῇ, ἀλλ' ἐν τῇ ὕλῃ αὐτῇ ζητητέα. Διότι ἐν ταύτῃ εἰκονίζεται τοῦ Ὀδυσσέως καὶ Διομήδους ἐκδρομή τις μήτε τὴν τύχην τῶν μαχομένων δυναμένη μεταβαλεῖν, μήτε, ὡς εἰκός, ἐπὶ τῆς ὑποθέσεως τοῦ ὅλου ἔπους ἐπιδρῶσα. Πρὸς δὲ ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ἐδείξαμεν συνδέσμους ταύτην μετὰ τῶν λοιπῶν συνδέοντας. Ἀλλ' ὁ κριτικὸς παρατηρεῖ, ὅτι ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἡ πρωία ἔρχεται λίαν βραδέως. Διότι, εἰ καὶ ἐν τῇ ἐξόδῳ ἤδη τῶν ἡρώων ἡ πρωία ἦν ἐγγύς, ὅμως οὗτοι ἀπῆλθον εἰς τὸ στρατόπεδον τῶν ἐχθρῶν καὶ ἐπανελθόντες δειπνοῦσι καὶ εἶτα ἔρχεται η πρωία [2]). Ἀλλ' ἐν τῇ ἐξόδῳ ἦν ἱκανὴ νύξ· διότι κατὰ τὴν μαρτυρίαν τοῦ Ὀδυσσέως μόνον τὰ δύο τρίτα τῆς νυκτὸς παρῆλθον, τριτάτη δ' ἔτι μοῖρα λέλειπται [3]). Ἀλλὰ καὶ τοῦτο ἴσως ὑπερβολή ἐστιν. Διότι οἱ

---

1) Ἰλιάδ. Θ 509. 2) Κεφ. XIV. 3) Ἰλιάδ. Κ 253.

ἐπισπεύδοντες, ὡς ἐνταῦθα, χρῶνται συνήθως τοιαύταις ὑπερβολαῖς· π·χ· λέγουσιν ἡ νὺξ ἐγγύς, ὁ χειμὼν ἐγγύς, ὁ ἐχθρὸς ἐγγὺς κτλ. ἅπερ συνήθως οὐ σμικρὸν τοῦ ἀληθοῦς ἀφίστανται. Εἶτα τὰ ὑπὸ τῶν δύο ἡρώων διαπραχθέντα οὐκ ἦσαν τοσοῦτον πολλά, ὥστε ἐν τῷ τριτημορίῳ τῆς νυκτὸς οὐκ ἠδύναντο διαπραχθῆναι. Διότι τὰ στρατόπεδα οὐκ ἀπεῖχον πολύ. Οἱ νεώτεροι ἀναγκαζόμενοι ὑπὸ τῶν ἐχθρικῶν τηλεβόλων πόρρω ἀλλήλων στρατοπεδεύουσιν. Ἴσως δὲ καὶ ἡ ἠὼς ἐπῆλθε μὲν εὐθὺς μετὰ τὴν τῶν δύο ἡρώων ἀναχώρησιν ἐκ τοῦ Τρωικοῦ στρατοπέδου, ὁ δὲ ποιητὴς οὐκ εἶπέ τι περὶ τούτου, ὅπως μὴ τὸν τῆς διηγήσεως μίτον διακόψῃ. Ἀλλά, καὶ εἰ μὴ πᾶσαι αὗται αἱ ἀντιρρήσεις ὑπῆρχον, εἶχε δὴ ὁ ποιητὴς τοσαύτην ἐλευθερίαν, ἵνα πολλὰς πράξεις ἐν βραχεῖ χρόνῳ περιστείλῃ, ὡς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ ἔσται δῆλον. Τελευταῖον ὁ Lachmann *παρατηρεῖ, ὅτι, εἰ ὁ νοῦς ἐν τῇ οἰκοδομῇ ποιήματος ἄρχει, ὁ ποιητὴς οὐ δύναται ἐπιτρέψαι, ἵνα ἐν μιᾷ νυκτί, ἐν ᾗ τὰ πυρὰ τῆς φρουρᾶς τῶν Τρώων ἐγγὺς καίουσι, δύο ἐπιχειρήσεις, ἡ εἰς τὸν Ἀχιλλέα πρέσβευσις καὶ ἡ τοῦ ἐχθρικοῦ στρατοπέδου κατασκόπευσις, γένωνται. Λίαν δ' ἄτοπον θεωρεῖ ὁ κριτικός, ὅτι ὁ Ὀδυσσεὺς καὶ τῶν δύο ἐπιχειρήσεων μετέχει. Ἀλλ', εἰ καὶ οἱ νεώτεροι πάντα τὰ μέσα ἐξήντλησαν, ὅπως τὰς κατασκοπεύσεις κωλύσωσιν, ὅμως οἱ κατάσκοποι ἀείποτε τὰ αὐτῶν ἔργα διαπράττουσιν. Οἱ Τρῶες ἀνῆψαν μὲν πυρά, ἀλλὰ μόνον, ἵνα τὴν τῶν Ἀχαιῶν φυγὴν κωλύσωσιν, οὐχὶ δ', ἵνα συλλάβωσι καὶ κατασκόπους. Τοιαύτη ἰδέα οὐκ ἐπῆλθεν εἰς τὴν κεφαλὴν τοῦ Ἕκτορος καὶ διὰ τοῦτο τὸ ἔργον ἐπέτυχεν. Ἄλλως ἡ κατασκόπευσις ἐγένετο ἀξία ποιητικῆς περιγραφῆς, ὅτι τοιαύτην ἔκβασιν ἔσχεν. Ὁ δ' Ὀδυσσεύς, ὁ τὴν πόλιν τοῦ Πριάμου κατασκοπεύσας, ἠδύνατο πολὺ ἐπιτυχέστερον τὸ ἐχθρικὸν στρατόπεδον καὶ ταῦτα ἐν νυκτί. Τελευταῖον παρατηροῦμεν, ὅτι ὁ ἥρως ἦν ἀναγκαῖος ἐν ἑκατέραις ταῖς ἐπιχειρήσεσιν. Διότι αὗται ἀπῄτουν πειθὼ καὶ πανουργίαν.*

Τελευταῖον ἐξετάζομεν καὶ τὸ δέκατον ᾆσμα τοῦ Lach-

mann[1]). Ἐνταῦθα καὶ ἄλλοι κριτικοὶ προσέκρουσαν. Διότι ἐν τῇ ἀρχῇ τοῦ Λ ἡ διήγησις ἄρχεται ἐκ τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ οὐδὲν περὶ τῆς πρατέρας θέσεως τῶν στρατοπέδων λέγεται. Ὁ δὲ εὐφυὴς Friedländer[2]) ἀπορεῖ, ὅτι ὁ ποιητὴς οὐδεμίαν μνείαν ποιεῖται ἐκείνων, ὅσα ἐν τῷ Θ ἔλεγεν. Ἆρά γε οἱ Τρῶες ἐπέτρεψαν τοῖς Ἀχαιοῖς, ἵνα ἡσύχως ἐξελθόντες προσβάλωσι καὶ οὐκ ἐπειράθησαν, ἵνα τούτους ἐν πολιορκίᾳ κατέχωσιν; Ἆρά γε ὁ Ἕκτωρ οὐδὲν ἔπραξεν, ὅπως τὰς ὑπερηφάνους αὐτοῦ ἀπειλὰς ἐκτελέσῃ; Ἆρά γε ὁ Ζεὺς ἐπέτρεψεν, ἵνα ἡ δι' αὐτοῦ ἐνεργηθεῖσα θέσις τῶν στρατοπέδων καταστραφῇ καὶ οἱ Ἀχαιοὶ ὑπέρτεροι γένωνται; Πῶς ἐξηγεῖται, ὅτι οὗτος τὴν Ἔριδα ἔπεμψεν, ἵνα τοῖς Ἀχαιοῖς θάρρος ἐμπνεύσῃ; Ἀλλὰ πρὸς τοιαύτας ἀπορίας ὀφείλουσιν ἀποκριθῆναι ἐκεῖνοι, οἵτινες τὴν ἐννάτην ῥαψῳδίαν νόθην ἀποφαίνονται. Διότι ἡμεῖς τὴν γνησιότητα ταύτης δεχόμενοι οὐχ εὑρίσκομεν τοιαύτας ἀπορίας. Διότι ὁ Ζεὺς ἐν τῷ Θ ἐπίεσε τοὺς Ἀχαιούς, ὅπως τῆς διὰ τῆς πρεσβεύσεως ταπεινώσεως τοῦ Ἀγαμέμνονος ἐπιτύχῃ. Τούτου δ' ἐπιτευχθέντος ὁ θεὸς ὑπὸ τῶν συμφορῶν τῶν Ἀχαιῶν καὶ τῆς ταπεινώσεως τοῦ ἥρωος καμφθεὶς πέμπει τὴν Ἔριδα θάρρος τοῖς Ἀχαιοῖς ἐμπνεύσουσαν. Τοῦτο φαίνεται ἡμῖν ὅλως φυσικόν. Παρατηροῦμεν δ', ὅτι ἡ ἐνταῦθα τεθειμένη ἀριστεία τοῦ Ἀγαμέμνονος προϋποτίθησι τὴν ταπείνωσιν αὐτοῦ. Διότι ὁ Ζεύς, ὅστις τὸν ἥρωα ἀγαπῶν βασιλεύτατον ἐποίησε, τὴν ἀτιμίαν αὐτοῦ διὰ τῆς ἀριστείας ἀποτρίβει. Ἀλλά, καὶ εἰ ὁ θεὸς διὰ τὴν ὑπόσχεσιν ἠναγκάζετο, ὅπως τοὺς Ἀχαιοὺς καταπιέζῃ καὶ τὸν Ἀγαμέμνονα ἀκαταπαύστως ἀτιμάζῃ, ὁ ποιητὴς ὑπὸ ἐθνικῆς φιλοτιμίας ἀγόμενος, οὐκ ἠδύνατο τοῦτο ποιῆσαι. Πρὸς δὲ τὴν ἐρώτησιν, ὅτι ὁ Ἕκτωρ τὰς ἀπειλὰς αὐτοῦ οὐκ ἐξετέλεσεν, ἀποκρινόμεθα πρῶτον, ὅτι κατά τε τὸν Τρωικὸν μῦθον καὶ τὸ τοῦ ἔπους σχέδιον οὐκ ὤφειλεν ἐκτελέσαι καὶ δεύτερον διὰ τὸν οἶκτον τοῦ Διὸς οὐκ ἠδυνήθη. Οἱ δ' ἀποροῦντες, ὅτι οἱ Τρῶες οὐκ ἐπεχείρη-

1) Κεφ. XVIII. 2) Die Homerische Kritik von Wolf bis Grote σελ. 38.

σαν, ὅπως ἐν πολιορκίᾳ τοὺς Ἀχαιοὺς καθείρξωσι, μᾶλλον στρατηγηματικὸν νοῦν ἐπιδεικνύουσιν, ἢ ἀρχαίους μύθους κρίνουσιν. Ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἔστωσαν, ὅπως δείξωσι τὴν ἀξίαν τῶν αἰτίων, δι' ἃ ὁ μέγας κριτικὸς τὸ ἔπος εἰς ᾄσματα κατέταμεν.

Μέχρι τοῦδε τὴν πλοκὴν τῶν μύθων ἑκατέρων τῶν ἐπῶν ἐξετάσαντες τὴν ἑνότητα αὐτῶν ἐδείξαμεν. Ἐπειδὴ δὲ τὴν πλοκὴν τῶν μύθων διέρχονται μίτοι περὶ τῆς ἀρχικῆς τῶν ἐπῶν ἑνότητος μαρτυροῦντες, ἡ τούτων ἐξέτασις σπουδαία φαίνεται. Τοιοῦτοι μίτοι θεωροῦνται τῶν θεῶν καὶ τῶν ἡρώων ἐκεῖνοι, οἵτινες διὰ πάντων ἢ διὰ τῶν πλείστων μερῶν τοῦ ἔπους διέρχονται, ἡ γλῶσσα, τὸ μέτρον, ὁ τόπος, ὁ χρόνος καὶ τὰ τοιαῦτα. Ἐπειδὴ ὅμως ἡ ἐξέτασις πάντων τούτων ἐστὶν ἔργον οὐ σμικρόν, ἐξετάζομεν μόνον τὸν τόπον καὶ τὸν χρόνον, εἰς ἃ ὁ ποιητὴς μᾶλλον ὤφειλε προσέχειν τὸν νοῦν.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν ἐξαγομένης ἐκ τῆς τοπογραφικῆς συμφωνίας.

Ἄλλοι μὲν θαυμάζουσιν, ὅτι ὁ ποιητὴς ἄνευ γραφῆς ἠδύνατο ὑποτυπῶσαι καὶ διατηρῆσαι ἐν τῇ μνήμῃ αὐτοῦ ὁλόκληρον Ἰλιάδα καὶ Ὀδύσσειαν, ἡμεῖς ὅμως θαυμάζομεν, ὅτι οἱ περὶ τὸν Πεισίστρατον ἠδυνήθησαν, ἵνα αὐτοτελῆ ᾄσματα εἰς τοπογραφικὴν ἁρμονίαν καὶ χρονολογικὴν σειρὰν ὑποβάλωσιν. Εἰ μὴ οὗτοι νέους μύθους ἐδημιούργουν καὶ νέα ᾄσματα ἐποίουν, τὸ ἔργον ἦν οὐχὶ δυσχερές, ἀλλὰ φύσει ἀδύνατον. Διότι τοῖς ἀοιδοῖς τῶν Μυκηνῶν, τῆς Σπάρτης, τῆς Θεσσαλίας καὶ τῶν ἄλλων ἑλληνικῶν χωρῶν τὰ Τρωικὰ πεδία μετὰ τοῦ Σιμόεντος καὶ Σκαμάνδρου, τὰ Πέργαμα τῆς Τροίας καὶ τὰ ἀνάκτορα τοῦ Πριάμου παρίσταντο ὡς αἱ χῶραι, οἱ ποταμοὶ καὶ τὰ ἀνάκτορα τῶν

ἡγεμόνων, παρ' οἷς ᾖδον. Κατὰ τὴν διάφορον δὲ ταύτην τοπογραφικὴν παράστασιν ὤφειλον ποιῆσαι καὶ τὰ ᾄσματα αὐτῶν. Διότι, εἰ μὴ οὕτως οἱ ἀοιδοὶ ἐποίουν, ὤφειλον ἢ ἔχειν ὑπ' ὄψιν τοπογραφικοὺς χάρτας, ἢ πάντες, περὶ ὧν ὁ ποιητὴς λέγει, αὐτοδίδακτος δ' εἰμί, θεὸς δέ μοι ἐν φρεσὶν οἴμας παντοίας ἐνέφυσεν, δίκην νεωτέρων περιηγητῶν μεταβῆναι εἰς τὰ Τρωικὰ πεδία πρὸς τοπογραφικὰς παρατηρήσεις, ὅπερ περὶ ἐκείνης τῆς ἐποχῆς οὐ δύναται νοηθῆναι. Εἰ λοιπὸν τὰ δημοτικὰ ᾄσματα ὤφειλον εἶναι περιγραφαὶ πασῶν τῶν χωρῶν τῆς Ἑλλάδος καὶ πάντων τῶν ἀνακτόρων τῶν ἡγεμόνων, παρ' οἷς οἱ ἀοιδοὶ ᾖδον, πῶς ἠδύναντο οἱ περὶ τὸν Πεισίστρατον τοιαῦτα ᾄσματα συντῆξαι; Ἡ ἐν τοῖς ὁμηρικοῖς ἔπεσι τοπογραφικὴ συμφωνία οὐ δύναται ἀποδοθῆναι τοῖς μύθοις. Διότι καὶ οὗτοι ὑπὸ πολλῶν ἐποιήθησαν καί, εἰ ὑφ' ἑνὸς μὲν ἐποιήθησαν, ὑπὸ πολλῶν δὲ εἰς δημοτικὰ ᾄσματα μετεμορφώθησαν, τὸ ζήτημα μένει τὸ αὐτό. Ἄρα ὑπολείπεται μόνη ἡ ὑπόθεσις (τοῖς περὶ τὸν Wolf δηλαδή), ὅτι οἱ περὶ τὸν Πεισίστρατον ἀπέταμον καὶ μετέβαλον πάντα τὰ μέρη, ἐν οἷς μνεία τόπου ἐγίνετο. Ἀλλ', εἰ οὗτοι τοσαύτας καὶ τοιαύτας μεταβολὰς ἐπεχείρουν, οὔτε διεσκεύαζον, οὔτε συνέτηκον δημοτικὰ ᾄσματα, ἀλλ' ἐδημιούργουν νέα, ἅπερ ἥρμοζον ὀνομάζεσθαι Ὀνομακρίτεια, Πεισιστράτεια ἢ οὕτω πως.

Ἀνάλογα πρὸς τὰ περὶ Ἰλιάδος εἰρημένα ἰσχύουσι καὶ περὶ τῆς Ὀδυσσείας. Διότι ἕκαστος ναύτης, ἕκαστος πλανηθεὶς ἀοιδὸς ἢ μυθοποιὸς ἀκουσίως ἑαυτὸν πρὸς τὸν Ὀδυσσέα παραβάλλων ἐν τῇ φαντασίᾳ αὐτοῦ ἐνόμιζε τὸν ἥρωα διαπλεύσαντα πελάγη, ὅσα καὶ αὐτός, ὡς δὴ ἐν τοῖς μεθ' Ὅμηρον μύθοις ὄντως ὁρῶμεν. Εἰ δ' οἱ περὶ τὸν Πεισίστρατον δημοτικὰ ᾄσματα παρελάμβανον, ὤφειλον εὑρεῖν ἐν αὐτοῖς τοσαύτας πλάνας καὶ οὕτως ἀπ' ἀλλήλων ἀπεχούσας καὶ οὕτω πολλαχόσε διευθυνομένας, ὁπόσε Ἕλληνες ναῦται πρὸ τοῦ τυράννου ἐπλανήθησαν. Ἀλλ', ἐν ᾧ δημοτικὰ ᾄσματα τοιαύτας διαφορὰς ὤφειλον περιέχειν, τὰ ὁμηρικὰ ἔπη ἐπιδεικνύουσιν ἀκριβεστάτην τοπογραφι-

κὴν συμφωνίαν, ὡς γίνεται δῆλον ἔκ τε τῆς ἑπομένης περιγραφῆς καὶ τῆς ἀναιρέσεως τῶν δεικνυομένων ἀσυμφωνιῶν.

Ἡ Τροία ἀπὸ τῶν ὀρέων μέχρι τοῦ Ἑλλησπόντου ἐκτεινομένη ἦν εὐρεῖα[1]) καὶ πρὸς γεωργίαν ἐπιτηδεία, ὡς δεικνύουσι τὰ ἐπίθετα ἐριβῶλαξ καὶ ἐρίβωλος[2]). Ἐν δὲ τῷ μέσῳ ἔκειτο ἡ πόλις Ἴλιος, ὑπὲρ ἣν ὑψοῦτο ἡ ἱερὴ Πέργαμος[3]). Ἐπὶ δὲ τῆς Περγάμου ᾠκοδόμηντο ναοὶ τοῦ Διός[4]), τοῦ Ἀπόλλωνος[5]) καὶ τῆς Ἀθηνᾶς. Ἐνταῦθα ἦσαν τὰ τοῦ Πριάμου καὶ τὰ τῶν Πριαμιδῶν ἀνάκτορα, πρὸ ὧν ἔκειτο ἡ ἀγορὰ τῶν Τρώων[6]). Πρὸς δυσμὰς δὲ τῆς Τροίας ὑψοῦτο ἡ πολυπῖδαξ, ὑλήεσσα, μήτηρ θηρῶν, πολύπτυχος καὶ ὑψηλὴ Ἴδη, ἐφ' ἧς καθήμενος ὁ πατὴρ θεῶν τε ἀνδρῶν τε τὰς τῶν Ἀχαιῶν πρὸς τοὺς Τρῶας μάχας ἐθεᾶτο. Ἐν δὲ ταῖς πολυαρίθμοις τοῦ ὄρους κορυφαῖς ἐξεῖχε τὸ Γάργαρον, ἐφ' οὗ τέμενος καὶ θυήεις βωμὸς τῷ Διὶ ἀφιέρωτο[7]). Ἐντεῦθεν ἐξετείνετο σειρὰ ὀρέων μέχρι Τενέδου καὶ τοῦ Αἰγαίου πελάγους, ὅπου τὸ ἀκρωτήριον Λεκτὸν[8]) ἐσχηματίζετο. Ἐκ τῶν ὀρέων τῆς Ἴδης κατέρρεον εἰς τὴν θάλασσαν ὁ Ῥῆσος, ὁ Ἑπτάπορος, ὁ Κάρησος, ὁ Ῥοδίος, ὁ Γράνικος, ὁ Αἴσηπος, ὁ Σκάμανδρος καὶ ὁ Σιμόεις, ὧν οἱ τελευταῖοι δύο ἦσαν οἱ ἐπιφανέστεροι[9]). Ἐκ δὲ τοῦ Σκαμάνδρου ἐξέρρεον δύο πηγαί, ὧν ἡ μὲν εἶχε ψυχρότατον, ἡ δὲ θερμότατον ὕδωρ[10]). Ὁ ποταμὸς οὗτος οὐ πόρρω τῆς πόλεως μετὰ τοῦ Σιμόεντος ἑνούμενος εἰς τὴν θάλασσαν ἐξέρρεεν[11]). Αἱ τῶν ποταμῶν ὄχθαι ἐκαλύπτοντο ὑπὸ ἰτεῶν, πτελεῶν, μυρικῶν, λωτοῦ, θρύου καὶ κυπείρου[12]). Ἐν δὲ τῷ πεδίῳ, ἐφ' οὗ αἱ μάχαι, ὑπῆρχε φηγὸς[13]) καὶ συκῆ[14]). Ἐν αὐτῷ ἦσαν τρία μνημεῖα τῆς Μηρίνης ἢ Βατειας, τοῦ Ἴλου καὶ τοῦ Αἰσυήτου.

---

1) Ἰλιάδ. Ν 438. 2) Ἰλιάδ. Γ 74, 257. Ζ 315. Ι 329. Σ 67. 3) Ἰλιάδ. Δ 508. Η 21. Ζ 88, 257, 297, 317. Χ 383. Ω 700. 4) Ἰλιάδ. Ζ 257. Χ 172. 5) Ἰλιάδ. Ε 446, 512. Η 83. 6) Ἰλιάδ. Ζ 242. 7) Ἰλιάδ. Θ 48. Ξ 352, 292. Ο 152. Π 604. Χ 170. 8) Ἰλιάδ. Ξ 284. 9) Ἰλιάδ. Μ 19. 10) Ἰλιάδ. Χ 148. 11) Ἰλιάδ. Ε 774. Φ 308. 12) Ἰλιάδ. Φ 18, 242, 338, 350, καὶ 602. 13) Ἰλιάδ. Ζ 237. Ι 357. Λ 170. 14) Ἰλιάδ. Ζ 433.

Παρὰ μὲν τῷ πρώτῳ οἱ Τρῶες ἐτάχθησαν τὴν πρώτην τῆς μάχης ἡμέραν[1]), *ἐπὶ δὲ τοῦ τάφου τοῦ Ἴλου ἀνίδρυτο στήλη, ἧς ὄπισθεν ἐκρύβη ὁ Πάρις, ὅτε τὸν Διομήδη ἔτρωσεν*[2]), *ὁ δὲ τύμβος τοῦ Αἰσυήτου ἦν οὕτως ὑψηλός, ὥστε οἱ Τρῶες ἐπὶ τούτου ἀναβαίνοντες κατεσκόπουν τὸ στρατόπεδον τῶν Ἀχαιῶν*[3]). *Ἄλλη σκοπιὰ ἦν παρὰ τῷ ἐρινεῷ*[4]). *Πρὸς δὲ τῇ θαλάσσῃ ἀριστερόθεν μὲν τὸ τεῖχος τοῦ Ἡρακλέους*[5]), *ἑτέρωθεν δ' ὕψωμά τι Καλλικολώνη ὀνομαζόμενον*[6]). *Ἐν δὲ τῷ μέσῳ τῶν δύο τούτων ὑψωμάτων τὸ στρατόπεδον καὶ αἱ νῆες τῶν Ἀχαιῶν ἔκειντο.*

Οὕτω διὰ βραχυτάτων περιεγράψαμεν τὸ Τρωικὸν πεδίον, ἐφ' οὗ τὰ ἐν τῇ Ἰλιάδι διαπράττονται. Ἕκαστος δὲ παρατηρεῖ, ὅτι τὰ πλεῖστα τῶν εἰρημένων σημείων καθ' ὅλον τὸ ἔπος διέρχονται. Ἡ δὲ τοιαύτη συμφωνία οὐ δύναται ἄλλως ἐξηγηθῆναι, ἢ διὰ τῆς ὑποθέσεως ἑνὸς ποιητοῦ. Οἱ τοπογραφικῶς τὴν Ἰλιάδα ἐξετάσαντες εὑρίσκουσι μὲν ἀσυμφωνίας τινάς, ἀλλ' αὗται, ὡς νομίζομεν, ἐκ παρανοήσεως τοῦ ἔπους ἀπορρέουσιν. Ἴδωμεν.

Πρῶτον ὁ Spohn[7]) *καὶ εἶτα πολλοὶ ἄλλοι, ἐν οἷς καὶ ὁ σοφὸς* Geppert[8]), *ἀκριβέστατα τὸ ζήτημα τοῦτο ἠρεύνησαν. Ὁ τελευταῖος εὑρίσκει ἀηθές τι ἐν τῇ πέμπτῃ ῥαψῳδίᾳ· διότι ὁ Ὅμηρος λέγει, ὅτι ὁ ὑπὸ Ἀντιλόχου φονευθεὶς Μύδων κεῖται ἐπὶ βαθείας κόνεως,*

κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους,
δηθὰ μάλ' ἑστήκει — τύχε γάρ ῥ' ἀμάθοιο βαθείης —
ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσιν[9]).

διότι κατ' αὐτὸν ὁ ποιητὴς τὴν ὅλην χώραν ὀνομάζει ἐριβώλακα καὶ ἄλλως ἐν τῷ πεδίῳ τῆς μάχης μόνον περὶ κόνεως, οὐδέποτε δὲ περὶ βαθείας ψάμμου ὁ λόγος ἐστίν. Ἡ ψάμμος ἀείποτε μόνον παρὰ τῇ ἀκτῇ τῆς θαλάσσης καὶ παρὰ τῷ Ξάνθῳ μνημονεύεται καὶ οὐδόλως φαίνεται πα-

---

1) *Ἰλιάδ.* B 811. 2) *Ἰλιάδ.* Λ 371. 3) *Ἰλιάδ.* B 793. 4) *Ἰλιάδ.* X 145. 5) *Ἰλιάδ.* Y 145. 6) *Αὐτόθι* 53 *καὶ* 151. 7) De agro Trojan. in carm. Hom. descript. Lips. 1814. 8) Ueber den Ursprung der Homerischen Gesänge I, 394 *καὶ ἑξῆς*. 9) *Ἰλιάδ.* E 587.

ράδοξον, ὅτι ἐκεῖ αὕτη ὑπάρχει[1]). Ἀλλ᾽ ὁ ποιητὴς οὐ νοεῖ ψάμμον, ἀλλὰ κόνιν, ὡς οἱ ἀρχαῖοι ἤδη παρετήρησαν. Ὁ μὲν Εὐστάθιος λέγει „ἐνταῦθα δὲ ὅρα καὶ ὡς οὐ ταὐτὸν ψάμαθον εἰπεῖν καὶ ἄμαθον, ἀλλὰ ψάμαθος μέν ἐστιν ἡ καὶ ψάμμος (Ὀδυσσ. Μ 243), ἄμαθος δὲ κόνεώς τι φαίνεται εἶδος", τῶν ἀρχαίων δέ τις Σχολιαστῶν εὐφυῶς ἐσημείωσεν „ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει] ὅτι ἄμαθον ποιεῖ· οὕτω δὲ λέγει τὴν πεδιάσιμον κόνιν. Ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων „κύνες διημάθυνον ἄνδρα δεσπότην"[3]). Ἀλλά, καὶ εἰ ἡ ἄμαθος ἐσήμαινε ψάμμον, πάλιν τὸ χωρίον τοῦτο τὴν ταὐτότητα τοῦ ποιητοῦ μαρτυρεῖ. Διότι οὗτος γινώσκων, ὅτι οὐδαμοῦ ἐμνήσθη ψάμμου ἐν τῷ πεδίῳ τῆς μάχης κειμένης, εἶπεν ἐν παρενθέσει τύχε γάρ ῥ᾽ ἀμάθοιο βαθείης. Τελευταῖον οὐχ εὑρίσκομεν παρὰ φύσιν, ὅτι ἐν τῷ Τρωικῷ πεδίῳ ὑπάρχει ψάμμος. Διότι καὶ οἱ ποταμοὶ τῆς αὐτῶν κοίτης ἐξερχόμενοι[4]) πολλαχοῦ τῆς ἐριβώλακος γῆς ἐπέχεον ψάμμον καὶ ἐκ τῆς πλημμύρας τῆς θαλάσσης[5]) τὸ αὐτὸ ἐγίνετο.

Εἶτα ὁ σοφὸς Geppert[6]) ἀπορεῖ, ὅτι ἐπὶ τοῦ Τρωικοῦ πεδίου δονάκων καὶ μυρίκης μνεία γίνεται[7]), ἅπερ κατ᾽ αὐτὸν οὐκ ἦσαν πόρρω τῶν νηῶν. Πρῶτον νομίζομεν, ὅτι ἐν πεδίῳ ὑπὸ πολλῶν, ὡς εἴρηται, ποταμῶν διασχιζομένῳ πανταχοῦ ἠδύναντο εὑρεθῆναι τοιαῦτα φυτά. Εἶτα οὐκ ἔστι δῆλον, ὅτι τὰ ἐνταῦθα μνημονευόμενα πόρρω τῶν ποταμῶν ὑπάρχουσιν. Διότι παρὰ τούτοις ὁ Ὀδυσσεὺς καὶ ὁ Διομήδης τῷ Δόλωνι ἐντυγχάνουσιν. Ἀμφιβάλλομεν δ᾽, εἴ ποτε ἄλλοι κατάσκοποι ἐν τοιαύτῃ χώρᾳ εὑρισκόμενοι προυτίμησαν κατασκοπῆσαι τὸ ἐχθρικὸν στρατόπεδον μᾶλλον δι᾽ ἐπιφανοῦς χώρου, ἢ διὰ ἀνωμάλου παραποτα-

---

1) Αὐτόθι σελ. 397 „Dies ist kaum glaublich, da Homer die ganze Landschaft mit dem Beiworte ἐριβῶλαξ bezeichnet und auch sonst nur vom Staube, niemals von tiefem Sande auf dem Schlachtfelde die Rede ist..." 2) Σελ. 584. 3) Εἰς Ἰλιάδ. Ι 593 Παράβαλ. Lehrs, De Aristarch. stud. Homer. σελ. 123 καὶ 124. 4) Ἰλιάδ. Φ 318. 5) Ἰλιάδ. Θ 458. 6) Αὐτόθι. 7) Ἰλιάδ. Κ 467.

μίου ἐδάφους. Ἀλλά, καὶ εἰ ἄλλοι τὸ πρῶτον, ὁ Δόλων καὶ ὁ δολόμητις Ὀδυσσεὺς εἶχον τοσοῦτον νοῦν, ἵνα τὸ δεύτερον προτιμήσωσιν. Περί γε τοῦ Ὀδυσσέως ἔχομεν ἱκανὴν ἐγγύησιν. Διότι ὁμοίαν τινὰ ἐκδρομὴν δι' ἕλους καὶ δονάκων ἐποίησεν[1]). Τελευταῖον αὐτὸς ὁ Ὅμηρος μαρτυρεῖ, ὅτι ἐπὶ τοῦ Τρωικοῦ πεδίου ὑπῆρχον ῥωπήια πυκνά[2]).

Ἐπειδὴ δ' ὁ Ὅμηρος ἐν τρισὶ μόνον τῆς Ἰλιάδος χωρίοις[3]) μέμνηται ὑψώματός τινος, ὁ σοφὸς Geppert[4]) νομίζει, ὅτι ὁ ποιητὴς τῆς 10ης, ὁ τῆς 11ης καὶ ὁ τῆς 19ης ῥαψῳδίας ἔχουσι διάφορον τοῦ Τρωικοῦ πεδίου παράστασιν. Ὁμιλοῦσι περὶ θρωσμοῦ πεδίοιο ὡς περὶ γνωστοῦ πράγματος. Τὸ ὕψωμα τοῦτο εὕρηται τὸ πρῶτον ἐν τῇ δεκάτῃ ῥαψῳδίᾳ ἐκεῖ, ἔνθα ὁ Νέστωρ ἐγείρων ἐκ τοῦ ὕπνου τὸν Διομήδη λέγει

Οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο.]

Πρὸ τοῦ ὕπνου ὁ ἥρως εἶδεν, ὅτι οἱ ἐχθροὶ ἐπὶ θρωσμῷ πεδίοιο ἐστρατοπέδευσαν. Εἰ δ' ὁ Νέστωρ νῦν ἐπιχειρεῖ ὡς περὶ ἀγνώστου περιγραφήν, ὁ κριτικὸς ἦν ἕτοιμος, ὅπως εἴπῃ, ὅτι ὁ κοιμώμενος ἥρως ἐν τῇ προτεραίᾳ οὐκ ἦν ἐν τῷ στρατοπέδῳ τῶν Ἀχαιῶν καὶ διὰ τοῦτο τῆς περιγραφῆς τοῦ γέροντος ἐδεῖτο. Πρὸς δὲ ὁ ὁμηρικὸς ἀκροατὴς καὶ ἐξ ἄλλης τοῦ ποιητοῦ φράσεως τὸν θρωσμὸν πεδίοιο γινώσκει. Μέμνηται ἴσως ὁ σοφὸς Geppert, ὅτι οἱ Τρῶες τὴν προτεραίαν συνῆλθον ἐν τόπῳ καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος[5]). Νομίζομεν δ', ὅτι μόνον ἐκ θρωσμοῦ πεδίοιο ὁ χῶρος τῶν νεκύων φαίνεται, οὐχὶ δὲ καὶ ἐκ χθαμαλῆς κοιλάδος. Ἀλλ', εἰ ὁ ποιητὴς ἐν τῷ πρώτῳ χωρίῳ ὤφειλεν εἰπεῖν περὶ τοῦ θρωσμοῦ πεδίοιο ὡς περὶ γνωστοῦ πράγματος, διὰ μείζονα λόγον ἐν τοῖς δυσὶ ἄλλοις τὸ αὐτὸ ὤφειλε πρᾶξαι. Διὰ τοῦτο ὁμολογοῦμεν μεγάλην χάριν τῷ σοφῷ Geppert, ὅτι διὰ τῆς παρατηρήσεως ταύτης παρέσχεν ἡμῖν ἀφορμήν,

1) Ὀδυσσ. Ξ 474. 2) Ἰλιάδ. Ψ 122. 3) Ἰλιάδ. Κ 160. Λ 56 καὶ Υ 3. 4) Αὐτόθι. 5) Ἰλιάδ. Θ 491.

ὅπως τὴν 10ην ῥαψῳδίαν τοπογραφικῶς οὐ μόνον μετὰ τῆς 8ης, ἀλλὰ καὶ μετὰ τῆς 11ης καὶ τῆς 19ης συνδεδεμένην ἴδωμεν. Πρὸς τούτοις ὁ σοφὸς ἀνὴρ παρατηρεῖ, ὅτι τῆς Θύμβρης μόνον ἐν τῇ 10ῃ ῥαψῳδίᾳ μνεία γίνεται[1]). Ἀλλὰ περὶ ταύτης ὁμιλεῖ ὁ Δόλων τῷ Ὀδυσσεῖ[2]). Οὗτος δ' οὐ δύναται περιγράψαι ταύτην τῷ ἥρωι πολλὰ ἔτη ἐν τῷ Τρωικῷ πεδίῳ μένοντι καί, ποῦ ἡ Θύμβρη κεῖται, γινώσκοντι. Μνημονεύεται μὲν αὕτη μόνον ἅπαξ ὑπὸ τοῦ Ὁμήρου, ἀλλ' ἕκαστος ποιητὴς καὶ συγγραφεὺς ἔχει ἅπαξ λεγόμενα. Πρὸς πᾶσι τούτοις ὁ τόπος οὗτος ὑπῆρχεν ἐν τῇ Τροίᾳ. Διότι ὁ Ὅμηρος γινώσκει ἄνδρα Θυμβραῖον[3]), ὃν ἐφόνευσεν ὁ Διομήδης.

Ὁ σοφὸς Geppert[4]) εὑρίσκει καὶ ἄλλας ἀντιφάσεις προδήλως, ὡς νομίζει, ἐλεγχούσας τὴν τοπογραφικὴν ἄγνοιαν τῶν μιμητῶν. Ὁ Ὅμηρος ἐν τῇ 24ῃ ῥαψῳδίᾳ λέγει, ὅτι ἡ Κασσάνδρα Πέργαμον εἰσαναβᾶσα[5]) τὸ πτῶμα τοῦ Ἕκτορος φερόμενον πρώτη εἶδεν. Ἐκ τῆς φράσεως ταύτης ὁρμώμενος ὁ κριτικὸς νομίζει, ὅτι ὁ ποιητὴς ταύτης ἐπὶ τῆς Περγάμου μόνον τὴν κατοικίαν τῶν θεῶν τίθησιν, οὐχὶ δὲ καὶ τὴν τοῦ Πριάμου καὶ τῶν τέκνων αὐτοῦ, ὡς ὁ Ὅμηρος. Ἀλλ' ἐν τῇ αὐτῇ ῥαψῳδίᾳ περὶ τοῦ Πριάμου καταβαίνοντος εἰς τὸ ἄστυ ὁ ποιητὴς λέγει, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευεν καρπαλίμως κατὰ ἄστυ[6]). Ἐκ τῆς φράσεως δὲ ταύτης δῆλον γίνεται, ὅτι ὁ ἄναξ οἰκεῖ οὐχὶ ἐν τῇ πόλει, ἀλλ' ἐπὶ τῆς ἀκροπόλεως. Λοιπὸν ὁ αὐτὸς ποιητὴς διὰ τῆς φράσεως Πέργαμον εἰσαναβᾶσα οὐ δύναται νοεῖν, ὅ, τι ὁ κριτικὸς λέγει. Διὰ τοῦτο νομίζομεν, ὅτι ἡ Κασσάνδρα μετὰ τῶν συγγενῶν λίαν πρωὶ ἦν παρὰ ταῖς πύλαις τῆς πόλεως, ὡς ἐν ὁμοίαις περιστάσεσιν ἐγίνετο[7]). Ἐπειδὴ δ' οὗτοι οὐδὲν περὶ τοῦ γέροντος ἐμάνθανον, ἡ θυγάτηρ αὐτοῦ τὴν Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν. Ἀλλὰ καὶ τοῦτο ἂν μὴ

---

1) Αὐτόθι σελ. 398. 2) Ἰλιάδ. Κ 438. 3) Ἰλιάδ. Λ 320. 4) Αὐτόθι σελ. 398. 5) Ἰλιάδ. Ω 700. 6) Αὐτόθι 326. 7) Ἰλιάδ. Ζ 237. Χ 25 καὶ 405.

ὑποτεθῇ, πάλιν ὁ ποιητὴς οὐκ ἀντιφάσκει. Διότι κεῖνται μὲν τὰ ἀνάκτορα τοῦ Πριάμου καὶ τῶν Πριαμιδῶν ἐπὶ τῆς Περγάμου, ἀλλ' αὕτη ἔχει ὑψηλότερα καὶ χθαμαλώτερα μέρη. Ὁ Πρίαμος μετὰ τῶν παίδων αὐτοῦ οἰκεῖ Ἰλίου ἐν πόλει ἄκρῃ, ὁ δὲ ναὸς τοῦ Ἀπόλλωνος, οὗ ἱέρεια ἡ ἡρωὶς ἦν, κεῖται Περγάμῳ ἄκρῃ[1]. Λοιπὸν ἡ Κασσάνδρα ἀνέβη ἐπὶ ὑψηλοτέρας κορυφῆς τῆς Περγάμου.

Ὁ αὐτὸς κριτικὸς[2]) εὑρίσκει ἀντίφασιν ἐν τῇ 11ῃ ῥαψῳδίᾳ. Διότι λέγει, ὅτι ὁ τῆς ἀριστείας τοῦ Ἀγαμέμνονος ποιητὴς τὸν ἐρινεόν, ὅστις κατὰ τὸν Ὅμηρον παρὰ ταῖς Σκαιαῖς πύλαις κεῖται, ἐν τῷ μέσῳ τῆς πεδιάδος τίθησιν. Ἀλλ' ἴδωμεν τὸ χωρίον, ἐν ᾧ ἡ ἀντίφασις·

> Οἱ δὲ παρ' Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο,
> μέσσον κὰπ πεδίον, παρ' ἐρινεὸν ἐσσεύοντο
> ἱέμενοι πόλιος[3]).

Ὁ ποιητὴς λέγει, ὅτι οἱ Τρῶες ὡρμῶντο πρὸς τὸ σῆμα τοῦ Ἴλου, εἶτα πρὸς τὸ μέσον τῆς πεδιάδος καὶ τελευταῖον πρὸς τὸν ἐρινεόν. Ἂν λοιπὸν κατὰ τὴν σειρὰν τῶν λέξεων τὴν διεύθυνσιν τῆς φυγῆς τῶν Τρώων, ὡς δεῖ, δεχθῶμεν, ὁ ἐρινεὸς οὐχὶ ἐν τῷ μέσῳ τοῦ πεδίου, ἀλλ' οὐ πόρρω τῆς πόλεως κεῖται. Πόσον δὲ οὗτος ἀπεῖχε τοῦ φρουρίου, καὶ ἐκ τῶν ἄλλων χωρίων, ὧν μνημονεύει[4]) ὁ κριτικός, οὐ γίνεται δῆλον.

Πρὸς τούτοις ὁ σοφὸς Geppert[5]) νομίζει, ὅτι ὁ τὴν 13ην ῥαψῳδίαν ποιήσας τὰς ναῦς τοῦ Αἴαντος τίθησιν ἐν τῷ μέσῳ, ὅπου ἦσαν αἱ τοῦ Ὀδυσσέως. Τοῦτο δ' ἐξάγει ἐκ τῆς φράσεως, νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι, Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν[6]). Ταῦτα ὅμως λέγει ὁ Ἰδομενεύς, ὅστις τρέπεται ἐπ' ἀριστερὰ οὐχ, ὅτι αἱ ἴδιαι νῆες ἔκειντο, ἀλλ' ὅτι ὀλίγοι ὑπέρμαχοι τῶν νηῶν ἦσαν[7]). Διότι τῶν Τρώων εἰς τὸ στρατόπεδον εἰσβαλόντων ἕκαστος οὐκ ἐφρού-

---

1) Ἰλιάδ. Ε 446 καὶ 460. 2) Αὐτόθι σελ. 398. 3) Ἰλιάδ. Λ 166. 4) Ἰλιάδ. Ζ 433 καὶ Χ 145. 5) Αὐτόθι σελ. 398 καὶ 399. 6) Ἰλιάδ. Ν 312. 7) Αὐτόθι 312 καὶ 327.

ρει τὰς ἰδίας ναῦς, ἀλλ' ἔτρεχεν ἐκεῖσε, ἔνθα μείζων ὁ κίνδυνος. Ἄλλως ἑαυτόν τε καὶ τοὺς συμμάχους τοῖς πολεμίοις προὔδιδεν. Διὰ ταῦτα ὁ Μηριόνης λέγει, Δευκαλίδη, πῆ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον; ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους, ἢ ἐπ' ἀριστερόφιν;[1]) Ἀλλά, καὶ εἰ πάντες οἱ ἄλλοι ἥρωες μόνον τὰς ἰδίας ναῦς ἐφρούρουν, ὁ Τελαμώνιος Αἴας, ὁ τὸν ἐμπρησμὸν πασῶν τῶν νηῶν κωλύων, οὐκ ἠδύνατο τοῦτο ποιῆσαι, ὡς καὶ ἐξ ὅλου τούτου τοῦ μέρους τῆς Ἰλιάδος δῆλον γίνεται καὶ διαρρήδην ὁ ποιητὴς λέγει, Ἀμφοτέρω δ' Αἴαντε κελευτιόωντ' ἐπὶ πύργων πάντοσε φοιτήτην[2]).

Τελευταῖον ὁ κριτικὸς νομίζει, ὅτι ὁ ποιητὴς τῆς 23ης ῥαψῳδίας οὐ γινώσκει τὴν τοπογραφίαν τῶν ἄλλων ῥαψῳδιῶν· διότι τίθησι τοὺς ἀγῶνας περὶ τὸν τάφον τοῦ Πατρόκλου, ὡσεὶ μὴ τάφρος καὶ τείχη ὑπῆρχον. Ἐν ᾧ κατὰ τὴν περιγραφὴν αὐτοῦ πρὸ τοῦ στρατοπέδου τῶν Ἀχαιῶν ἔκειτο μόνον μία εὐρεῖα πεδιάς, ἥτις ἦν οὕτω μεγάλη, ὥστε ὤφειλέ τις ἀναβῆναι ἐπὶ ὑψώματος, ὅπως τὸ ἐπὶ τοῦ σταδίου ἅρμα τοῦ Εὐμήλου ἴδῃ, ὅμως[3]) ταῖς ναυσὶν οὕτως ἐγγύς, ὥστε ἠδύνατό τις περιστερὰν ἀπὸ τοῦ ἱστοῦ δεδεμένην τοξεῦσαι. Οὕτω δὲ σφόδρα νομίζει ὁ σοφὸς ἀνήρ, ὅτι ὁ ποιητὴς ταύτης τῆς ῥαψῳδίας τὴν τοπογραφίαν τοῦ Τρωικοῦ πεδίου ἀγνοεῖ, ὥστε λέγει, ὅτι μόλις μνείας δεῖται. Ἀλλ' ὁ κριτικὸς οὕτω σφόδρα τὸν Ὅμηρον παρενόησεν, ὥστε νομίζομεν, ὅτι οὐ σπουδάζοντα ἀναιροῦμεν. Ἐτελοῦντο μὲν οἱ ἀγῶνες παρὰ τῷ τάφῳ τοῦ Πατρόκλου[4]) καὶ ὑπῆρχον τείχη καὶ τάφρος, ἀλλ' ἡ τοῦ στρατοπέδου περιοχὴ οὕτως εὐρεῖα ἦν, ὥστε καὶ ὁ στρατὸς τῶν Ἀχαιῶν καὶ ὁ τῶν Τρώων ὁμοῦ ἐχώρουν καὶ μάχαι ἐν αὐτῇ ἐγίνοντο. Ἐν

---

1) Αὐτόθι 307. 2) Ἰλιάδ. Μ 266. 3) Αὐτόθι σελ. 399 „Nach seiner Beschreibung befand sich vor dem Lager der Griechen nur eine weit ausgedehnte Ebene, so gross, dass man auf eine Anhöhe steigen musste, um zu gewahren, dass Eumelus seinen Wagen auf der Rennbahn entzweibrach, und dennoch den Schiffen so nahe, dass man eine Taube von einem Schiffsmast herabschiessen konnte.“ 4) Ἰλιάδ. Υ 258.

χώρῳ δέ, ἐν ᾧ δύο πολυαρίθμων στρατῶν κινήσεις ἐγίνοντο, ἀγῶνες μετὰ μείζονος εὐχερείας ἠδύναντο τελεσθῆναι. Ἐὰν ὅμως καὶ ὁ μέγας οὗτος χῶρος μὴ ἱκανὸς τῷ σοφῷ Geppert φαίνηται, τὰ τείχη καὶ ἡ τάφρος οὐκ ἐκώλυον τοὺς ἀγωνιζομένος. Διότι ταῦτα οὕτως εὐρείας πύλας εἶχον, ὥστε πολλὰ ὁμοῦ ἅρματα τῶν φευγόντων εὐκόλως εἰσήρχοντο. Οὐαὶ αὐτοῖς, εἰ μήτε αἱ πύλαι εὐρύταται ἦσαν, μήτε ἡ τάφρος παρὰ ταῖς πύλαις βατή, ὅτε ὑπὸ τῶν Τρώων ἐδιώκοντο! Οὕτως ὠφείλομεν ἐννοεῖν τὸ πρᾶγμα, εἰ ῥητῆς μαρτυρίας ἐστερούμεθα. Ἀλλ' ὁ Ὅμηρος οἱονεὶ πᾶσαν παρανόησιν προνοῶν λέγει, ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας, ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη[1]). Πρὸς τούτοις ὁ κριτικὸς ἀπορεῖ, ὅτι, ἐν ᾧ οἱ ἀγωνιζόμενοι εν εὐρείᾳ πεδιάδι εὑρίσκοντο, ὅμως οὕτως ἐγγὺς τῶν νηῶν ἦσαν, ὥστε ἱστῷ νηὸς περιστερὰ προσεδέθη. Ἀλλ' ὁ σοφὸς ἀνὴρ παρανοεῖ τὴν ὁμηρικὴν φράσιν, ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρῴροιο, τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν[2]), τὸν ἱστὸν ὡς μέρος τῆς νηὸς ἀναπόσπαστον θεωρῶν. Ἑκάστη λέξις τῆς εἰρημένης φράσεως δείκνυσιν, ὅτι ὁ ἱστὸς ἦν περιαιρετός, ὃν ὁ ἀγωνοθέτης ἔστησε τηλοῦ ἐπὶ ψαμάθοις. Εἰ δ' ὁ ἱστὸς τῇ νηὶ συνείχετο, ὁ ποιητὴς οὔτε ἔστησεν, οὔτε τηλοῦ, οὔτε ἐπὶ ψαμάθοις ἠδύνατο εἰπεῖν.

Αὗται εἰσιν αἱ πολυθρύλητοι τοπογραφικαὶ ἀντιφάσεις, ἃς ὅ τε Spohn καὶ Geppert ἐν τῇ Ἰλιάδι εὗρον. Ὁ πρῶτος ἀνεκάλυψε μὲν καὶ ὀλίγας ἄλλας, ἀλλ' αὐτὸς ὁ Geppert ἀναλαμβάνει τὸ ἔργον, ὅπως ταύτας ἀναιρέσῃ. Εἰ δ' αἱ ἀπὸ κοινοῦ εὑρισκόμεναι ἐλέγχονται προϊόντα παρανοήσεως, ἕκαστος ἐννοεῖ, ὅτι αἱ ὑπὸ τῶν εὑρισκόντων τοιαύτας ἀντιφάσεις ἀναιρούμεναι ὑπερβαίνουσι τὰ ὅρια τοῦ γελοίου. Καὶ ταῦτα μὲν περὶ τῆς τοπογραφίας τῆς Ἰλιάδος. Περὶ δὲ τῆς Ὀδυσσείας οὐκ ἔχομεν πάνυ ἀνάλογα. Διότι ἐκείνης μὲν αἱ τοπογραφικαὶ εἰδήσεις καὶ ἐν μικρῷ χώρῳ περιορίζονται καὶ διὰ τὴν φύσιν τοῦ πράγματος ἑκά-

---

1) Ἰλιάδ. Η 438. 2) Ἰλιάδ. Ψ 852.

στοτε ἐπαναλαμβάνονται, αἱ δὲ τῆς Ὀδυσσείας καὶ εἰς μέγαν χῶρον ἐκτείνονται καὶ οὐ συχνῆς τούτων μνείας γίνεται. Εὐτυχῶς ὅμως τὰ ἐκ τῆς τοπογραφίας συμπεράσματα κυροῦσι τὴν ἑνότητα ἐκείνου τοῦ ἔπους, ὅπερ μείζονος κυρώσεως ἐδεῖτο. Ἀλλὰ καὶ ἐν τῇ Ὀδυσσείᾳ δύναταί τις εὑρεῖν ἴχνη τῆς ταὐτότητος τοῦ ποιητοῦ. Ἐρίζουσι μὲν οἱ περὶ τὴν ὁμηρικὴν γεωγραφίαν ἀσχοληθέντες[1]) περί τινων χωρῶν, ὡς περὶ τῆς τῶν Λωτοφάγων καὶ τῆς νήσου τῆς Καλυψοῦς, ἀλλὰ σπουδαῖος τοῦ ἔπους ἐρευνητὴς ῥᾳδίως παρατηρεῖ, ὅτι οὐ μόνον ὁ πλανώμενος πρὸς τὸ αὐτὸ σημεῖον σπεύδει, ἀλλὰ καὶ αἱ χῶραι, εἰς ἃς ὁ ἥρως ἐπλανήθη, οὐ δύνανται τεθῆναι ἐκτὸς τῆς διευθύνσεως τῆς πλάνης. Ἐπειδὴ λοιπὸν αἱ τοῦ Ὀδυσσέως πλάναι ἧττον βεβαίας ἀποδείξεις περὶ τῆς ἑνότητος τοῦ ἔπους περιέχουσιν, οἱ κριτικοὶ πρὸς ἀλλοίας ἐρεύνας ἐτράπησαν. Καὶ δὴ ἐξετάζουσιν, εἰ οἱ λαοὶ καὶ αἱ χῶραι, ἃς ὁ τῆς Ἰλιάδος ποιητὴς γινώσκει, καὶ τῷ ποιητῇ τῶν μερῶν ἢ τοῦ ὅλου τῆς Ὀδυσσείας γνωστὰ ἦσαν. Ἀλλ' ἐκ τῆς λύσεως τῶν τοιούτων ζητημάτων ἐξαρτᾶται μόνον ἡ ταὐτότης τοῦ ποιητοῦ τῆς Ἰλιάδος καὶ τοῦ τῆς Ὀδυσσείας. Εἰσέλθωμεν ὅμως καὶ εἰς τὴν ἐξέτασιν αὐτῶν.

Κατὰ τὸν σοφὸν Geppert ἡ Ἰλιὰς διαφέρει τῆς Ὀδυσσείας κατὰ τοῦτο, ὅτι ἐν ταύτῃ οὐ γίνεται λόγος ἔτι περὶ Ἄργους Πελασγικοῦ. Τοῦτο ἀληθὲς μέν ἐστιν, ὅμως διὰ τοῦτο οὔτε τολμηρὰ συμπεράσματα ἐξάγομεν, οὔτε ἀποροῦμεν, ὡς οὐκ ἀποροῦμεν, ὅτι πλεῖσται τῆς τε μικρᾶς Ἀσίας καὶ τῆς ἀνατολικῆς Ἑλλάδος χῶραι, καίπερ πολλάκις ἐν τῇ Ἰλιάδι μνημονευόμεναι, ἐν τῇ Ὀδυσσείᾳ οὐδόλως ὀνομάζονται. Τὸ δὲ Πελασγικὸν Ἄργος καὶ ἐν τῇ Ἰλιάδι αὐτῇ μόνον ἅπαξ[2]) ὀνομάζεται. Εἰ ὁ Ὀδυσσεὺς περὶ τὴν Θεσσαλίαν ἐπλανᾶτο, ἴσως ὁ ποιητὴς τούτου ἐμέμνητο.

---

1) Klausen, Die Abenteuer des Odysseus aus Hesiod erklärt, Bonn 1834. Uschold, Geschichte d. trojanischen Krieges, Stuttg. 1836, σελ. 236. Uckert. Geographie der Griechen u. Römer τόμ. I, μέρος 2, σελ. 131 καὶ 161. Friedländer, Die Realien in der Iliade und Odyssee σελ. 40. 2) Αὐτόθι σελ. 402. 3) Ἰλιάδ. B 681.

Ἐπειδὴ ὅμως ἡ πλάνη περὶ τὰς δυτικὰς τῆς Ἑλλάδος χώρας ἐγένετο, ὁ ποιητὴς ὀνομάζει τὸ Ἴασον Ἄργος[1]).

Ὁ αὐτὸς ἀνὴρ παρατηρεῖ[2]), ὅτι τὸ μὲν Ἄργος μόνον ἔν τισι τῆς Ὀδυσσείας χωρίοις σημαίνει τὴν Πελοπόννησον, ὡς καὶ ἐν τῇ Ἰλιάδι, οἱ δὲ Ἕλληνες καθ' ὅλον ὀνομάζονται μὲν Ἀργεῖοι ἰδίως ἐκεῖ, ἔνθα ὁ λόγος περὶ τοῦ Τρωικοῦ πολέμου, ἀλλ' Ἄργος οὐ σημαίνει τὴν Ἑλλάδα καθ' ὅλον, ὡς ἐν τῇ Ἰλιάδι. Ἡ δὲ καθ' ὅλον Ἑλλὰς ἐν τῇ Ὀδυσσείᾳ σημαίνεται διὰ τῆς λέξεως Ἀχαΐα. Τὸ δὲ ὄνομα Ἀχαιοὶ ἔχει ἔτι ἐν τῇ Ὀδυσσείᾳ ἔντιμον σημασίαν, ὡς ἐν τῇ Ἰλιάδι, τὸ τῶν Ἀργείων ὅμως οὐχ ἧττον μὲν γενικόν, ὅμως ἧττον ἔξοχον σημασίαν ἔχει. Κατὰ τὸν κριτικὸν γίνεται δῆλον σαφέστατα ἐκ τούτου, ὅτι πρὸς τοῖς ἄλλοις οἱ μνηστῆρες ἐν τοῖς πρώτοις τῆς Ὀδυσσείας βιβλίοις ἀείποτε Ἀχαιοί, βασιλεῖς[3]) καὶ ἥρωες[4]) ὀνομάζονται καὶ τὰ ἀρχαῖα ἐπίθετα καρηκομόωντες[5]), δῖοι[6]) καὶ χαλκοχίτωνες[7]) ἔχουσιν, ἐν ᾧ οἱ Ἀργεῖοι οὐδαμοῦ τῆς Ὀδυσσείας διὰ κοσμητικοῦ ἐπιθέτου ἐπαινοῦνται. Κατὰ πρῶτον παρατηροῦμεν, ὅτι ὁ ποιητὴς καὶ ἐν τῇ Ἰλιάδι οὐκ ὀνομάζει τὴν ὅλην Ἑλλάδα μόνον διὰ τοῦ ὀνόματος Ἄργος, ἀλλὰ διὰ τοῦ Ἄργος καὶ Ἀχαιίς[8]). Πρὸς δήλωσιν δὲ τῆς Πελοποννήσου ἢ τοῦ μείζονος αὐτῆς μέρους ὁ ποιητὴς ἐν τῇ Ἰλιάδι λέγει πᾶν Ἄργος[9]). Εἶτα καὶ ἐν τῇ Ὀδυσσείᾳ τὸ Ἄργος ἔχει εὐρυτέραν σημασίαν. Ὁ Ἀγαμέμνων δὴ ἐν Ἅδου λέγει πρὸς τὸν Ἀχιλλέα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, ὃς θάνες ἐν Τροίῃ ἑκὰς Ἄργεος[10]). Ἐν τῇ φράσει ταύτῃ οὔτε τὸ ἱππόβοτον Ἄργος τοῦ Ἀγαμέμνονος, οὔτε τὸ Πελασγικὸν (εἰ τοῦτο ἐνοεῖτο, ὤφειλεν ἔχειν τὸ ἐπίθετον), ἀλλ' ἡ ὅλη Ἑλλὰς νοεῖται. Διότι πρὸς τοῖς ἄλλοις λέγεται ἐν ἀντιθέσει πρὸς τὴν Τροίαν. Ὑποθῶμεν ὅμως, ὅτι ἡ τοῦ Geppert διαίρεσις ὀρθή ἐστιν. Ἀλλ', εἰ ἐν τῇ Ὀδυσσείᾳ τὸ ὄνομα Ἀργεῖοι εὐρυτάτην σημασίαν ἔχει,

---

1) Ὀδυσσ. Σ 246. 2) Αὐτόθι σελ. 402. 3) Ὀδυσσ. Α 394. 4) Αὐτόθι 272. 5) Ὀδυσσ. Β 7. 6) Ὀδυσσ. Γ 116. 7) Ὀδυσσ. Δ 496. 8) Ἰλιάδ. Γ 75. Παράβαλ. καὶ Gladstone ἐν τῇ μεταφράσει ὑπὸ Schuster, σελ. 75. 9) Ἰλιάδ. Β 108. 10) Ὀδυσσ. Ω 36.

οὐκ ἐννοοῦμεν, διὰ τί καὶ τὸ ὄνομα Ἄργος οὐκ ἔχει ἐξ ἴσου εὐρεῖαν σημασίαν. Ἀλλ' αὖθις ὑποχωρήσαντες δεχθῶμεν ὁλόκληρον τὴν γνώμην τοῦ κριτικοῦ ὡς ὀρθήν. Ποῦ ἆρά γε κεῖνται τὰ αἴτια τῆς διαφορᾶς; Ἐν τῇ διαφορᾷ τοῦ ποιητοῦ ἢ ἐν ἄλλαις αἰτίαις; Νομίζομεν τὸ δεύτερον. Ἐπειδὴ ἐν τῇ Ἰλιάδι περιγράφεται πόλεμος, οὗ ὑπὸ τὴν ἡγεμονίαν τῶν Ἀργείων οἱ Ἀχαιοὶ μετέχουσιν, ὁ ποιητὴς ὀνομάζει αὐτοὺς διὰ τοῦ ὀνόματος τῶν ἡγεμόνων. Ἐν τῇ Ὀδυσσείᾳ ὅμως περιγράφεται πλάνη οὐχὶ τῶν Ἀργείων, ἀλλὰ τοῦ Ἀχαιοῦ Ὀδυσσέως. Ἐκεῖ δὲ τῆς Ὀδυσσείας, ἔνθα ὁ τῆς διηγήσεως μίτος τὸν ποιητὴν εἰς τὴν κοινὴν τῶν Ἀχαιῶν στρατείαν ἤγαγε, διὰ τοῦ ὀνόματος τῶν ἡγεμόνων αὐτοὺς ὀνομάζει. Παραδείγματος χάριν λέγει, ὅτε Ἴλιον εἰσανέβαινον Ἀργεῖοι[1]), πῦρ ἐν κλισίῃσι βαλόντες Ἀργεῖοι[2]), Ἀργεῖοι Τρῶές τε[3]). Ἡ δὲ Πηνελόπη λύει τὴν ἀπορίαν τοῦ κριτικοῦ. Διότι αὕτη περὶ μὲν τῆς στρατείας τῶν Ἀχαιῶν ὁμιλοῦσα ὀνομάζει αὐτοὺς Ἀργείους, περὶ δὲ τῆς ἐπανόδου Ἀχαιούς. Εἰ δ' ὁ Ὅμηρος τοὺς περὶ τὸν Ὀδυσσέα Ἀργείους ὠνόμαζεν, οὐ μόνον οὐκ ἦν νοητὸς (διότι οἱ Ἀργεῖοι οὐκ ἐπλανῶντο), ἀλλὰ προϋπετίθει καὶ τὴν ἡγεμονίαν ἔτι ἐν τῇ πλάνῃ ὑπάρχουσαν, ὅπερ ἄτοπον. Καὶ αὐτὸς ὁ Geppert, εἰ ἑκάτερα τὰ ἔπη ἐποίει, οὐκ ἠδύνατο ἄλλως ἐκφρασθῆναι. Καὶ δὴ εἰ στρατεία τις ὑπὸ τὴν ἡγεμονίαν τῶν Πρώσσων ἐγίνετο, ὁ ποιητὴς ἢ ὁ ἱστορικὸς ὁ ταύτην εἰκονίζων ἠδύνατο τούτους διὰ τοῦ ὀνόματος τῶν ἡγεμόνων ὀνομάσαι. Τῆς συμμαχίας ὅμως διαλυθείσης οἱ οἴκαδε ἐπανερχόμενοι τὸ ἴδιον ὄνομα ἔχουσιν. Διὰ ταῦτα λοιπὸν τὸ ὄνομα Ἀργεῖοι ἐν τῇ Ἰλιάδι καὶ τὸ ὄνομα Ἀχαιοὶ ἐν τῇ Ὀδυσσείᾳ προσηκόντως ἔχουσιν. Πρὸς τούτοις ὁ κριτικός, ὡς εἴδομεν, ἐν μὲν τῇ Ἰλιάδι εὑρίσκει τιμητικὰ ἐπίθετα τοῖς Ἀργείοις ἀποδιδόμενα, ἐν δὲ τῇ Ὀδυσσείᾳ οὐχί. Ἐάν τις ἐξαιρέσῃ τὴν τελευταίαν τῆς Ἰλιάδος ῥαψῳδίαν, ἐν ᾗ ὁ ποιητὴς τοὺς Ἀργείους ὀνομάζει αἰχμη-

1) Ὀδυσσ. Β 173. Σ 253. Τ. 126. 2) Ὀδυσσ. Θ 501. 3) Ὀδυσσ. Μ 119. Ρ 119.

τάς[1]), *ὀρθῶς εἶπεν ὁ* Geppert. *Ἀλλὰ ποῦ κεῖται ἡ αἰτία; Οἱ Ἀργεῖοι ἐν τῇ Ἰλιάδι ὀνομάζονται μὲν αἰχμηταί*[2]), *θωρηκταί*[3]), *φιλοπτόλεμοι*[4]), *χαλκοχίτωνες*[5]) *κτλ., ἀλλὰ καὶ ψέγονται ὡς ἰόμωροι, ἐλεγχέες*[6]), *ἀπειλάων ἀκόρητοι*[7]). *Πρὸς δέ, καὶ ἄλλα φῦλα ἐν τῇ Ἰλιάδι ἐπαινοῦνται*[8]), *ἐν ᾧ ἐν τῇ Ὀδυσσείᾳ ψιλῶς μνημονεύονται π. χ. οἱ Τρῶες. Εἰ λοιπὸν οὕτως ἔχει, ὁ σοφὸς* Geppert *οὐκ ὀρθῶς μόνον τοὺς Ἀργείους διαστέλλει. Ἡ δὲ αἰτία κεῖται ἐν τῇ διαφορᾷ τῆς ὑποθέσεως. Διότι ἐν τῇ Ἰλιάδι οἱ ἡγήτορες τοὺς ἰδίους στρατιώτας δι' ἐπαίνων, σκωμμάτων καὶ ὕβρεων εἰς μάχην ὀτρύνουσιν. Ὁ δὲ ποιητὴς τὰ αὐτοῦ συμφέροντα πανταχοῦ μετὰ τῶν ἰδίων ἡρώων συνδέων καὶ οἱονεὶ εἰς τὴν φύσιν τῶν προσώπων τοῦ ἔπους ἀναλυόμενος ἐπαινεῖ, σκώπτει καὶ ὑβρίζει. Τοὺς δ' Ἀργείους διὰ μείζονα αἰτίαν οὐκ ὀνομάζει διὰ τιμητικῶν ἐπιθέτων· διότι βαθύτατα ἐν τῇ ψυχῇ τοῦ ποιητοῦ κεῖται ἡ ἰδέα, ὅτι ὁ ἥρως τοῦ ἔπους διὰ τοὺς Ἀργείους πάσχει. Οὐκ ὀρθῶς δ' ὁ κριτικὸς λέγει, ὅτι ὁ Ὅμηρος τοὺς μνηστῆρας ὀνομάζει ἥρωας*[9]). *Εἰ ὁ ποιητὴς οὕτως ὠνόμαζεν αὐτούς, ἦν πρόδηλος ὁμηρικὴ εἰρωνεία. Ἀλλὰ τὸ ὄνομα τοῦτο ἐν ἀντιθέσει πρὸς τοὺς μνηστῆρας τοῖς Ἰθακησίοις ἀποδίδοται ὑπὸ τῆς Ἀθηνᾶς, ἥτις τὴν ἀνδρίαν τῶν ὑπηκόων ἐπιδεικνύουσα θάρρος τῷ Τηλεμάχῳ ἐμπνέει. Οὐδὲν δὲ τὸ παράδοξον, ὅτι οἱ μνηστῆρες ὀνομάζονται Ἀχαιοὶ καὶ βασιλεῖς. Διότι ταῦτά εἰσι οὐχὶ τιμητικὰ ἐπίθετα, ἀλλ' ὀνόματα τοῦ γένους καὶ τοῦ πολιτικοῦ ἀξιώματος δηλωτικά, ἃ ὁ ποιητὴς οὐκ ἠδύνατο παραλεῖψαι.*

Πρὸς τούτοις ὁ σοφὸς Geppert[10]) *παρατηρεῖ, ὅτι τὸ ὄνομα Ἑλλὰς ἔν τισι*[11]) *τῆς Ὀδυσσείας χωρίοις ἔχει εὐρυτέραν σημασίαν, δηλαδὴ σημαίνει τὴν χέρσον Ἑλλάδα ἐν ἀντιθέσει πρὸς τὴν Πελοπόννησον. Ἀλλὰ καὶ ἐν τῇ Ἰλιάδι τὸ ὄνομα ἔχει εὐρεῖαν σημασίαν. Διότι ὁ Ὅμηρος λέγει*

1) Ὀδυσσ. Ω 81. 2) Ἰλιάδ. Θ 472. 3) Ἰλιάδ. Φ 429. 4) Ἰλιάδ. Τ 269. 5) Ἰλιάδ. Δ 285. Μ. 354. 6) Ἰλιάδ. Δ 242. 7) Ἰλιάδ. Ξ 479. 8) Ἰλιάδ. Η 386. Γ 36. Δ 221. 9) Ὀδυσσ. Α 272. 10) Αὐτόθι Ι, σελ. 402 καὶ 403. 11) Ὀδυσσ. Α 344. Δ 276 καὶ 816.

περὶ τοῦ Φοίνικος, φεῦγον ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο, Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα, μητέρα μήλων, ἐς Πηλῆα ἄναχθ᾽[1]). Ἡ Ἑλλὰς λοιπόν, δι᾽ ἧς ὁ Φοίνιξ ἔφευγεν, οὐκ ἀνῆκε τῷ Πηλεῖ καὶ αὕτη ἦν εὐρύχωρος. Πρὸς δέ, ὁ Φοίνιξ λέγει περὶ ἑαυτοῦ οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα, φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο[2]). Κατὰ ταῦτα ὁ Φοίνιξ λείπει τὴν καλλιγύναικα Ἑλλάδα, ἔνθα ὁ Ἀμύντωρ ᾤκει. Ἐπειδὴ δ᾽ οὗτος ἐν Ἐλεῶνι[3]) ᾤκει, ὁ δ᾽ Ἐλεὼν ἐν Βοιωτίᾳ κεῖται[4]), ἄρα ἡ Βοιωτία καὶ ἡ χώρα τῆς χέρσου Ἑλλάδος, δι᾽ ἧς ὁ Φοίνιξ ἔφευγε, καλεῖται Ἑλλάς. Σημειωτέον δ᾽, ὅτι μόνον ἓν μέρος τῆς Ἑλλάδος διῆκε μέχρι τῆς χώρας τοῦ Πηλέως. Διότι ἡ Φθία[5]) οὐκ ἀνῆκε τῇ Ἑλλάδι. Ἐκ τῶν εἰρημένων λοιπὸν δῆλον γίνεται, ὅτι τὸ ὄνομα Ἑλλὰς ἔν τε τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ ἔχει καὶ τὴν στενὴν καὶ τὴν εὐρεῖαν σημασίαν. Τὸ δὲ Πανέλληνες[6]) ἔχει εὐρυτάτην σημασίαν. Ὁ κριτικὸς τὸ πρῶτον ἥμισυ τῆς Ὀδυσσείας πρὸς τὴν Ἰλιάδα παραβαλὼν τὰς εἰρημένας ἀντιφάσεις εὗρεν. Προβαίνων δὲ εἰς τὸ δεύτερον ἥμισυ εὑρίσκει τάς ἑπομένας.

Πρῶτον παρατηρεῖ, ὅτι ἐν τῷ δευτέρῳ ἡμίσει εὑρίσκομεν λαοὺς καὶ χώρας, ἃ ἐκ τῆς Ἰλιάδος οὐ γινώσκομεν, π·χ τὸ Ἴασον Ἄργος[7]). Ἀλλὰ πρῶτον οἱ ῥαψῳδοὶ κολακεύοντες τοὺς λαούς, παρ᾽ οἷς ᾖδον, παρενέβαλον ἴσως εἰς τὴν Ὀδύσσειαν ὀνόματά τινα. Εἶτα ἐν τῷ ἔπει τούτῳ εὑρίσκομεν καὶ ἔδει εὑρεῖν λαοὺς καὶ χώρας, ὧν ἐν τῇ Ἰλιάδι οὐδεμία μνεία γίνεται, διὰ τὴν ἁπλουστάτην αἰτίαν, ὅτι μόνον οἱ πλανώμενοι τοιαῦτα ὁρῶσι καὶ διηγοῦνται. Τὸ δ᾽ Ἴασον Ἄργος κατὰ τὸν Gladstone τὸ δυτικὸν τῆς Πελοποννήσου μέρος σημαῖνόν[8]) ἐστιν ὄνομα Πελασγικόν[9]), δηλαδὴ ἀρχαιότατον. Διὰ τοῦτο δὴ καὶ ὁ μνηστὴρ Εὐρύμαχος τὴν χώραν διὰ τοῦ ἀρχαιοτέρου ὀνόματος ὀνομάζει[10]). Διότι

---

1) Ἰλιάδ. I 478. 2) Αὐτόθι 447. 3) Ἰλιάδ. K 266. 4) Ἰλιάδ. B 500. 5) Ἰλιάδ. I 638. 6) Ἰλιάδ. B 530. 7) Αὐτόθι I, σελ. 403. 8) Homerische Studien σελ. 78. 9) Αὐτόθι σελ. 12. 10) Ὀδυσσ. Σ 246.

οἱ μνηστῆρες Πελασγοὶ ὄντες κατὰ τῆς Ἀχαϊκῆς δυναστείας ἐπανέστησαν[1]). Ἡ δ' εἰκασία αὕτη κυροῦται καὶ ἐκ τούτου, ὅτι οἱ Ἰασίδαι δύο ἢ τρεῖς γενεὰς πρὸ τοῦ Νηλέως ἐν τῷ Ὀρχομενῷ ἦρχον[2]), καὶ ὁ Ὅμηρος γινώσκει Ἴασόν τινα Ἀθηναῖον[3]) (μετὰ μεγάλης πιθανότητος Πελασγικῆς καταγωγῆς, ὡς ἦσαν οἱ πλεῖστοι Ἀθηναῖοι).

Εἶτα ὁ κριτικὸς νομίζων[4]), ὅτι ἐπὶ των ἡρωικῶν χρόνων μόνον αἱ ἀκταὶ τῆς μικρᾶς Ἀσίας, τῆς Φοινίκης καὶ τοῦ Ἀρχιπελάγους γνωσταὶ ἦσαν, εὑρίσκει ἄπορον, ὅτι περὶ τὰς τελευταίας τῆς Ὀδυσσείας ῥαψῳδίας μνεία τῆς Σικελίας γίνεται. Ἔτι δὲ μᾶλλον ἀπορεῖ ὁ κριτικός, ὅτι ἐν τῇ 20ῇ καὶ 24ῃ ῥαψῳδίᾳ μνημονεύεται ἡ νῆσος, ὡσεὶ μετὰ τῶν κατοίκων αὐτῆς οἱ Ἰθακήσιοι στενὰς σχέσεις εἶχον. Ἐξηγεῖ δὲ τοῦτο, ὅτι αἱ ῥαψῳδίαι αὗται βραδύτερον ἐποιήθησαν. Ἀλλ', εἰ οἱ κάτοικοι τῆς ἀνατολικῆς καὶ μεσημβρινῆς Ἑλλάδος σχέσεις πρὸς τοὺς τῆς μικρᾶς Ἀσίας εἶχον, οὐδὲν τὸ ἄπορον, ὅτι οἱ τῆς δυτικῆς Ἑλλάδος καὶ οἱ τῶν πέριξ νήσων μετὰ τῶν Σικελῶν συνεδέοντο. Εἰ ὁ Πάρις ξενίζεται ἐν Σπάρτῃ, εἰ ὁ Ἐφυραῖος Προῖτος ἐν Λυκίᾳ τὸν αὐτοῦ πενθερὸν ἔχει[5]), οὐδὲν τὸ παράδοξον, εἰ οἱ Ἰθακήσιοι ὁμοίας πρὸς τοὺς Σικελοὺς σχέσεις εἶχον. Ἀλλ' οὐδὲ τοιαύτας μεταξὺ Ἰθακησίων καὶ Σικελῶν εὑρίσκομεν. Διότι αἱ ὑπὸ τοῦ κριτικοῦ φερόμεναι μαρτυρίαι οὐ βεβαιοῦσι τοῦτο. Οἱ μνηστῆρες συμβουλεύουσι τῷ Τηλεμάχῳ[6]), ἵνα τὸν ἐπαίτην, ὑφ' ὃν λανθάνει ὁ Ὀδυσσεύς, εἰς ναῦν βαλόντες τοῖς Σικελοῖς πωλήσωσιν. Οὐδὲν δὲ τὸ παράδοξον, εἰ οὗτοι περὶ τὴν παραλίαν τῆς δυτικῆς Ἑλλάδος τοιοῦτον ἐμπόριον μετήρχοντο· διότι οἱ πολὺ πλέον τούτων ἀφιστάμενοι Φοίνικες ἐν τῇ αὐτῇ χώρᾳ τὸ αὐτὸ ἐμπόριον ἤσκουν. Ἐνταῦθα δ' οὐ δυνάμεθα σιωπῆσαι εἰκασίαν τινά, ἣν πρὸ πολλοῦ ἤδη συνελάβομεν· νομίζομεν δηλαδή, ὅτι οἱ ὁμηρικοὶ Σικελοί εἰσιν οὐχὶ οἱ ἄπειροι τοῦ ἐμπορίου ἐγχώριοι, ἀλλὰ Φοίνικες ἐν προομηρικῇ ἐποχῇ εἰς τὴν νῆσον ἀποι-

1) Gladstone, Homer. Studien σελ. 313. 3) Ὀδυσσ. Λ 281. 3) Ἰλιάδ. Π 333. 4) Αὐτόθι I, 408 καὶ 404. 5) Ἰλιάδ. Ζ 170. 6) Ὀδυσσ. Υ 382.

κήσαντες καί, ὡς εἰκός, τὸ ὄνομα αὐτῆς ἔχοντες. Ἡ εἰκασία αὕτη ἀπορρέει μὲν καὶ ἐξ ἄλλων, μάλιστα δ' ἐκ τῶν ἑπομένων παρατηρήσεων. Ὁ ὡς Σικανὸς μετὰ τοῦ πατρὸς αὐτοῦ διαλεγόμενος Ὀδυσσεὺς λέγει, ὅτι ἐστὶν ἐξ Ἀλύβαντος[1]). Ὁ δὲ Gladstone[2]), καίπερ ἐξ ἄλλης αἰτίας ὁρμώμενος, θεωρεῖ τὴν πόλιν Ἀλύβαντα, τὴν Ἀλύβην[3]) καὶ τὸν πλούσιον Σιδώνιον Ἀρύβαντα[4]) ὡς ὀνόματα συγγενῆ. Ἀλλ', ἐπειδὴ ὁ Ἀρύβας κατὰ τὴν μαρτυρίαν τοῦ Ὁμήρου ἦν Φοίνιξ, καὶ τὰ συγγενῆ ὀνόματα ἦσαν φοινικικά. Ἡ δὲ συγγένεια οὐ μόνον ἐκ τῆς ὁμοιότητος τῶν ὀνομάτων, ἀλλὰ καὶ ἄλλοθεν δήλη γίνεται. Ὁ Ὅμηρος ὀνομάζει τὴν μὲν Σιδῶνα πολύχαλκον, περὶ δὲ τῆς Ἀλύβης λέγει τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη[5]). Καὶ ἐνταῦθα, ὡς δοκεῖ, Φοίνικες τὸν ἄργυρον ἀνώρυττον καὶ τὴν πόλιν ὠνόμασαν. Ὁ δὲ Σιδώνιος Ἀρύβας ἐπαινεῖται ὡς ἀφνειός[6]). Ὁ Gladstone[7]) ἐν τοῖς ὀνόμασι τῶν Σικανῶν Ἀφείδαντος καὶ Ἐπηρίτου ἐνορᾷ πλοῦτον, ὡς καὶ ἐν τῇ ὁμηρικῇ φράσει, ὡς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοιν[8]). Ἕκαστος ἐννοεῖ, ὅτι χαλκός, ἄργυρος, πλοῦτος, δούλων ἐμπόριον καὶ τὰ τοιαῦτα οὐ δύνανται ἀποδοθῆναι τοῖς ἀρχαιοις κατοίκοις τοῖς Σικελίας τοῖς μηδὲ ἐν τοῖς ἱστορικοῖς χρόνοις τοιαῦτα σχοῦσιν, ἀλλὰ τοῖς ἀπατήλια εἰδόσι, τρώκταις καὶ πολυπαιπάλοις Φοίνιξιν. Τελευταῖον ὁ ἄναξ τῶν φιληρέτμων Ταφίων πλέει ἐπ' ἀλλοθρόους ἀνθρώπους, ἐς Τεμέσην μετὰ χαλκόν[9]). Κατὰ δὲ τὸν Στράβωνα[10]) ἡ Τεμέση ἔκειτο ἐπὶ τῆς Ἰταλίας. Ἀπίθανον, ὅτι οἱ ἐγχώριοι ἐπιτήδειοι πρὸς ἐκμετάλλευσιν χαλκοῦ ἦσαν. Μόνον οἱ ἄποικοι τῆς πολυχάλκου Σιδῶνος τοιαῦτα ἔργα ἐπετηδεύοντο Τῷ δεχομένῳ λοιπὸν τὴν ἡμετέραν εἰκασίαν οὐδὲν τὸ παράδοξον,

1) Ὀδυσσ. Ω 304. 2) Homerische Studien σελ. 40. 3) Ἰλιάδ. Β 857. 4) Ὀδυσσ. Ο 426. Ἴσως καὶ τὸ Λιλύβαιον ἢ Λιλύβη, ἣν μέχρι τῶν Ρωμαϊκῶν χρόνων Φοίνικες κατεῖχον, ἔχει μεγάλην τὴν συγγένειαν πρὸς τὸν Ἀλύβαντα. Ἐκ τῆς ὁμηρικῆς δὲ περιγραφῆς τούτου εἰκάζομεν, ὅτι ἔκειτο ἐν τῇ αὐτῇ θέσει, ἐν ᾗ καὶ τὸ Λιλύβαιον. 5) Ἰλιάδ. Β 857. 6) Ὀδυσσ. Ο 426. 7) Αὐτόθι σελ. 40. 8) Ὀδυσσ. Υ 383. 9) Ὀδυσσ. Α 180. 10) Ι, 6, 6.

ὅτι οἱ Ἰθακήσιοι τοὺς Φοίνικας τῆς Σικελίας ἐγίνωσκον. Ἀλλ' ἔστωσαν οἱ Σικελοὶ οἱοιδήποτε. Ἡμεῖς γε οὐχ εὑρίσκομεν τοσαύτας σχέσεις, ὅσας ὁ σοφὸς Geppert. Ὁ μὲν Ὀδυσσεὺς ἐπλανήθη εἰς Σικελίαν[1]), ὁ δ' ἐξ Ἀλύβαντος Ἐπήριτος τὰ αὐτὰ παθὼν ἦλθεν εἰς τὴν Ἰθάκην, ἀλλά με δαίμων πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα[2]). Πλάναι δὲ οὐδεμίαν σχέσιν ὑπαινίσσονται.

Τελευταῖον κατὰ τὸν κριτικὸν[3]) ἡ Ἰλιὰς διαφέρει τῆς Ὀδυσσείας· διότι κατ' ἐκείνην μὲν ἡ Κρήτη ἔχει ἑκατὸν πόλεις[4]), κατὰ ταύτην δέ μόνον ἐννενήκοντα[5]). Ἀλλ' ἀμφιβάλλομεν, εἰ ὄντως ἡ νῆσος ἐπὶ τῶν Τρωικῶν εἶχεν ἑκατὸν πόλεις. Διότι ὁ τῶν Κρητῶν ἡγεμὼν μόνον μετ' ὀγδοήκοντα νηῶν ἐπὶ Τροίαν ἐστρατεύσατο, ὡς ὁ Διομήδης[6]), καίπερ πάνυ ὀλίγων πόλεων ἄρχων. Διὰ τοῦτο τὸ ἀριθμητικὸν ὄνομα ἑκατόν ἐστι μόνον ποιητικὴ ἔκφρασις καὶ οὐχὶ μαθηματικὴ ἀκρίβεια, ὡς καὶ τὰ ἑκατόμπεδος[7]) καὶ ἑκατόμπυλος[8]). Μάλιστα δὲ δείκνυσι τοῦτο ἡ λέξις ἑκατόμβη. Διότι ὁ Ὅμηρος λέγει ἑκατόμβην δώδεκα βοῶν[9]). Ἀλλαχοῦ δὲ λέγει, ὅτι ὁ Ἄρης ἐβόησεν, ὅσσον τ' ἐννεαχίλιοι ἐπίαχον ἢ δεκαχίλιοι[10]), ἐν ᾧ οὐδὲν ὄργανον εἶχεν, ὅπως τὴν φωνὴν τοῦ θεοῦ μετρήσῃ. Καθ' ὅλον δ' εἰπεῖν, ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ὑπάρχουσι πλεῖστα παραδείγματα, ἐν οἷς οἱ ἀριθμοὶ καὶ μάλιστα οἱ μείζονες οὐ σημαίνουσι μαθηματικὴν ἀκρίβειαν, ὡς διὰ μακρῶν ὁ εὐφυὴς Gladstone[11]) κατέδειξεν. Ὀρθῶς δ' ὁ μέγας ἀνὴρ λέγει, ὅτ' ἡ εἰρημένη διαφορά ἐστι μᾶλλον ὁμοιότης τὴν ταὐτότητα τοῦ ποιητοῦ τῶν δύο ἐπῶν μαρτυροῦσα. Διότι ἐν ἑκατέροις τοῖς ἔπεσι διατηρεῖται ἡ αὐτὴ ποιητικὴ καὶ μὴ ἀκριβὴς ἔκφρασις[12]).

---

1) Ὀδυσσ. Ω 309. 2) Αὐτόθι 306. 3) Αὐτόθι I, 404. 4) Ἰλιάδ. B 649. 5) Ὀδυσσ. T 173. 6) Ἰλιάδ. B 568. 7) Αὐτόθι 164. 8) Ἰλιάδ. I 383. 9) Ἰλιάδ. Z 93 ἐν παραβολῇ πρὸς 115. 10) Ἰλιάδ. E 860. 11) Homerische Studien 449—464. 12) Αὐτόθι σελ. 458.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἑνότητος τῶν ὁμηρικῶν ἐπῶν ἐξαγομένης ἐκ τῆς χρονολογικῆς ἁρμονίας.

Οἱ σοφοὶ τῶν παρελθόντων ἤδη αἰώνων ἐπειράθησαν, ὅπως ὑπολογίσωσι τὸν χρόνον, καθ' ὃν τὰ ἐν τῇ Ἰλιάδι διαπράττονται, ὡς ἡ Dacier, *ὁ* Pope, *ὁ* Wood *καὶ ὁ* Heyne. *Κατά τινα διατριβὴν δημοσιευθεῖσαν ἐν τῷ* Mémoire de Trevoux (1708) *ὁ χρόνος ὑπελογίσθη εἰς* 49 *ἡμέρας, ὁ* Heyne[1]) *ὅμως εὗρε* 52 *μέχρι* 53 *ἡμερῶν καὶ ὁ* W. Müller[2]) *μόνον* 51. *Ὡς δ' ἐν τῷ περὶ τόπου ζητήματι, οὕτω καὶ ἐν τῷ περὶ χρόνου βραχύτατον χρονολογικὸν πίνακα προτάσσομεν.*

Τὰ βέλη τοῦ Ἀπόλλωνος φθείρουσι τὸν στρατὸν τῶν Ἀχαιῶν ἡμέρας[3])	9
Τὴν δεκάτην ὁ Ἀχιλλεὺς καλεῖ ἀγοράν[4])	1
Κατὰ τὴν μαρτυρίαν τῆς Θέτιδος οἱ θεοὶ ἀπῆσαν τοῦ Ὀλύμπου δώδεκα ἡμέρας. Ἐπειδὴ δὲ τοῦτο λέγεται ἐν τῇ ἡμέρᾳ τῆς ἀγορᾶς, αὕτη δ' ὑπελογίσθη, προστίθενται μόνον[5])	11
Ἐξ ἀρχῆς τῆς 2ης *ῥαψῳδίας μέχρι τοῦ στίχου* 21 *τῆς ἑβδόμης παρέρχεται ἡμέρα*	1
Ἐν τῇ αὐτῇ ῥαψῳδίᾳ ἀπὸ τοῦ στίχου 381—432 . .	1
Ἀπὸ δὲ τοῦ στίχου 433—465	1
Ἀπὸ δὲ τοῦ στίχου 465 *τῆς ἑβδόμης μέχρι τέλους τῆς δεκάτης*	1
Ἐξ ἀρχῆς τῆς 11ης *μέχρι τέλους τῆς* 18ης	1
Ἐξ ἀρχῆς τῆς 19ης *μέχρι τοῦ στίχου* 101 *τῆς* 23ης .	1
Ἀπὸ τοῦ στίχου 109—225 *τῆς αὐτῆς ῥαψῳδίας* . .	1
Ἀπὸ δὲ τοῦ στίχου 226 *μέχρι τέλους τῆς αὐτῆς ῥαψῳδίας*	1
	29

1) Excurs zu Iliad. *Σ*. 2) Homerische Vorschule *σελ.* 143 *σημ.* 2. 3) *Ἰλιάδ. Α* 53. 4) *Αὐτόθι* 54. 5) *Αὐτόθι* 424 *καὶ* 493.

Μεταφορὰ 29

Ὁ Ἀχιλλεὺς ἕλκει τὸ πτῶμα τοῦ Ἕκτορος περὶ τὸ σῆμα τοῦ Πατρόκλου ἡμέρας δώδεκα[1]. *Ἀλλ', ἐπειδὴ αὗται ἀπὸ τοῦ θανάτου τοῦ ἥρωος λογίζονται, καὶ ἐπειδὴ δύο ἤδη ἠριθμήσαμεν, προστίθενται μόνον δέκα ἡμέραι, ὧν ἡ τελευταία λήγει εἰς τὸν στίχον* 351 10

Τὴν ἐπομένην ἡμέραν ὁ Πρίαμος ἐπανέρχεται οἴκαδε 1

Ὁ γέρων λαβὼν ἕνδεκα ἡμερῶν ἀνακωχὴν ὅπλων δαπανᾷ ταύτας πρὸς ταφὴν τοῦ πτώματος τοῦ Ἕκτορος[2] . 11

51

Ἐάν τις τὸν ἐκτεθέντα πίνακα παρατηρήσῃ, εὑρίσκει σπουδαῖόν τι φαινόμενον. Ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ αἱ πράξεις ῥέουσι βραδέως, ὡς καὶ ἐν τῇ ἑβδόμῃ, 23η καὶ 24η, δηλαδὴ ἐν ἀρχῇ τοῦ ἔπους, πρὸ τοῦ μέσου καὶ περὶ τὸ τέλος. Τίς ἡ αἰτία τοῦ φαινομένου τούτου; Ἆρά γε δημοτικὰ ᾄσματα περιεῖχον τὸ φαινόμενον τοῦτο, ἢ νοῦς τις τὰ δίκαια ἐποίησεν; Ποιητὴς καὶ οὐκ εἰδὼς δύναται τῇ συμβουλῇ τῆς ἰδίας φύσεως ἑπόμενος ἢ ὑπὸ τῆς φύσεως τοῦ πράγματος ὠθούμενος ποιῆσαι τὰ δίκαια, οὐδέποτε ὅμως πληθὺς ποιητῶν διάφορον φύσιν ἐχόντων καὶ διάφορον σκοπὸν θηρευόντων. Θεωροῦμεν δὲ τὴν ἐν τῇ Ἰλιάδι ῥοὴν τοῦ χρόνου φυσικὴν διὰ τὴν ἑξῆς αἰτίαν. Οἱ μὲν Ἀχαιοὶ μακρὸν χρόνον πρὸ τῶν τειχῶν τῆς πόλεως τοῦ Πριάμου διαμένοντες καὶ πόρρω τῶν οἰκείων διατρίβοντες βαρέως φέρουσιν, οἱ δὲ Τρῶες ἐν τοῖς τείχεσι καθειργμένοι εἰσὶ καὶ ὑπὸ τῶν ἐπικούρων καταθλίβονται. Διὰ τοῦτο ἐν ἑκατέρῳ τῷ στρατοπέδῳ ἡ πρὸς μάχην ἐπιθυμία κορυφοῦται. Εἰ μὴ ὑπῆρχον διαφράγματα, ταῦτα ταχύτατα ἔμελλον πρὸς ἄλληλα συγκρουσθῆναι. Ἀλλὰ τοὺς μὲν Ἀχαιοὺς ἀναχαιτίζουσιν οἱ ὑψηλοὶ τῆς πόλεως πύργοι, τοὺς δὲ Τρῶας ὁ πελώριος καὶ ὠκύπους Ἀχιλλεύς. Οὗτος ὅμως ἤρισε πρὸς τὸν Ἀγαμέμνονα, ἡ ἔρις γεννᾷ μῆνιν, ἡ δὲ μῆνις τῆς μάχης τὸν ἥρωα ἀπέσπασεν. Οὕτω λοιπὸν τὸ ἓν φράγμα αἴρεται καὶ εὐθὺς ὁ εἷς στρατὸς ἐπὶ τὸν ἕτερον

---

1) *Ἰλιάδ.* Ω 1—31. 2) *Αὐτόθι* 664 *ἐν παραβολῇ πρὸς* 781 *καὶ* 784.

φέρεται. Ταῦτα δ' οὐ μόνον ἕκαστος ἐκ τῆς φύσεως τοῦ πράγματος ἠδύνατο εἰκάσαι, ἀλλὰ καὶ ὁ ποιητὴς τὴν φύσιν τοῦ θέματος αὐτοῦ γινώσκει. Διότι τὴν ὁρμὴν ἑκατέρου στρατοῦ οὕτως εἰκονίζει,

Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς,
ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἵτ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον
κλαγγῇ ταίγε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων,
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν [1]).

Καὶ ἀλλαχοῦ τῆς Ἰλιάδος παραβάλλει τοὺς Τρῶας πρὸς τὴν σφοδρὰν τοῦ βορρᾶ ὁρμήν [2]).

Λοιπὸν καὶ ἡ τοῦ πράγματος φύσις ταχύτητα ἀπῄτει καὶ ὁ Ὅμηρος τὴν διάθεσιν τῶν πολεμιστῶν αὐτοῦ ἐγίνωσκεν. Ἐν τῇ ἀρχῇ δὲ καὶ τῷ τέλει τοῦ ἔπους ὁ ποιητὴς ἀριθμεῖ πολλὰς ἡμέρας καὶ ὀλίγας πράξεις. Δικαίως, ὡς νομίζομεν. Διότι ἐν μὲν τῇ ἀρχῇ παρῆν ὁ Ἀχιλλεύς, ὅστις τὴν σύγκρουσιν διεκώλυεν, ἐν δὲ τῷ τέλει τὴν μῆνιν ἀπειπὼν τὸ στρατόπεδον τῶν Ἀχαιῶν διέφρασσεν. Καὶ πρὸ τοῦ μέσου ἤτοι ἐν τῇ ἑβδόμῃ ῥαψῳδίᾳ ὑπάρχει μικρά τις βραδύτης. Ταύτης ἡ ἐξήγησις εὐκόλως δίδοται. Διότι οἱ Ἀχαιοὶ πειρῶνται, ὅπως τὸ φυσικὸν αὐτῶν φράγμα, τὸν Ἀχιλλέα, διὰ τεχνητοῦ, δηλαδὴ διὰ τῶν τειχῶν ἀναπληρώσωσιν. Ἀλλὰ μάτην. Διότι μόνον ὁ Πηλείδης ἐστὶ τὸ ἄλκαρ τῶν Ἀχαιῶν [3]) *καὶ τὸ εἶλαρ τῶν νηῶν* [4]). *Οἱ κριτικοὶ ἀποροῦσιν, ὅτι ἐν βραχεῖ χρόνῳ πολλὰ διαπράσσονται, ἐν ᾧ μᾶλλον ὤφειλον ἐξηγῆσαι τὴν αἰτίαν, δι' ἣν ἐν ἀρχῇ, περὶ τὸ μέσον καὶ ἐν τῷ τέλει ὀλίγα. Ἄπορον δὲ φαίνεται ἡμῖν, ὅτι οἱ αὐτοὶ σοφοὶ ἄνδρες, ἐν ᾧ ἀφ' ἑνὸς τῆς ταχύτητος τῶν συγκρουομένων στρατῶν καταψηφίζουσιν, ἀφ' ἑτέρου μηδὲ γυναικείαν ὑπομονὴν ἔχοντες δυσχεραίνουσιν, ὅτι ἡ πρὸς τὴν Θέτιδα ὑπόσχεσις οὐ τα-*

1) Ἰλιάδ. Γ ἐν ἀρχῇ. 2) Ἰλιάδ. Ε 521 καὶ Ξ 395. 3) Ἰλιάδ. Α 823. 4) Ἰλιάδ. Η 338.

χέως ἐκπληροῦται. Ἀλλ᾽ οὔτε ὁ ποιητὴς ταχεῖαν τῆς ὑποσχέσεως ἐκπλήρωσιν προεῖπεν, οὔτε ἡ θεὰ τοῦτο ὑπεσχέθη, οὔτε ὁ ἥρως τοῦτο ἀπήτησεν. Διότι ὁ μὲν ποιητὴς λέγει Διὸς δ᾽ ἐτελείετο βουλή, δηλαδὴ ἐν μακρῷ χρονικῷ διαστήματι, ἡ δὲ Θέτις οὐκ ἀπέρχεται εἰς τοὺς Αἰθίοπας τὸν Δία ἱκετεύσουσα, ἀλλὰ πολλὰς ἡμέρας αὐτὸν περιμένει, ὁ δ᾽ Ἀχιλλεὺς οὐδαμοῦ διὰ τὴν βραδύτητα λυπεῖται. Εἰ δ᾽ οἱ στρατοὶ βραδέως συνεκρούοντο, τί ἆρά γε ἔμελλον εἰπεῖν οἱ κριτικοὶ διὰ τὴν βραδεῖαν τῆς ὑποσχέσεως ἐκπλήρωσιν; Κατὰ τὰ εἰρημένα ὁ ποιητὴς τίθεται μεταξὺ σφύρας καὶ ἄκμονος. Διότι, ἐὰν μὲν βραδέως οἱ στρατοὶ συγκρούωνται, ἡ τῆς ὑποσχέσεως ἐκπλήρωσις βραδύνει καὶ ὁ ποιητὴς ἄξιος θανάτου λογίζεται, ἐὰν ὅμως ταχέως, αὖθις οὗτος εἰς θάνατον καταδικάζεται. Ὁ θάνατος ὅμως ἐστὶ βίαιος καὶ ἀντιφατικῶν ἀπαιτήσεων προϊόν. Ἀπαλαττόμεθα δὲ τῆς ἀντιφάσεως, ἐὰν ἐπιτρέψωμεν τῷ ποιητῇ ταχύτητα μὲν ἐκεῖ, ἔνθα ἡ τοῦ πράγματος φύσις ἀπῄτει, βραδύτητα δ᾽ ἐκεῖ, ἔνθα οὐδεὶς ἔσπευδεν.

Ἀλλ᾽ ἴδωμεν καὶ τὰ μέσα, ἃ οἱ κριτικοὶ ἐπινοοῦντες τὸ ὑπ᾽ αὐτῶν παρὰ φύσιν νομιζόμενον αἴρουσιν. Ὁ W. Müller[1]) ἐν τῇ Ἰλιάδι πολλὰ ῥαψῳδικὰ συστήματα εὑρίσκει, ὧν τέσσαρα ὡς σαφέστατα χωριζόμενα δείκνυσιν. Τὸ μὲν πρῶτον ἐκ τῆς δευτέρας ῥαψῳδίας ἀρχόμενον λήγει εἰς τὸν στίχον 380 τῆς 7ης, τὸ δὲ δεύτερον ἐκ τοῦ τέλους τῆς 7ης ἀρχόμενον λήγει εἰς τὸ τέλος τῆς δεκάτης, τὸ δὲ τρίτον περιέχει ὀκτὼ ῥαψῳδίας (11—18), καὶ τὸ τελευταῖον ἐκ τῆς 19ης ἀρχόμενον λήγει εἰς τὸ τέλος τοῦ ἔπους. Ἀλλ᾽, ἐὰν ἡ ταχεῖα τῶν γεγονότων ῥοὴ ἁμάρτημα θεωρηθῇ, ἡ Μυλλέρειος διαίρεσις οὐκ ἀναιρεῖ, ἀλλὰ μεγεθύνει τοῦτο. Διότι ὁ μὲν ποιητὴς τῆς Ἰλιάδος ἐδεῖτο τῆς ταχύτητος, ἵνα πρὸς πολλοῖς ἄλλοις διαφύγῃ τὸν ψόγον, ὅτι ἡ πρὸς τὴν Θέτιδα ὑπόσχεσις βραδύνει, οἱ τὰ ῥαψῳδικὰ ὅμως συστήματα ποιήσαντες τί παθόντες τὰ αὐτὰ ἥμαρτον; Ὁ τῆς Ἰλιάδος ποιητὴς ταχέως συγκρούει τοὺς δύο στρατοὺς ἐν τῷ πρώτῳ ῥαψῳδικῷ συστήματι διὰ τὴν ἄρσιν, ὡς εἴρηται, τοῦ φράγματος ἑνὸς τῶν στρατοπέδων, ὁ ποιητὴς ὅμως

τοῦ αὐτοῦ τμήματος, καίπερ τοιαύτῃ ἀνάγκῃ μὴ ὑπείκων, διὰ τί ἐξ ἴσου ἁμαρτάνει; Ὁ κριτικὸς θεωρεῖ τὰ εἰρημένα ῥαψῳδικὰ συστήματα ὡς ἐξ αὐτοτελῶν ᾀσμάτων συντεθειμένα, π·χ τὸ πρῶτον ἐκ τοῦ καταλόγου τῶν νηῶν, τῆς μονομαχίας τοῦ Πάριδος καὶ Μενελάου, τῆς Διομηδείας κτλ. συνιστάμενον. Εἰ καὶ ἐν τοῖς ἡγουμένοις κεφαλαίοις τὸ ἀδύνατον τῆς τομῆς ἐδείξαμεν, ὅμως ἀνεχθῶμεν καὶ τὴν τοιαύτην τοῦ ποιητοῦ ἐγχείρισιν. Ἀλλὰ πρὸς τί; Ὁ W. Müller[1]) ἀποκρίνεται· „Ἡ ἀσυμμετρία (ἐννοεῖ τὴν τοῦ χρόνου) ῥᾳδίως ἀναιρεῖται, ἐὰν τὰ διάφορα αὐτοτελῆ μέρη τὰ ἀποτελοῦντα τὸ ῥαψῳδικὸν σύστημα ταύτης τῆς ἡμέρας χωρίσωμεν καὶ ἑκάστῳ τοῦ ἰδίου χρόνου μὴ φεισθῶμεν.“ Ἀλλ' ἡμεῖς μετὰ πλείστων παραχωρήσεων τὴν ἐγχείρισιν ταύτην ἠνέχθημεν ἐπὶ τῷ ὅρῳ, ὅτι αὕτη παρέχει τὴν θεραπείαν. Εἰ δὲ τὰ διὰ τῆς ἐγχειρίσεως παραχθέντα μέλη δέονται τῶν αὐτῶν φαρμάκων, ὧν καὶ ὁ ὅλος ποιητής, ἡ ἐγχείρισις περιττή ἐστιν. Διότι καὶ ἄνευ τῆς ἐγχειρίσεως διὰ τῶν ἰδίων φαρμάκων ὁ ποιητὴς ὑγιὴς γίνεται. Εἰ ἔχομεν τὸ δικαίωμα τοῖς αὐτοτελέσιν ᾄσμασι μὴ φθονεῖν προσθήκης ἡμερῶν, διὰ τὶ φειδόμεθα προσθεῖναι τὰς αὐτὰς ἡμέρας ἐν τῷ ὅλῳ ποιητῇ;

Ὁ W. Müller ἀριθμεῖ[2]) πάντα τὰ ἐν τῷ πρώτῳ ῥαψῳδικῷ συστήματι διαπραττόμενα, τὴν βουλὴν τῶν γερόντων, τὴν ἀγοράν, τὴν μονομαχίαν τοῦ Πάριδος καὶ Μενελάου, τὴν ἁρπαγὴν τοῦ Πάριδος, τὴν ἀγορὰν τῶν θεῶν κτλ. Τὰ πλεῖστα ὅμως εἰσὶ ποιητικαὶ περιγραφαὶ μηδεμίαν στιγμὴν χρόνου ἀφαιροῦσαι, π·χ τὰ πλεῖστα τῶν ἐπεισοδίων καὶ δὴ ὁ κατάλογος τῶν νηῶν. Τὰ δὲ ὑπολειπόμενά εἰσι μὲν ἴσως πολλά, ὅμως οὐχὶ τοσαῦτα, ὅσα ποιητής τις ἐν τούτῳ τῷ χρόνῳ οὐ δύναται συστεῖλαι. Ἡ ἀρχαία ποίησις πλείστας πράξεις ἐν βραχυτάτῳ χρόνῳ συνέστελλεν, ὡς ὁρῶμεν ἐν τῷ δράματι. Ἡ δὲ ἐποποιία κατὰ τὴν παρατήρησιν τοῦ Ἀριστοτέλους εἶχε μείζονα ἐλευθερίαν τοῦ δράματος. Αὐτὸς ὁ W. Müller παρασκευάζει ἡμῖν ὁδόν τινα,

---

1) Homerische Vorschule σελ. 146. 2) Αὐτόθι σελ. 146.

ὅπως εἰς αὐτὸ τὸ ἐργοστάσιον τῆς ἀρχαίας ἐποποιίας εἰσελθόντες τοῦτο ἴδωμεν. Ὁ κριτικός, ὡς εἴδομεν, διεῖλε τὴν Ἰλιάδα εἰς τέσσαρα ῥαψῳδικὰ συστήματα. Ἀλλὰ καὶ περὶ τῶν τεσσάρων τούτων μεγάλας μομφὰς διὰ τὴν ταχυτάτην τῶν γεγονότων ῥοὴν ἀκούομεν. Αὐτὸς ὁ κριτικὸς ψέγει ταῦτα διὰ τὴν εἰρημένην αἰτίαν[1]. Ἀλλὰ ταῦτα βεβαίως ἐποιήθησαν ὑπὸ τεσσάρων ῥαψῳδῶν. Διότι, εἰ ὑφ' ἑνὸς ἐποιήθησαν, διαφωνοῦμεν πρὸς τὸν W. Müller μόνον κατὰ τὸ ὄνομα τοῦ ποιητοῦ (καὶ κατὰ τοῦτο ἴσως οὐχί). Εἰ λοιπὸν τέσσαρες ποιηταὶ (δηλαδὴ πάντες, ὅσοι ἐν ἐκείνῃ τῇ ἐποχῇ ἐποίησαν ἢ τὰ ποιήματα αὐτῶν περιεσώθησαν) τὸ αὐτὸ ἁμάρτημα ἐποίησαν, τοῦτο οὐκ ἦν ἁμάρτημα, ἀλλ' ὁ πρῶτος τῆς τότε ἐποποιίας κανών. Πρὸς δέ, ὅμοιον ὑπάρχει καὶ ἐν Ὀδυσσείᾳ, ὡς μετ' ὀλίγον δῆλον ἔσται. Ὥστε ὁ W. Müller πρὸς ἑαυτὸν ἀντιφάσκων νομίζει, ὅτι ἡ ἀρχαία ποίησις οὐκ εἶχε τοιαύτην ἐλευθερίαν. Πρὸς δὲ ἀμφιβάλλομεν, εἰ τοῦτο, ὅπερ ὁ κριτικὸς ἰδανικὴν ἀμετρίαν[2] ὀνομάζει, μᾶλλον ἡ νεωτέρα ἢ ἡ ὁμηρικὴ ποίησις ἔχει. Διότι ἡ νεωτέρα ἔχει μὲν πολλὰς ὑπερβολάς, ὅμως μόλις φθάνει μέχρι τῶν ὁμηρικῶν θεομαχιῶν, ἃς αὐτὸς ὁ W. Müller ἔψεξεν[3]. Διὰ πάντα ταῦτα οὐκ ὀρθῶς ὁ ἀνὴρ λέγει „Πῶς δυνατόν ἐστιν, ἵνα ὁμηρικὸς ἀοιδός, ὅστις λίαν ἀκριβῶς καὶ ὡρισμένως τὰς πράξεις καὶ τὰ συμβάντα σταθμίζει καὶ ἀναμετρεῖ, ὅστις τὴν πρὸς ἄλληλα σχέσιν καὶ τὸν ἴδιον χρόνον αὐστηρῶς παρατηρεῖ, καὶ ὅστις οὐδέποτε τῆς ἀνατολῆς, τῆς δύσεως καὶ καταδύσεως τοῦ ἡλίου ἀμνημονεῖ, ἵνα τοιοῦτος, λέγω, ἀοιδὸς μὴ προσχὼν τὸν νοῦν εἰς τὸν χῶρον καὶ χρόνον ταύτην τὴν πληθὺν τῶν πράξεων, συμβάντων καὶ δρόμων ἐν μιᾷ ἡμέρᾳ συστείλῃ;"[4] Οὐκ ὀρθῶς ἐπαναλαμβάνομεν· διότι πάντα ταῦτα ἀποδεικνύουσι μόνον, ὅτι οἱ τῶν ὁμηρικῶν χρόνων ποιηταὶ ἐποίουν πράξεις τελουμένας μὲν ἐν χρονικῷ τινι διαστήματι (καθ' ὃ βεβαίως καὶ ὁ ἥλιος ἀνατέλλει καὶ δύει), ἀλλ' ἐν βραχυτάτῳ χρόνῳ συνεσταλμένας καὶ πλέον οὔ.

1) Αὐτόθι σελ. 145—151. 2) Αὐτόθι σελ. 149. 3) Αὐτόθι σελ. 156. 4) Αὐτόθι σελ. 149.

Τελευταῖον ὁ W. Müller *λέγει*[1]· *„Ἐὰν ἀπίδωμεν ἔτι ἅπαξ ἐπὶ τῆς χρονολογίας τῆς Ἰλιάδος καθ᾽ ὅλου, ἀνακαλύψομεν ἐν αὐτῇ ἀνισότητά τινα καὶ ἀταξίαν πρός τε τὸν χαρακτῆρα τῆς ἀρχαίας ἐπικῆς ποιήσεως καὶ πρὸς τὴν ἑνότητα καὶ ἀκολουθίαν ὅλου τινός ἀντιφάσκουσαν. Τὸ μὲν πρῶτον ᾆσμα περιέχει πραγματείαν* 21 *ἡμερῶν, τὸ δὲ τελευταῖον ἐξ ἴσου τοσούτων. Οὕτω τοῖς ἐν τῷ μέσῳ ᾄσμασιν οὐκ ὑπολείπονται πλέον* 9 *τῶν ἡμερῶν καὶ τούτων τῶν ἐννέα ἡμερῶν τὸ ὄγδοον καὶ εἰκοστὸν τρίτον ᾆσμα κατέχουσι πέντε ἡμέρας.“ Τίς ἦν ἡ αἰτία, δι᾽ ἣν ὁ ποιητὴς ἐν ἀρχῇ τοῦ ἔπους, πρὸ τοῦ μέσου καὶ ἐν τέλει βραδύνει, ἐν τοῖς ἔμπροσθεν εἴπομεν. Ἐνταῦθα δὲ θαυμάζομεν, ὅτι ὁ θεσπέσιος Ὅμηρος ἄριστα τὴν τῆς ὕλης ἀπαίτησιν τῇ τῆς τέχνης ἀξιώσει συνέδεσεν. Διότι ἐν ἀρχῇ καὶ τῷ τέλει ἡ ὕλη ῥέει βραδέως, ἐν δὲ τῷ μεταξὺ διαστήματι ταχύτατα, ὡς εὐρυρρόας τις ποταμὸς ἠρέμα μὲν πηγάζων, ταχύτατα διαρρέων καὶ ἡσύχως ἐκβάλλων. Τοῦτο δ᾽, ὅπερ ὁ* W. Müller *ἀνισότητα καὶ ἀταξίαν ὀνομάζει, μεγίστη τοῦ ἔπους ἀρετή ἐστιν. Ἐν ἴσῳ δὲ χρονῳ καταμερίζεται ἡ ὕλη οὐχὶ ἐν ποιήμασιν, ἀλλ᾽ ἐν ἡμερολογίοις. Τοῦτο καὶ αὐτὸς ὁ* W. Müller *ἀναγνωρίζει μέν, ἀλλὰ μόνον ἐν τῇ νεωτέρᾳ ἐπικῇ ποιήσει. „Ἴσως βουληθήσεταί τις πρὸς ἀναίρεσιν τούτου τοῦ δισχυρισμοῦ μνήσασθαι ὁμοίου τινὸς ἐκ τῆς νεωτέρας ἐπικῆς ποιήσεως. Ἀλλ᾽ ἡ νέα ποίησις οὐ δύναται ἐνταῦθα παραβληθῆναι. Αὕτη ἐν τῷ ὕψει αὐτῆς ἐξέρχεται τοῦ μέτρου τοῦ χρόνου καὶ χώρου· ἡ ὁμηρικὴ ὅμως ποίησις παρατηρεῖ τοῦτο μετ᾽ αὐστηρᾶς ἀκριβείας“* [2]). *Ἐπειδη λοιπὸν οὕτως ἔχει, τοῦτο νόμος αἰώνιός ἐστι ἀπὸ τῆς ὁμηρικῆς ἐποχῆς μέχρι τῶν ἡμετέρων χρόνων διήκων. Ἐπειδὴ δὲ τούτῳ ποιηταὶ χιλιετηρίδας ἀπ᾽ ἀλλήλων ἀφεστῶτες ἐχρήσαντο, ὁ νόμος ἐστὶ φυσικὸς ἔχων παραβάτας μόνον κριτικούς, οὐδένα δὲ ποιητήν. Μάτην δ᾽ ὁ* W. Müller *ἐπικαλεῖται τὴν ὁμηρικὴν ποίησιν πρὸς ἀναίρεσιν τοῦ κανόνος. Διότι ὁ Ὅμηρος καὶ εἰς ῥαψῳδικὰ συστήματα*

---

1) *Αὐτόθι σελ.* 157. 2) Homerische Vorschule *σελ.* 157 *σημ.* 3.

καταχερματισθεὶς κατὰ τοῦ κερματίσαντος, ὡς εἴδομεν, ἐμαρτύρησε καὶ ἀκέραιος καὶ ζῶν μονονουχὶ φωνὴν ἀφιεὶς τὸν νόμον ἐπικυροῖ.

Οὕτως ἐξετάσαντες καθ' ὅλον τὸ χρονολογικὸν τῆς Ἰλιάδος σχέδιον ἐδείξαμεν τὴν ἐν τῷ ἔπει ἐπιτυχίαν τοῦ ποιητοῦ. Νομίζομεν δ' οὐχὶ ἄσκοπον, ἵνα καὶ εἰς τὰ καθ' ἕκαστον εἰσελθόντες τὰς δεικνυομένας ἀντιφάσεις ἀναιρέσωμεν. Ὁ σοφὸς Geppert[1]) *εὑρίσκει ἄτοπόν τι ἐν τῇ Ὁπλοποιΐᾳ· „Μετ' ὀλίγον ἔδυσεν ὁ ἥλιος, ὅστις ἐν ἀρχῇ τοῦ ἑπομένου βιβλίου πάλιν ἀνατέλλει· ὁ Ἥφαιστος λοιπὸν κατὰ τὴν παράστασιν τοῦ ποιητοῦ τὰ ὅπλα τοῦ Ἀχιλλέως ὤφειλεν ἐν νυκτὶ κατασκευάσαι καὶ πρὸς τούτοις, ὡς ἐκ τῆς συμφωνίας τῶν τελευταίων στίχων τοῦ 18ου βιβλίου μετὰ τῆς ἀρχῆς τοῦ 19ου δῆλον γίνεται, τῇ ὅλῃ νυκτὶ πρὸς τὸ ἔργον χρήσασθαι. Ἀλλ' ὅμως οὐ μόνον ἐπὶ τοῦ Ὀλύμπου, ὡς καὶ ἐπὶ τῆς γῆς, σκότος ἦν, ἀλλὰ καὶ οἱ θεοὶ ἐκοιμῶντο, ὡς καὶ οἱ ἄνθρωποι· οὕτως ὁ ποιητὴς τοῦ ἄλλως ἐξαιρέτου τούτου μέρους τὸν χρόνον, ὡς δοκεῖ, οὐκ ὀρθῶς ἐνόησεν. Ἠδύνατό τις καὶ ἐκ τῆς φράσεως ἠῶθεν γὰρ νεῦμαι τοῦ στίχου 136 νοῆσαι, ὅτι ἡ Θέτις τὴν ἑπομένην πρωίαν ἤθελεν ἀπελθεῖν, ἵνα τὰ ὅπλα παρὰ τοῦ Ἡφαίστου λάβῃ, εἰ μὴ αὕτη μετ' ὀλίγον ἐν τοῖς ἑπομένοις στίχοις τὰς ἀκολούθους εἰς τὸν οἶκον τοῦ πατρὸς ἔπεμπεν, ἵνα διὰ τὴν βραδύτητα αὐτῆς συγγνώμης τύχωσιν.“ Πρῶτον παρατηροῦμεν, ὅτι τὸ ῥῆμα νεῦμαι (συγγενὲς τοῦ νόστος) ἐν τῇ φράσει, ἠῶθεν γὰρ νεῦμαι, ἅμ' ἠελίῳ ἀνιόντι τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος*[2]) *σημαίνει οὐχὶ ἀπέρχομαι, ὡς νομίζει ὁ κριτικός, ἀλλ' ἐπανέρχομαι, ὡς δεικνύουσι πλεῖσται ὁμηρικαὶ φράσεις· π.χ. τοὶ δ' οὔ τι πάλιν οἰκόνδε νέοντο*[3]). *Ἀλλά, καὶ εἰ τὸ ῥῆμα νεῦμαι τὴν ὑπὸ τοῦ* Geppert *ἀποδιδομένην σημασίαν εἶχε, πάλιν ἡ φράσις φέρουσα παρ' Ἡφαίστοιο ἐκώλυε τὸν κριτικὸν νοῆσαι, ὅ, τι λέγει. Ὁ*

---

1) Ueber den Ursprung der Homerischen Gesänge I, 411. 2) Ἰλιάδ. Σ 136. 3) Ἰλιάδ. Ζ 189.

ποιητὴς λοιπὸν τῆς Ὁπλοποιίας γινώσκει, ὅτι ἐπέρχεται νύξ, διὰ τῆς γνώσεως δὲ ταύτης ἡ ῥαψῳδία αὕτη συνδέεται μετά τε τῆς ἡγουμένης καὶ ἑπομένης. Διότι ἡ θεὰ κατὰ τὴν ὑπόσχεσιν αὐτῆς φέρει τῷ Ἀχιλλεῖ τὴν Ἡφαιστότευκτον πανοπλίαν[1]). Ὁμολογοῦμεν μέν, ὅτι καὶ ὁ ἥλιος ἔδυσε, καὶ ὅτι διὰ τὴν δύσιν αὐτοῦ ἐπί τε τῆς γῆς καὶ τοῦ Ὀλύμπου σκότος ἐγίνετο, ἀλλ' ἀποροῦμεν διὰ τὴν ἀπορίαν τοῦ κριτικοῦ. Οὗτος ἠδύνατο ἀπορεῖν, εἰ οἱ ὁμηρικοὶ ἄνθρωποι τὸ τεχνητὸν φῶς ἠγνόουν. Ἀλλ' ὁ Ὅμηρος πολλαχοῦ μνημονεύει λαμπτήρων καὶ δᾴδων[2]), ἃς ἐν τοῖς ἀνακτόροις τοῦ Ἀλκινόου φέρουσι χρύσειοι κοῦροι[3]). Πρὸς δὲ ἐχρῶντο καὶ ξύλοις φόως ἔμεν ἠδὲ θέρεσθαι[4]). Ὑπὸ τὸ τεχνητὸν δὲ τοῦτο φῶς εἰργάζοντο αἱ δοῦλαι τοῦ Ὀδυσσέως[5]). Πρὸς δέ, καὶ οἱ χαλκεῖς, ὡς δοκεῖ, τὴν νύκτα εἰργάζοντο. Διότι ἡ δούλη Μελανθὼ λέγει τῷ Ὀδυσσεῖ, ἵνα τὴν νύκτα ἀπέλθῃ χαλκήιον ἐς δόμον[6]), ἔνθα παρὰ τῷ πυρὶ τῶν χαλκέων διάλογοι ἐγίνοντο, ὡς καὶ ἐν ταῖς λέσχαις. Εἰ λοιπὸν οἱ ὁμηρικοὶ ἄνθρωποι τὸ τεχνητὸν φῶς ἐγίνωσκον καὶ ὑπὸ τοῦτο εἰργάζοντο, τί ἀπορεῖ ὁ σοφὸς Geppert, ὅτι οἱ ἀνθρωποφυεῖς θεοὶ τὸ αὐτὸ ἔπρασσον; Ὁ κριτικὸς νομίζει, ὅτι τὴν νύκτα θεοί τε καὶ ἄνθρωποι κοιμῶνται. Ἀλλὰ τά τε εἰρημένα παραδείγματα τὸ ἐναντίον ἀπέδειξαν καὶ ἡ Θέτις αὐτὴ τὸν Ἥφαιστον ἐργαζόμενον εὗρεν[7]). Τὴν αὐτὴν δὲ νύκτα οἱ μὲν Τρῶες ποιοῦσιν ἀγοράν[8]), οἱ δ' Ἀχαιοὶ παννύχιοι Πάτροκλον ἀνεστενάχοντο[9]), καὶ οἱ θεοὶ πρὸς ἀλλήλους ἠγόρευον[10]). Ἀφοῦ λοιπὸν τὰ πάντα κινοῦνται, πάντες ἐργάζονται, διὰ τί μόνος ὁ φίλεργος Ἥφαιστος ἔμελλε κοιμᾶσθαι; Ὅμοιόν τι ἐν τῇ παρελθούσῃ νυκτὶ ἐγένετο. Οἱ μὲν Τρῶες εἶχον φυλακάς[11]), οἱ δ' Ἀχαιοὶ καὶ ἀγορὰν ποιοῦσι[12]) καὶ διὰ τὸν Ἀγαμέμνονα ἀγρυπνοῦσι[13]), καὶ οἱ θεοὶ οὐ κοιμῶνται. Ἡ μὲν Ἀθηνᾶ συμβουλεύει τῷ Διομή-

---

1) Ἰλιάδ. Τ 1. 2) Ὀδυσσ. Ε 307. Τ 63. 3) Ὀδυσσ. Η 100. 4) Ὀδυσσ. Υ 64. 5) Ὀδυσσ. Τ 61. 6) Ὀδυσσ. Σ 328. 7) Ἰλιάδ. Σ 369. 8) Αὐτόθι 245. 9) Αὐτόθι 315. 10) Αὐτόθι 356. 11) Ἰλιάδ. Ι 1. 12) Αὐτόθι 13. 13) Ἰλιάδ. Κ 4.

δει ἐκ τοῦ Θρᾳκικοῦ στρατοπέδου ἀναχώρησιν[1]), ὁ δ' Ἀπόλλων κατεσκόπει[2]). Διὰ τί λοιπὸν οἱ θεοὶ οὗτοι οὐκ ἐκοιμήθησαν τὴν παρελθοῦσαν νύκτα, ὡς ἐπεθύμει ὁ σοφὸς Geppert;

Ὁ αὐτὸς κριτικὸς παραβάλλων τὸν στίχον 84 τοῦ Λ πρὸς τὸν 777 τοῦ Π εὑρίσκει ἀντίφασιν „Τοῦτο προϋποτίθησι μόνον λίαν μικρὰν χρόνου διαφοράν, ἐν ᾗ οὐκ ἠδύναντο πάντα τὰ μεταξὺ τοῦ Λ 84 καὶ Π 777 εἰκονιζόμενα διαπραχθῆναι"[3]). Ὁ σοφὸς Geppert νομίζει, ὅτι ὁ Ὅμηρος ἐν τῷ Λ 84 διὰ τῆς φράσεως, ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, νοεῖ μεσημβρίαν. Ἀλλ' ὁ παρατατικὸς ἀέξετο σημαίνει, ὅτι ἡ ἡμέρα ἤρχιζεν αὐξάνειν, ὅπερ οὐκ ἔστι μεσημβρία. Ὁ σοφὸς ἀνὴρ μᾶλλον ἐκ τοῦ στίχου 86 ἠδύνατο νοῆσαι ὀλίγον προκεχωρηκυῖαν τὴν ἡμέραν. Διότι ὁ ποιητὴς λέγει, ὅτι ἦν χρόνος, καθ' ὃν ἀνὴρ δρυτόμος δειπνεῖ. Ἀλλὰ δεῖπνον σημαίνει τὴν πρωϊνὴν τροφήν, ἣν οἱ ἐργάται λίαν πρωὶ ἐγερθέντες λαμβάνουσιν, ὡς πλεῖστα παραδείγματα προδήλως τοῦτο δεικνύουσιν. Τελευταῖον παρατηροῦμεν, ὅτι ἔτι πρωί ἐστιν. Διότι ὁ ποιητὴς οὐδὲν μέχρι τοῦδε εἶπε περὶ ταύτης τῆς ἡμέρας, καθ' ἣν πολλὰ ὤφειλον διαπραχθῆναι καὶ ὄντως διεπράχθησαν.

Πρὸς τούτοις ὁ σοφὸς Geppert[4]) εὑρίσκει καὶ ἄλλας χρονολογικὰς ἀντιφάσεις, ἃς βεβαίας νομίζει „Οὕτω ὁ διασκευαστὴς τοῦ 17ου βιβλίου λέγει, ὅτι ἡ περὶ τὸ πτῶμα τοῦ Πατρόκλου μάχη διήρκεσε μίαν ὁλόκληρον ἡμέραν (τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει[5]]), ἐν ᾧ κατὰ τοὺς ὑπαινιγμοὺς τοῦ Ὁμήρου ἐν μιᾷ ὥρᾳ ἤ τι πλέον ἐτελέσθη." Ὁ αὐτὸς κριτικὸς λέγει „Ὡσαύτως ἡ Θέτις διηγεῖται ἐν τῇ Ὁπλοποιίᾳ, ὅτι ὁ Πάτροκλος μίαν ὁλόκληρον ἡμέραν πρὸ τῶν Σκαιῶν πυλῶν ἐμαχέσατο (πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσιν[6]]) . . . . ." Ἀλλ' ἕκαστος ἐννοεῖ, ὅτι τὰ τοιαῦτά εἰσιν ὑπερβολαί. Οἱ δὲ κατὰ γράμμα ταῦτα

1) Αὐτόθι 507. 2) Αὐτόθι 515. 3) Ueber den Ursprung der Homer. Gesänge σελ. 412. 4) Αὐτόθι I, 412. 5) Ἰλιάδ. Ρ 384. 6) Ἰλιάδ. Σ 453.

ἑρμηνεύοντες πλανῶνται. Ἐάν τις ἀκριβῶς τὰ ὁμηρικὰ ἔπη παρατηρήσῃ, εὑρίσκει, ὅτι τὸ παννύχιοι καὶ πανημέριοι οὐ δύνανται πανταχοῦ κατὰ γράμμα ἐξηγηθῆναι. Καὶ δὴ ἐν αὐτῷ τῷ χωρίῳ, οὗ ὁ κριτικὸς ἐμνημόνευσεν, οὐ δυνάμεθα ἐννοῆσαι διὰ τοῦ πᾶν ἦμαρ ὁλόκληρον ἡμέραν. Διότι αὐτὴ ἡ Θέτις ἐξακολουθοῦσα λέγει καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων [1]). Πῶς λοιπὸν οἱ Ἀχαιοὶ ἠδύναντο αὐτῆμαρ ἐκπορθῆσαι τὴν πόλιν τοῦ Πριάμου, εἰ ὄντως ὁλόκληρον τὴν ἡμέραν μαχόμενοι παρὰ ταῖς Σκαιαῖς πύλαις κατέτριψαν; Τελευταῖον χρονολογικὸν ἁμάρτημα ὁ σοφὸς Geppert [2]) εὑρίσκει ἐν τῇ 19ῃ ῥαψῳδίᾳ. Διότι ὁ Ἀγαμέμνων ἐν δυσὶ χωρίοις λέγει, ὅτι ὁ Ὀδυσσεὺς χθιζὸς [3]) ὑπεσχέθη δῶρα τῷ Ἀχιλλεῖ. Ἀλλ' ὄντως ὁ ἥρως χθὲς ἦν ἐν τῷ στρατοπέδῳ τοῦ Ἀχιλλέως, δηλαδὴ τῆς προτεραίας τὴν νύκτα, ἥτις τῇ χθὲς ἡμέρᾳ ἀνήκει. Ὁ δὲ ποιητὴς οὐκ ἠδύνατο εἰπεῖν πρὸ δύο ἡμερῶν· διότι μόνον μία ἡμέρα παρῆλθεν. Καὶ ταῦτα μὲν δὴ περὶ τῆς χρονολογίας τῆς Ἰλιάδος ἱκανὰ ἔστωσαν.

Περὶ δὲ τῆς Ὀδυσσείας λέγομεν βραχέα ἀρχόμενοι, ὡς καὶ ἐν τῇ Ἰλιάδι, χρονολογικοῦ τινος διαγράμματος. Ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ ἡ Ἀθηνᾶ μορφὴν τοῦ Ταφίου Μέντου λαβοῦσα ἀπέρχεται εἰς τὴν Ἰθάκην, ἔνθα ὑπὸ τοῦ Τηλεμάχου ξενισθεῖσα παρακελεύεται αὐτόν, ἵνα αὔριον [4]) ἀγορὰν τῶν Ἰθακησίων καλέσῃ. Τὴν ἑπομένην ἡμέραν ὁ υἱὸς τοῦ Ὀδυσσέως τῇ συμβουλῇ τῆς θεᾶς ἀκολουθεῖ, ἀλλ' ἀποτυχὼν μετὰ τὴν δύσιν τοῦ ἡλίου [5]) τῆς Ἰθάκης ἀποπλέει. Τὴν τρίτην ἡμέραν [6]) ἀφικνεῖται εἰς Πύλον, ἐν ᾗ ὁλόκληρον τὴν ἡμέραν [7]) καὶ τὴν νύκτα [8]) διατρίβει. Τῆς δὲ τετάρτης τὴν πρωίαν [9]) ὁ νέος τῆς Πύλου ἀπέρχεται καὶ τὴν νύκτα ἐν Φηραῖς [10]) ξενίζεται. Τὴν δὲ πέμπτην [11]) ἀφικνεῖται εἰς Σπάρτην, ὅπου τὴν ἕκτην καταλείπει αὐτὸν ὁ ποιητής. Λοιπὸν μέχρι τοῦδε ἠριθμήσαμεν 5 ἡμέρας. Ἐν τῇ

---

1) Αὐτόθι 454. 2) Αὐτόθι I, 413. 3) Ὀδυσσ. Τ 141 καὶ 195. 4) Ὀδυσσ. Α 272. 5) Ὀδυσσ. Β 388. 6) Ὀδυσσ. Γ 4. 7) Αὐτόθι 329. 8) Αὐτόθι 399. 9) Αὐτόθι 404. 10) Αὐτόθι 488. 11) Αὐτόθι 491. Ε 1.

Σπάρτῃ ὁ Τηλέμαχος διατρίβει 28 ἡμέρας, ὡς γίνεται δῆλον ἐξ ἐκείνων, ἃ ὁ ποιητὴς περὶ τοῦ Ὀδυσσέως λέγει. Ἡ Καλυψὼ παρὰ τοῦ Ἑρμοῦ τὴν βούλησιν τοῦ Διὸς μαθοῦσα ἐπιτρέπει τῷ Ὀδυσσεῖ ἀπελθεῖν τῆς νήσου. Ὁ δ' ἥρως τέσσαρας ἡμέρας[1] *πρὸς κατασκευὴν σχεδίας δαπανήσας τὴν πέμπτην*[2] *ἀποπλέει. Πλανηθεὶς δὲ* 17 *ἡμέρας τὴν* 18*ην προσεγγίζει μὲν τῇ νήσῳ τῶν Φαιάκων*[3], *ἀλλὰ δύο ἡμέρας καὶ δύο νύκτας ὑπὸ τοῦ Ποσειδῶνος κωλύεται*[4]. *Περὶ δὲ τὸ ἑσπέρας τῆς εἰκοστῆς ὁ ἥρως ὑπὸ τῶν κυμάτων ἐξεβράσθη*[5] *εἰς τὴν Σχερίαν, ἔνθα μέχρι τοῦ δείπνου τῆς ἑπομένης ἐκοιμᾶτο*[6]. *Περὶ δὲ τὸ ἑσπέρας τῆς* 21*ης τῇ Ναυσικάᾳ ἀκολουθῶν φθάνει εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς*[7]. *Δύο δὲ ἡμέρας*[8] *παρὰ τοῖς Φαίαξι ξενισθεὶς τὴν τρίτην εἰς τὴν Ἰθάκην ἀφικνεῖται*[9]. *Λοιπὸν ἀπὸ τῆς ἀποστολῆς τοῦ Ἑρμοῦ εἰς τὴν Καλυψὼ μέχρι τῆς ἀφίξεως τοῦ Ὀδυσσέως εἰς τὴν Ἰθάκην ἀριθμοῦνται ἡμέραι* 28 (5 + 21 + 2). *Ὁ δ' υἱὸς τοῦ ἥρωος ἀπὸ Σπάρτης μέχρι Πύλου καὶ ἐντεῦθεν μέχρις Ἰθάκης καταναλίσκει δύο ἡμέρας*[10], *ὡς ταύτας καὶ ἐν τῇ ἀποδημίᾳ ἠριθμήσαμεν. Τὸν χρόνον τοῦτον ὁ Ὀδυσσεὺς δαπανᾷ μετὰ τῆς Ἀθηνᾶς καὶ τοῦ Εὐμαίου διαλεγόμενος μέχρι τῆς ἠοῦς*[11] *τῆς τρίτης ἡμέρας, ὅτε καὶ ὁ υἱὸς ἔφθασεν. Τὴν δὲ τετάρτην πρῶτον ὁ Τηλέμαχος*[12] *καὶ εἶτα ὁ Ὀδυσσεὺς μετὰ τοῦ Εὐμαίου εἰς τὰ ἀνάκτορα πορεύονται, ἔνθα ἡ Εὐρύκλεια ἀναγνωρίζει τὸν ἥρωα. Τὴν δὲ πέμπτην συνῆλθον εἰς τὰ ἀνάκτορα τοῦ Ὀδυσσέως οἱ μνηστῆρες*[13], *οἷς περὶ τὸ δεῖπνον*[14] *ἡ Πηνελόπη ἀγῶνα προβάλλει. Ἐνταυθα τελεῖται ἡ μνηστηροφονία. Τὴν δ' ἕκτην*[15] *εἰς τὸν ἀγρὸν ὁ ἥρως πορευθεὶς ἀναγνωρίζει τὸν γέροντα Λαέρτην. Ἂν ἀθροίσωμεν ἤδη πάσας τὰς ἡμέρας, εὑρίσκομεν αὐτὰς* 39 (5 + 28 + 6).

Ἄξιον σημειώσεώς ἐστιν, ὅτι ἐκεῖ, ἔνθα μάλιστα ὁ

---

1) *Ὀδυσσ.* Ε 262. 2) *Αὐτόθι* 263. 3) *Αὐτόθι* 279. 4) 288—390. *Αὐτόθι* 466. 6) *Ὀδυσσ.* Ζ 97. 7) *Ὀδυσσ.* Ζ 341. 8) *Ὀδυσσ.* Θ 1 *καὶ* .7. Ν 18 *καὶ* 35. 9) *Ὀδυσσ.* Ν 93. 10) *Ὀδυσσ.* Ο 56—188 *καὶ* 189—493.) *Ὀδυσσ.* Ο 495. 12) *Ὀδυσσ.* Ρ 1. 13) *Ὀδυσσ.* Υ 248. 14) *Αὐτόθι* 390.) *Ὀδυσσ.* Ψ 347.

μῦθος περιπλέκεται, αἱ πράξεις ταχύτατα ῥέουσιν. Ὡς ἐν τῇ Ἰλιάδι αἱματηραὶ μάχαι, τὰ τραύματα τῶν ἐπιφανεστέρων ἡρώων καὶ ὁ φόνος τοῦ τε Πατρόκλου καὶ Ἕκτορος ἐν βραχυτάτῳ χρόνῳ διαπράσσονται, οὕτως ἐν τῇ Ὀδυσσείᾳ τὰ τῆς μνηστηροφονίας. Εἰ λοιπὸν ἐν δυσὶν ἔπεσι (δηλαδὴ πᾶσιν, ὅσα μέχρις ἡμῶν περιῆλθον) εὑρίσκομεν τὸν αὐτὸν νόμον τῆς συστολῆς τῆς ὕλης οὐ μόνον ἐν βραχεῖ χρόνῳ, ἀλλὰ καὶ κατὰ τὸν αὐτὸν τρόπον, ἀναλαμβάνουσι μεγάλην εὐθύνην οἱ κριτικοὶ οἱ παντοῖα μηχανώμενοι, ὅπως τὸν ποιητικώτατον τοῦτον νόμον ἀκυρώσωσιν. Μάτην δ' ὁ σοφὸς Geppert[1]) λυπεῖται, ὅτι τὰ μὲν τελευταῖα τῆς Ὀδυσσείας βιβλία ὀλίγας ἡμέρας, ἐν ᾧ τὰ πρῶτα πλείονας διαλαμβάνουσιν. Διότι ἀνάλογα καὶ ἐν τῇ Ἰλιάδι εἴδομεν. Ἡμεῖς δ' οἱ Ἕλληνες λέγομεν, ὅτι πολλὰ γίνονται, ὅταν φθάσῃ ὁ κόμβος εἰς τὸ κτενίον. Ὁ νόμος οὗτος ἐπ' αὐτῆς τῆς ἀνθρωπίνης φύσεως ἐρειδόμενός ἐστι φυσικός, ὁ δὲ θεσπέσιος Ὅμηρος ἄριστα ἐποίησε τοῦτον μιμηθείς. Καὶ ταῦτα μὲν περὶ τοῦ ὅλου τῆς Ὀδυσσείας. Περὶ δὲ τῶν καθ' ἕκαστον λέγομεν βραχέα.

Ὁ B. Thiersch[2]) δυσχεραίνει, ὅτι ὁ ποιητὴς ἐπιτρέπει τῷ Ὀδυσσεῖ πολλὰ ἐν μιᾷ νυκτὶ διηγεῖσθαι. Ἀλλ' ὁ κριτικὸς ἁμαρτάνει νομίζων, ὅτι περὶ τὸ μέσον τῆς νυκτὸς ἡ διήγησις ἤρξατο. Διότι μόλις ὁ ἥλιος ἔδυσε[3]) καὶ ὁ ἥρως ἄρχεται διηγούμενος. Ἴσως δὲ καὶ αἱ ἡμέτεραι γραῖαι ἐν μιᾷ χειμερινῇ νυκτὶ (ἐν χειμῶνι δὲ καὶ ὁ Ὀδυσσεὺς διηγεῖται, ὡς ἐκ πολλῶν δῆλον γίνεται) οὐχὶ ὀλιγωτέρους μύθους διηγοῦνται. Πρὸς διήγησιν δὲ τῆς πλάνης ὁ ἥρως, ὡς δοκεῖ, τὸ πλεῖστον τῆς νυκτὸς ἐδαπάνησεν· διότι περὶ τὸ μέσον τῆς διηγήσεως λέγεται, ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου[4]). Τῇ ἀληθείᾳ ὁ ἥρως μακρὸν χρόνον κατατρίβει, ἀλλὰ πῶς ἠδύνατο διακόψαι τὸν μίτον τῆς διηγήσεως, ἐν ᾧ ὁ ξενίζων λέγει, νὺξ δ' ἥδε μάλα μακρὴ ἀθέσφατος· οὐδέ πω ὥρη εὕδειν ἐν με-

1) Ueber den Ursprung der Homerischen Gesänge I, 416. 2) Urgestalt der Odyssee σελ. 126. 3) Ὀδυσσ. Θ 417. 4) Ὀδυσσ. Λ 379 καὶ 390.

γάρῳ;[1]) Τίς δ' ἐπὶ μακρὸν χρόνον πλανηθεὶς οὐχ ἡδέως τὰς ἰδίας συμφορὰς διηγήθη; Τελευταῖον παρατηροῦμεν, ὅτι, ὡς ἡ ἐν βραχεῖ χρόνῳ συστολὴ τῶν πράξεών ἐστι ποιητική, οὕτω καὶ ἡ τούτων διήγησις, ἥτις διακοπεῖσα τὸ μέγιστον τοῦ ἐπαγωγοῦ ἀπόλλυσιν. Οἱ δὲ δυσχεραίνοντες, ὅτι πολλὰ ἐν βραχεῖ χρόνῳ συστέλλονται, ὤφειλον δεῖξαι ἕν γε μέρος τῶν ὁμηρικῶν ἐπῶν, ἐν ᾧ οὐ τὸ αὐτὸ ὁ θεσπέσιος ποιητὴς ἔπραξεν. Ἐκ τῆς εἰρημένης παρατηρήσεως ὁρμώμενος ὁ B. Thiersch νομίζει, ὅτι ἡ Ὀδύσσεια διαιρεῖται εἰς δώδεκα μέρη, ἅπερ ὅμως ὁ σοφὸς ἀνὴρ οὐ δύναται καταδεῖξαι καὶ τοῦτο ὁμολογεῖ[2]). Ἀλλ', εἰ οὕτως ἔχει, πῶς ταῦτα ἐμέτρησεν; Ὀνομάζει δὲ δύο μόνον, α') τὴν παρὰ τοῖς Φαίαξι διήγησιν τοῦ Ὀδυσσέως καὶ β') τὰ ἐν Πύλῳ καὶ Λακεδαίμονι. Ἔστω καὶ τοῦτο. Διὰ τί ὅμως ἡ παρὰ τοῖς Φαίαξι διήγησις τοῦ Ὀδυσσέως οὐκ ἐγένετο ἐν πολλαῖς νυξίν, ἀφ' οὗ κατὰ τὸν κριτικὸν εἷς ποιητὴς τὸ μέρος τοῦτο ἐποίησεν; Τῇ ἀληθείᾳ οὐ δυνάμεθα νοῆσαι, ὅτι οἱ περὶ τὸν Πεισίστρατον εἶχον τὴν κακὴν ἰδιότητα, ἵνα δίκην μυῶν τὰς ἡμέρας καὶ νύκτας τῶν ὁμηρικῶν ἐπῶν περιτρώγωσιν. Ἀλλ' οὐκ ἐνδιατρίβομεν πλέον· διότι ἐπανερχόμεθα, εἰς ὅσα πρὸς τὸν W. Müller ἐλέγομεν.

Πολλοὶ κριτικοὶ παρετήρησαν καὶ τὴν ἑπομένην ἀντίφασιν. Ὁ Ὀδυσσεὺς λέγει πρὸς τὴν Ἀρήτην, ὅτι ἀπὸ τῆς ἑσπέρας μέχρι τῆς δύσεως τοῦ ἡλίου τῆς ἑπομένης ἡμέρας ἐκοιμᾶτο, εὗδον παννύχιος καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ· δύσετό τ' ἠέλιος, καί με γλυκὺς ὕπνος ἀνῆκεν[3]), ἐν ᾧ κατὰ τὴν διήγησιν τοῦ ποιητοῦ ὁ ἥρως περὶ τὴν μεσημβρίαν ἤδη ἐγερθεὶς ἦν ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς κατὰ τὴν δύσιν τοῦ ἡλίου[4]). Τὸ παράδειγμα τῶν τοιούτων λεπτῶν παρατηρήσεων κατέλιπον τοῖς κριτικοῖς οἱ ἡμέτεροι πρόγονοι. Καὶ δὴ ἐνταῦθα ὁ Ἀρίσταρχος

---

1) Αὐτόθι 373. 2) Urgestalt der Odyssee σελ. 125 „Jetzt freilich sind ie so verwebt, dass es nicht mehr möglich ist, sie herauszuschälen. Die)peration ist äusserst schwierig, weil die Verwebung selbst alt ist.“ 3) Ὀδυσσ. [288. 4) Ὀδυσσ. Ζ 321.

διώρθου τὸ δύσετο εἰς δείλετο. Ἀλλ' ἴσως τὸ χωρίον οὐ δεῖται διορθώσεως. Διότι ἀπὸ τῆς ὥρας, καθ' ἣν ὁ ἥλιος ἄρχεται δύων καὶ λέγεται, ὅτι δύει, μέχρι τῆς πραγματικῆς αὐτοῦ δύσεως ὑπάρχει χρονικὸν διάστημα, καθ' ὃ ἠδύναντο διαπραχθῆναι, ὅσα ἀπὸ τῆς ἐγέρσεως τοῦ Ὀδυσσέως μέχρι τῆς μεταβάσεως αὐτοῦ εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐγένοντο. Ἐξηγεῖται δ' ἔτι μᾶλλον τοῦτο, ἐὰν ἀναμνησθῶμεν, ὅτι πανταχοῦ ὁ ποιητὴς ἐν βραχεῖ χρόνῳ τὰς πράξεις συστέλλει. Ἀλλὰ τὰ τοιαῦτά εἰσιν ἀκρίβειαι, ἃς οὔτε παρὰ μύθων, οὔτε παρὰ ποιήσεως δύναταί τις αἰτεῖν, οἱ δὲ ταύτας ἀνιχνεύοντες τοῦ πνεύματος τῆς ποιήσεως μάλιστα ἀφίστανται, ὡς αὐτὸς ὁ Geppert *ὁμολογεῖ*[1]). *Λυπούμεθα ὅμως, ὅτι τὴν σοφὴν ταύτην παρατήρησεν οὐκ ἐφήρμοσεν εἰς πολλὰ ζητήματα, περὶ ἃ ἠσχολήθη.*

Οὕτω διὰ πάντων τῶν εἰρημένων ἀνῃρέσαμεν μόνον τὰς δεικνυομένας ἀντιφάσεις, ὑπολείπεται δὲ σπουδαίῳ τοῦ ἔπους ἀναγνώστῃ, ἵνα πανταχοῦ τὴν ἐν αὐτῷ χρονολογικὴν ἀκολουθίαν διίδῃ. Διότι ἡμῖν διὰ τὸ μέγεθος τῆς ὕλης ἡ ἐξέτασις τούτου ἀποβαίνει ἀδύνατος.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Παραβολὴ τῶν ὁμηρικῶν ἐπῶν πρὸς ἄλληλα.

Ἐν τῷ πρώτῳ βιβλίῳ τοῦ ἡμετέρου πονήματος εἴπομεν, ὅτι οἱ ἀρχαῖοι ἐν τῇ κλασικῇ ἤδη ἐποχῇ τὴν Ἰλιάδα πρὸς τὴν Ὀδύσσειαν παρέβαλλον. Καὶ δὴ παρόντος τοῦ Σωκράτους ὁ Ἀπήμαντος ἔλεγεν, ὅτι ἡ Ἰλιὰς κάλλιον ἂν εἴη ποίημα τῷ Ὁμήρῳ ἢ ἡ Ὀδύσσεια καὶ ὅτι ἡ

1) Ueber den Ursprung der Homerischen Gesänge I, 414 „Aber wer aus Ungenauigkeiten dieser Art ein Argument für den Mangel an Uebereinstimmung oder Zusammenhang hernehmen wollte, würde sich von dem Geiste der Poesie weit entfernen."

Ἰλιὰς τοσούτῳ καλλίων ἐστὶ τῆς Ὀδυσσείας, ὅσῳ ὁ Ἀχιλλεὺς ἀμείνων τοῦ Ὀδυσσέως [1]. *Ὁ δ' Ἀριστοτέλης ἔλεγε τὴν μὲν Ἰλιάδα ποίημα ἁπλοῦν καὶ παθητικόν, τὴν δ' Ὀδύσσειαν πεπλεγμένον καὶ ἠθικόν* [2]. *Ἐὰν δέ τις παραβάλῃ τὴν Ἰλιάδα πρὸς τὴν Ὀδύσσειαν, εὑρίσκει, ὅτι ἐκείνη μὲν ἐστιν ἰσχυρὰ καὶ ζωηρά, αὕτη δὲ μετριωτέρα καὶ ἡσυχαιτέρα. Ἐκ τῆς διαφορᾶς δὲ ταύτης ὁρμώμενοί τινες τῶν ἀρχαίων ἐνόμιζον, ὅτι ὁ ποιητὴς τὴν μὲν Ἰλιάδα ἐν τῇ ἀκμῇ τῆς αὑτοῦ ἡλικίας, τὴν δ' Ὀδύσσειαν ἐν τῷ γήρατι ἐποίησεν. Ἡ ἰδέα αὕτη φέρεται ἐν τῇ Ψευδοηροδοτείῳ βιοτῇ, ἐν ᾗ ὁ συγγραφεὺς λέγει, ὅτι ὁ ποιητὴς τὴν μὲν Ἰλιάδα ἐποίησεν ἀκμάζων ἐν Σμύρνῃ, τὴν δ' Ὀδύσσειαν ἐν Χίῳ, ὅτε ἤδη πατήρ, γέρων καὶ τυφλὸς ἐγένετο. Ὁ μῦθος οὗτος ἀνυψώθη εἰς θεωρίαν ὑπὸ τοῦ συγγραφέως τοῦ συγγράμματος* [3], *ὅπερ μέχρι πρὸ ὀλίγου χρόνου τῷ Λογγίνῳ ἀπεδίδετο. Ἴσως ἡ τοῦ Λογγίνου παραβολὴ τῆς Ἰλιάδος καὶ Ὀδυσσείας πρὸς τὸν ἀνατέλλοντα καὶ δύοντα ἥλιον παρήγαγεν ἐν τῇ κεφαλῇ τοῦ* Herder [4] *δύο Ὁμήρους, τὸν δυτικὸν καὶ ἀνατολικὸν Ὅμηρον. Τοιαύτας παραδοξολογίας ἤδη ὁ Ἰταλὸς* Vico *ὠνειροπόλει διαστέλλων βορειοανατολικὸν καὶ νοτιοδυτικὸν Ὅμηρον. Ὁμοίαν δὲ πρὸς τὴν τοῦ Λογγίνου παραβολὴν ἐποίησεν ὁ* J. Paul *ὀνομάζων τὴν μὲν Ἰλιάδα τὸν ἥλιον, τὴν δ' Ὀδύσσειαν τὴν σελήνην τοῦ Ὁμήρου* [5]. *Ἐπειδὴ ὅμως τοιαῦται παραβολαὶ οὐδὲν κοινὸν μετὰ τῆς ἐπιστήμης ἔχουσι, νομίζομεν ἄλλας ὁμοίας ταῖς εἰρημέναις παραλειπτέας. Τὸ μόνον βέβαιόν ἐστιν, ὅτι ἡ Ὀδύσσεια ἔχει μορφὴν κατά τι τῆς Ἰλιάδος διάφορον.*

Ἀλλ' ἆρά γε ἐκ τῆς διαφορᾶς ταύτης δυνάμεθα συμπεράσματα ἐξάγειν καὶ θεωρίας ἐποικοδομεῖν; Ἆρά γε ἡ

---

1) *Πλάτ. Ἱππ. ἐλάττ.* 363 B. 2) *Περὶ Ποιητ.* XXIV. 3) *Περὶ ὕψους* IX *„Ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης ἐν ἀκμῇ πνεύματος, ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον· τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικόν, ὅπερ ἴδιον γήρως. Ὅθεν ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν καταδυομένῳ τὸν Ὅμηρον ἡλίῳ, οὗ δίχα τῆς σφοδρότητος παραμένει τὸ μέγεθος . . .“* 4) Werke zur schönen Literatur und Kunst 10. 5) Vorschule der Aesthetik, Progr. IV, *λ.* 20.

μικρὰ τῶν δύο ἐπῶν διαφορὰ οὐδὲν ἄλλο σημαίνει ἢ διαφορὰν τῶν αἰώνων, καθ᾿ οὓς ταῦτα ἐποιήθησαν; Ἆρά γε ἡ διαφορὰ αὕτη ἐστὶν ἀσφαλὲς τῆς διαφορᾶς τοῦ ποιητοῦ τεκμήριον; Ἡ εἰς τοιαῦτα ζητήματα ἀπόκρισις οὕτω δυσχερὴς ἐστιν, ὥστε βεβαίαν καὶ ὡρισμένην ἀπόκρισιν δίδουσι μόνον ἐκεῖνοι, οἵτινες ἐν τοῖς ἀμφιβόλοις τῆς ἐπιστήμης ζητήμασι τολμηρότερον ἀποφαίνονται. Τὰ ζητήματα ταῦτα ἠγέρθησαν μὲν καὶ παρὰ τοῖς ἀρχαίοις, ἀλλ᾿ οἱ ταῦτα λύοντες ψόγου καὶ σκωμμάτων ἔτυχον. Παρὰ τῶν ἐνετικῶν σχολίων μανθάνομεν, ὅτι ὁ Ξένων καὶ ὁ Ἑλλάνικος ἐχώριζον τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ἣν μόνην τῷ Ὁμήρῳ ἀπέδιδον καὶ διὰ τοῦτο Χωρίζοντες ἐκλήθησαν[1]). Ὁ δὲ σκώπτης Λουκιανὸς[2]) εἰς Ἅδου καταβὰς ἠρώτησε τὸν Ὅμηρον, εἰ προτέραν τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος γέγραφεν. Ὁ δὲ ποιητὴς ἠρνεῖτο τοῦτο. Ὁ δὲ Σενέκας[3]) ἀπεδοκίμαζε τὰς τοιαύτας ἐρεύνας ὡς ἀνωφελεῖς καὶ μάτην τὸν χρόνον καταναλισκούσας. Ἀλλ᾿ οἱ νεώτεροι τολμηρότερον ἀποφαίνονται, ὅτι ὄντως ἡ Ὀδύσσεια βραδύτερον τῆς Ἰλιάδος καὶ ὅτι ὑπὸ ἄλλου ποιητοῦ ἐποιήθη. Ἐν τῷ δευτέρῳ βιβλίῳ εἴδομεν, ὅτι ὁ Vico τοιαύτην ἰδέαν ἐξέφρασεν. Ὁ μὲν Hermann[4]) τὴν μεταγενεστέραν τῆς Ὀδυσσείας γένεσιν νομίζει ἀναντίρρητον, ὁ δὲ Welcker[5]) ἀποφαίνεται τὴν διαφορὰν τῆς μὲν ἐποχῆς μεγάλην, τῶν δὲ ἐπῶν ἐναργῆ. Ὁ δὲ Peyne Knight[6]) τὸν μὲν ποιητὴν τῆς Ἰλιάδος τίθησι δύο αἰῶνας πρὸ τοῦ Ἡσιόδου, τὸν δὲ τῆς Ὀδυσσείας ἕνα μόνον. Τελευταῖον ὁ Nitzsch, τὸ πρῶτον μὲν ἀποφανθείς, ὅτι ἡ Ὀδύσσεια ὑπὸ ἄλλου ποιητοῦ ἐποιήθη, βραδύτερον δὲ μεταμεληθεὶς εἰς τὴν ὑπὸ τῶν ἀρχαίων παραδεδομένην γνώμην ἐπανῆλθεν[7]). Ἀλλ᾿ ἴδωμεν τὰ αἴτια, δι᾿ ἃ οἱ κριτικοὶ εἰς τοιαῦτα συμπεράσματα φθάνουσιν.

Ὁ W. Müller[8]) τίθησι τοὺς αὐτοῦ ἀναγνώστας εἰς τὸ ἑπόμενον δίλημμα· ἢ ὁ περὶ τῆς πλάνης καὶ τοῦ νόστου

1) Grauert, Ueber die Chorizonten ἐν τῷ Rhein. Mus. I (1827) σελ. 199 καὶ ἑξῆς. 2) Ἀληθ. ἱστορ. II, 20. 3) De provid. XIII. 4) Praef. ad Odyss. σελ. VII. 5) Der epische Cyklus I, 295. 6) Prolegom. ad Homerum LXII. 7) Sagenpoesie der Griechen σελ. 293. 8) Homerische Vorschule 186.

τοῦ Ὀδυσσέως μῦθος μετὰ τῶν οἰκιακῶν σκηνῶν, τῶν ὡραίων κήπων, τῶν Σειρήνων, τῶν Κυκλώπων καὶ τῆς Κίρκης πρὸ τοῦ ποιητοῦ ἔσχε τὸ χρῶμα, ὅπερ τὴν Ὀδύσσειαν χαρακτηρίζει, ἢ οὗτος εὗρε τὴν ὕλην οὔπω μεμορφωμένην. Ἐὰν μὲν ὑποτεθῇ τὸ πρῶτον, ὁ ἀνὴρ νομίζει, ὅτι ἡ μεμορφωμένη ὕλη τῆς Ὀδυσσείας οὐκ ἦν ὕλη τῷ ποιητῇ τῆς Ἰλιάδος οὐδὲ οὗτος ἠδύνατο ταύτῃ χρήσασθαι. Ἐὰν ὅμως τὸ δεύτερον, ὁ κριτικὸς ἀποφαίνεται, ὅτι ὁ ποιητὴς τῆς Ἰλιάδος οὐκ ἠδύνατο μορφῶσαι τὴν ἡμετέραν Ὀδύσσειαν. Διότι κατ' αὐτὸν ἡ οἰκιακὴ καὶ εἰρηνικὴ διατριβή, ἐν ᾗ εὑρίσκομεν τὸν ἥρωα τῆς Ὀδυσσείας, ἔμελλεν ὑποχωρῆσαι καὶ οἱ τοῦ Ὀδυσσέως ἀγῶνες πρός τε τὰ μαινόμενα κύματα καὶ τοὺς βαρβάρους ἔμελλον ἐπικρατῆσαι. Πρὸς δὲ ἐμέλλομεν ἧττον ἄγεσθαι εἰς τοὺς θαλάμους τῶν γυναικῶν, εἰς τὸν ὀκνηρὸν βίον, ἀλλὰ μᾶλλον εἰς τοὺς ἀγῶνας, ἐν οἷς οἱ υἱοὶ τῶν ἀνάκτων καὶ ἐν εἰρήνῃ ἀγωνίζονται. Καὶ αὐτοὶ δ' οἱ ἥρωες, οὓς ἐκ τῆς Ἰλιάδος γινώσκομεν, οὐκ ἔμελλον φαίνεσθαι ἐν τῇ Ὀδυσσείᾳ τοσοῦτον ἥμεροι καὶ πρᾶοι. Ὁ κριτικὸς ὁρμᾶται ἐκ τῆς ἀρχῆς, ὅτι ὁ μὲν Οὐϊργίλιος ἠδύνατο ἐκλέξαι εἰδυλλιακήν, διδακτικὴν καὶ ἐπικὴν ὕλην, οὐχὶ δὲ καὶ ἐκ φύσεως ποιητής, ὡς ὁ Ὅμηρος. Διότι τὸ φυσικὸν πνεῦμα κατ' αὐτὸν ἔχει μόνον φυσικήν τινα διεύθυνσιν, ᾗ ὁ ποιητὴς καθ' ὅλον τὸν βίον ἀκολουθεῖ, καὶ ἡ φύσις, ἥτις αὐτῷ ἅπαξ ταύτην ὑπέδειξεν, οὐκ ἀνέχεται ἅλμα πρὸς νέαν πλαγίως κειμένην ἢ ἐναντίαν διεύθυνσιν[1]. *Ἡ εἰρημένη θεωρία ἴσως ἠχεῖ καλῶς, ὅμως ἀκριβεστέρα ἔρευνα ἀποδείκνυσιν αὐτὴν ἡμαρτημένην. Πρῶτον οὐκ ἔστι δῆλον, ὅτι ὁ Ὅμηρός ἐστι ψιλός τις καὶ αὐτοδίδακτος ἀοιδός. Τοὐναντίον ἐκ πολλῶν τεκμαιρόμεθα, ὅτι ἐφ' Ὁμήρου ἡ ἐποποιία εἰς τέχνην τινὰ ἐξεμορφώθη. Εἶτα ἡ προϋπόθεσις, ὅτι ὁ ἐκ φύσεως ποιητὴς μίαν μόνην διεύθυνσιν πρὸς τὸ ποιεῖν ἔχει, φαίνεται ἡμῖν γε οὐχὶ βεβαία. Διότι συχνάκις παρὰ τῷ ἡμετέρῳ γε λαῷ εἴδομεν ἐκ φύσεως ποιητὰς ποιοῦντας καὶ ἡρωικὰ ᾄσματα (τὰ δὴ καλούμενα κλέφτικα)*

---

1) *Αὐτόθι σελ.* 186.

καὶ ἐρωτικά, ἐν οἷς πάνυ ῥᾳδίως ἐσωτερικὴν καὶ ἐξωτερικὴν διαφορὰν εὑρίσκει τις. Ἡ δὲ διαφορὰ εἰς τοσοῦτον προβαίνει, ὥστε μᾶλλον ταῦτα πρὸς ἄλληλα διαφέρουσιν, ἢ τὰ διάφορα τῆς ποιήσεως εἴδη τοῦ Μάρωνος. Ἀλλὰ δύναταί τις ἀπαιτῆσαι παρ' ἡμῶν μαρτυρίας, ἃς διὰ τὴν φύσιν τῆς δημοτικῆς ποιήσεως οὐκ ἔχομεν προχείρους, ὅπως πείσωμεν τοὺς μὴ ἰδόντας τοιούτους ποιητάς. Ἔχομεν ὅμως μαρτυρίας ἐξ αὐτοῦ τοῦ Ὁμήρου βέβαιον ἔν γε τῷ ζητήματι τούτῳ κῦρος ἔχοντος. Ὁ Δημόδοκος ἐπὶ τῆς πλάνης τοῦ Ὀδυσσέως οὐ μόνον κλέα ἀνδρῶν[1]), ἀλλὰ καὶ τὴν μίξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης[2]) ᾄδει. Ὁ αὐτὸς ᾖσε τὴν ἔριδα τοῦ Ὀδυσσέως καὶ τὰ τοῦ δουρείου ἵππου[3]). Ἡ μὲν ἔρις τῶν δύο ἡρώων δύναται παραβληθῆναι πρὸς τὴν μῆνιν τοῦ Ἀχιλλέως, ἡ δὲ τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης μίξις προδήλως τὸν χαρακτῆρα τῆς Ὀδυσσείας ἔχει. Τί λοιπὸν παθὼν ὁ Δημόδοκος τὸν ὑπὸ τοῦ W. Müller *τεθειμένον νόμον παρέβη; Ἡ παράβασις προφανής ἐστιν. Ἀλλ ἴσως δύναταί τις εἰπεῖν, ὅτι ἐν τοῖς χρόνοις τῆς γενέσεως τῆς Ὀδυσσείας εἷς ἀοιδὸς τοσοῦτον διάφορον ὕλην ᾖδεν, οὐχὶ ὅμως καὶ ἐν τοῖς χρόνοις τῆς Ἰλιάδος, ὅτε μόνον ἡρωικὰ ᾄσματα ἐποιοῦντο. Ἀλλ' οὐδὲν δικαίωμα ἔχομεν, ὅπως τὸν Ἰλιάδα εἰς προγενεστέραν ἐποχὴν ἀναβιβάσωμεν. Διότι τοῦτο δὴ ζητεῖται. Ἄλλως καὶ αὐτὴ ἡ Ἰλιὰς περιέχει φράσεις, ἐξ ὧν δῆλον γίνεται, ὅτι καὶ ἐπ' αὐτῆς οὐ μόνον κλέα ἀνδρῶν, ἀλλὰ καὶ ἀρεταὶ ἢ κακίαι γυναικῶν ᾔδοντο. Ἡ Ἑλένη φοβεῖται, ὅτι πρὸς ἀτιμίαν αὐτῆς ποιηθήσονταί ποτε ᾄσματα[4]).*

Πρὸς πᾶσι τούτοις ἡμεῖς γε οὐκ ἐννοοῦμεν, διὰ τί, εἰ ὁ ποιητὴς τῆς Ἰλιάδος εὗρισκε τὴν ὕλην τῆς Ὀδυσσείας ἄμορφον, ὤφειλε δοῦναι ἀλλοίαν τῆς παρούσης μορφήν. Διότι ἄλλος ὁ ἥρως τοῦ ἑνός, καὶ ἄλλος ὁ τοῦ ἑτέρου ἔπους. Εἰ ὁ Ὀδυσσεὺς ὁ ἥρως τῆς Ἰλιάδος ἦν, ἡ μορφὴ τούτου τοῦ ἔπους ἔμελλεν εἶναι ἀλλοία καί μᾶλλον πρὸς τὴν πα-

---

1) *Ὀδυσσ.* Θ 73. 2) *Αὐτόθι* 265—366. 3) *Αὐτόθι* 75. 4) *Ἰλιάδ.* Ζ 358.

ροῦσαν τῆς Ὀδυσσείας, ἢ πρὸς τὴν τῆς Ἰλιάδος παρεμφερῆς. Διότι ἐν τῇ Ἰλιάδι ἔμελλεν εἶναι ἐπικρατεστέρα οὐχὶ ἡ ὑπεράνθρωπος τοῦ Ἀχιλλέως ἀνδρία, ἀλλ' ἡ πανουργία καὶ δολοπλοκία τοῦ Ὀδυσσέως. Ἀντὶ αἱματηρῶν μαχῶν καὶ μονομαχιῶν ἐμέλλομεν ἔχειν δουρείους ἵππους, κατασκοπὰς καὶ τὰ παραπλήσια. Πλὴν τῶν εἰρημένων παρατηροῦμεν, ὅτι καὶ ὁ ποιητὴς τῆς Ἰλιάδος οὐ στερεῖται τῆς ἐπιτηδειότητος, ὅπως τοὺς αὐτοῦ ἀκροατὰς εἰς θαλάμους γυναικῶν, εἰς συζυγικοὺς διαλόγους καὶ ἔριδας, εἰς μίξεις καὶ τὰ παραπλήσια εἰσάγῃ. Εἰ καὶ κατὰ τὴν ἐν τῷ προοιμίῳ ὑπόσχεσιν ὁ ποιητὴς ὤφειλεν ἀσχολεῖσθαι περὶ τὰς συμφορὰς τῶν Ἀχαιῶν, ὅμως μέγα τῆς Ἰλιάδος μέρος καταναλίσκει εἰς περιγραφὴν γεγονότων, ἅπερ κατὰ τὸν ὑπὸ τοῦ W. Müller τεθειμένον νόμον μᾶλλον τῷ ποιητῇ τῆς Ὀδυσσείας ἥρμοζον. Εἰ καὶ αἱ τῶν Ἀχαιῶν γυναῖκες οὐκ ἠκολούθουν τοῖς αὐτῶν ἀνδράσιν εἰς τὴν Τροίαν, ὅπως δῶσιν ἀφορμὴν τῷ ποιητῇ τῆς Ἰλιάδος πρὸς περιγραφὴν οἰκιακῶν ὑποθέσεων, ὅμως ἡ ξηρὰ διήγησις μαχῶν, ὡς δοκεῖ, οὐκ ἀρέσκει τῷ ποιητῇ τοῦ ἔπους, ἀλλὰ τείνει, οὕτως εἰπεῖν, μιμήσασθαι τὸν τῆς Ὀδυσσείας. Συχνάκις διακόπτει τὸν θόρυβον τῶν μαχῶν, ὅπως διηγηθῇ ἡμῖν εἰρηνικὰς καὶ οἰκιακὰς ὑποθέσεις. Καὶ δὴ φέρει ἡμᾶς εἰς διαλόγους τῆς Θέτιδος καὶ τοῦ Ἀχιλλέως [1]), τῆς Ἑλένης καὶ τοῦ Πριάμου [2]), τῆς Ἀφροδίτης καὶ τῆς Ἑλένης, εἰς τρυφερὰς σχέσεις ταύτης μετὰ τοῦ Πάριδος [3]), εἰς ἔριδας τοῦ Διὸς καὶ τῆς Ἥρας [4]) καὶ εἰς κωμικὰς σκηνὰς τοῦ Ἡφαίστου [5]) καὶ τοῦ Θερσίτου [6]). Ὁ δ' ἐν τῷ Ζ διάλογος τῆς Ἑλένης μετὰ τοῦ Ἕκτορος καὶ ἡ ἔκχυσις τῶν αἰσθημάτων τούτου πρός τε τὴν Ἀνδρομάχην καὶ τὸν υἱὸν παραβαλλόμενα πρὸς ὁμοίας σκηνὰς τῆς Ὀδυσσείας ἀποδεικνύουσιν, ὅτι ὁ τῆς Ἰλιάδος ποιητὴς ἐγίνωσκε μὲν πολλῷ ἴσως ἐπιτηδειότερον τοῦ τῆς Ὀδυσσείας περιγράψαι τοιαύτας σχέσεις, ἀλλ' ἡ τοῦ ἔπους ὑπόθεσις τοῦτον ἐκώλυεν.

---

1) Ἰλιάδ. Α 352. 2) Ἰλιάδ. Γ 115—243. 3) Αὐτόθι 389—446 Ἰλιάδ. Δ 540. 5) Αὐτόθι 573. 6) Ἰλιάδ. Β 211.

Ὁ W. Müller, ὡς εἴρηται, παρατηρεῖ, ὅτι ὁ Μενέλαος ἐν τῇ Ὀδυσσείᾳ εἰκονίζεται ἡμερώτερος καὶ ἠπιώτερος ἢ ἐν τῇ Ἰλιάδι. Ἀλλ' ἐμέλλομεν ἀπορεῖν, εἰ τὸ ἐναντίον ὑπῆρχεν. Ὁ ἥρως μετὰ πολλοὺς πόνους καὶ μεγάλους κινδύνους τὴν αὐτοῦ σύζυγον αὖθις κτησάμενος ἦν ἐν τῇ εὐθυμίᾳ δύο γάμων καὶ ὤφειλεν εἶναι ἥμερος καὶ ἤπιος πρὸς τὸν ξενιζόμενον υἱὸν τοῦ Ὀδυσσέως· τοῦ Ὀδυσσέως, λέγομεν, ὅστις δέκα ἔτη ὑπὲρ αὐτοῦ ἐμάχετο καὶ ἄλλα δέκα δι' αὐτὸν ἐπλανᾶτο. Τί δή; Ἀπαιτεῖ ὁ κριτικός, ἵνα ὁ Μελέλαος πρὸς τὸν νέον Τηλέμαχον μὴ ἥμερος καὶ ἤπιος, ἀλλὰ θρασὺς καὶ ἄγριος ἐπιδεικνύηται; Τοῦτο τῇ ἀληθείᾳ ἔμελλεν εἶναι κωμικόν. Ἄλλως ὁ Μενέλαος οὐδὲ ἐν τῇ Ἰλιάδι αὐτῇ, ἔνθα ὤφειλε, δείκνυσι τοιοῦτον χαρακτῆρα. Πρὸς δὲ ἡ παρατήρησις αὕτη τοῦ W. Müller προϋποτίθησιν, ὅτι οἱ ὁμηρικοὶ ἥρωες οὐ μόνον ἐν ταῖς μάχαις, ἀλλὰ καὶ ἐν τῷ εἰρηνικῷ βίῳ ἦσαν οὐχὶ ἥμεροι καὶ ἤπιοι, ἀλλὰ θρασεῖς καὶ ἄγριοι. Ἡ Ἰλιὰς ὅμως τὸ ἐναντίον μαρτυρεῖ. Ἀπίδωμεν πρὸς τοὺς θρασυτέρους μαχητάς, τὸν Ἀχιλλέα καὶ Ἕκτορα. Πόσον ἥμερος καὶ ἤπιος δείκνυται ὁ ἥρως τῆς Ἰλιάδος πρὸς τοὺς πρέσβεις τῶν Ἀχαιῶν![1] Πόση ἐν αὐτῷ ἡμερότης καὶ πόση ἠπιότης εἰκονίζεται ἔν τε τοῖς ἀγῶσι[2] καὶ ἐν τῇ ὑποδοχῇ[3] τοῦ πατρὸς τοῦ Ἕκτορος! Τοιαύτας ἀρετὰς μάτην ἔμελλέ τις ζητῆται παρὰ τοῖς εἰρηνικοῖς τῆς Πηνελόπης μνηστῆρσιν. Πόσην τρυφερότητα ὁ ὑπὸ τοῦ ποιητοῦ τῆς Ἰλιάδος θρασὺς[4] καὶ λυσσώδης[5] ὀνομαζόμενος Ἕκτωρ δείκνυσι πρός τε τὴν Ἑλένην, τὴν Ἀνδρομάχην καὶ τὸν Ἀστυάνακτα![6] Τοσαύτην ὁ ἁβρὸς τῶν Φαιάκων βασιλεὺς οὔτε πρὸς τὴν Ἀρήτην, οὔτε πρὸς τοὺς υἱοὺς αὐτοῦ ἐπιδείκνυσιν.

Πολλοὶ κριτικοὶ ἐνόμισαν, ὅτι, ἐπειδὴ ἡ μὲν Ἰλιὰς εἰκονίζει μάχας καὶ χύσεις αἱμάτων, ἡ δ' Ὀδύσσεια εἰρηνικώτερον βίον, ἐκείνη μὲν ἐποιήθη ἐν χρόνοις, καθ' οὓς ἐν Ἑλλάδι ἀμοιβαῖαι καταστροφαὶ ἐπεκράτουν, αὕτη δ' ἐν

---

1) Ἰλιάδ. I. 2) Ἰλιάδ. Ψ. 3) Ἰλιάδ. Ω καὶ ἑξῆς. 4) Ἰλιάδ. M 60. 5) Ἰλιάδ. N 54. 6) Ἰλιάδ. Z.

χρόνοις, καθ' οὓς εἰρηνικώτερος τὸν ἀγροῖκον καὶ βάρβαρον ἐκεῖνον βίον διεδέξατο. Τοιαύτας ὅμως θεωρίας μόνον ἐκεῖνοι δημιουργοῦσιν, ὅσοι ἐκ φαινομένων διαφορῶν οἰκοδομοῦσι θεωρίας. Πρὸς δέ, ἐν ᾧ ἀφ' ἑνὸς ὁμολογοῦσιν, ὅτι οἱ μῦθοι τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας εὐθὺς μετὰ τὰ Τρωικὰ τὴν μορφήν, ἐν ᾗ ταῦτα ἔχομεν (πλὴν τινων διαφορῶν), ἔσχον, ἀφ' ἑτέρου ἱδρύουσι θεωρίαν μηδόλως πρὸς τὴν πρώτην ὁμολογίαν συμφωνοῦσαν. Ὅτι δ' οἱ μῦθοι τῶν δύο ἐπῶν συγχρόνως ἐγεννῶντο, γίνεται δῆλον καὶ ἄλλοθεν καὶ ἐντεῦθεν. Ὁ μὲν Ὀδυσσεὺς πλανώμενος ἤδη ἤκουσε παρὰ τοῖς Φαίαξι τὸ πρὸς τὸν Ἀχιλλέα αὐτοῦ νεῖκος [1]) καὶ τὰ τοῦ δουρείου ἵππου [2]), ὁ δὲ Φήμιος ἐν τῇ πλάνῃ τοῦ ἥρωος ᾖδε παρὰ τοῖς μνηστῆρσι τοὺς νόστους τῶν Ἀχαιῶν [3]).

Ὁ W. Müller τὸ ἁμάρτημα ἴσως τοῦτο κατιδὼν καταφεύγει εἰς τὴν ὑπόθεσιν, ὅτι ἡ μὲν Ἰλιὰς ἐποιήθη ἐν αἰῶνι πλήρει τοῦ πνεύματος τοῦ ἡρωικοῦ παρελθόντος καὶ διὰ τοῦτο ἡρωικωτέρα καὶ ζωηροτέρα ἐμορφώθη, ἡ δ' Ὀδύσσεια ἐν χρόνοις, καθ' οὓς κόσμος εἰρηνικὸς καὶ ἀτάραχος ἐπῆλθεν. Προστίθησι δ' ὁ κριτικός, ὅτι ἡ Ὀδύσσεια σχηματίζει μετάβασίν τινα ἀπὸ τοῦ ὑψηλοῦ καὶ ταραχώδους τῆς Ἰλιάδος κόσμου εἰς τὴν κοσμίαν καὶ ἀτάραχον σοφίαν τοῦ Ἡσιόδου, οὗ ἡ Μοῦσα εἰς τὰς καλύβας τῶν εὐσεβῶν αὐτοῦ δημοτῶν καταβαίνει. Κατ' αὐτὸν ἡ τῆς Ὀδυσσείας πρὸς τὴν Ἡσιόδειον ποίησιν συμφωνία δηλοῦται καὶ ἐκ τούτου, ὅτι ἐν ἐκείνῃ πλὴν τοῦ κόσμου τῶν θεῶν εἰκονίζονται καὶ δαίμονες, ὡς φαρμακεύτριαι, Σειρῆνες, Κύκλωπες καὶ ἄλλα, ἅπερ ἐν τῇ Ἡσιοδείῳ διδαχῇ περὶ δαιμόνων καὶ ἡμιθέων μανθάνομεν [4]). Πρῶτον ἡ θεωρία αὕτη ἀντιφάσκει πρὸς τὴν καθ' ὅλον τὸ σύγγραμμα τοῦ κριτικοῦ ἐκπεφρασμένην ἰδέαν, ὅτι τὰ ὁμηρικὰ ἔπη ἐποιήθησαν τρεῖς μετὰ τὰ Τρωικὰ αἰῶνας παρὰ τοῖς Ἴωσιν, οἵτινες κατ'

---

1) Ὀδυσσ. Θ 75. 2) Αὐτόθι 499. 3) Ὀδυσσ. Α 326. 4) Homerische Vorschule σελ. 189. Παράβαλ. Thiersch, Ueber die Gedichte des Hesiodus σελ. 16.

αὐτὸν ἤκμαζον ἐν τῇ ἐμπορίᾳ, τῇ βιομηχανίᾳ καὶ τῇ ναυτιλίᾳ. Ἀλλ' ἔμποροι, βιομήχανοι καὶ ναῦται οὐκ ἠδύναντο ἔχειν ἐνθουσιασμὸν πρὸς τὰς βαρβάρους τῆς Ἰλιάδος πράξεις, ἂν ὑποτεθῶσι τοιαῦται. Εἶτα, εἰ τὰ ὑπὸ τοῦ W. Müller εἰρημένα ἀληθῆ ἦσαν, τὰ ἔπη τοῦ Ἀρκτίνου καὶ τοῦ Λέσχου μετὰ τὸν Ἀσκραῖον ποιητὴν ποιηθέντα ὤφειλον ἔχειν καὶ ὑπόθεσιν καὶ μορφὴν ὁμοίαν γε πρὸς τὴν τῆς Ὀδυσσείας καὶ τῆς Ἡσιοδείου ποιήσεως. Ἀλλὰ παρὰ τὴν θεωρίαν τοῦ κριτικοῦ πάλιν ὁ Ἄρης μαίνεται καὶ ἴσως λυσσωδέστερον ἢ ἐν τῇ Ἰλιάδι. Πρὸς τούτοις ὁ πόλεμος οὐκ ἐλέγχει βάρβαρον κατάστασιν τοῦ λαοῦ, ὑφ' οὗ διαπράττεται. Καὶ νῦν συχνάκις πόλεμος γίνεται παρὰ τοῖς μάλιστα πεπολιτισμένοις λαοῖς καὶ ταῦτα δι' αἰτίας ὑλικάς, ἐν ᾧ ἡ τοῦ Τρωικοῦ ἦν ἠθική. Διότι οἱ Ἀχαιοὶ μάχονται ὑπὲρ τῆς προσβληθείσης τιμῆς καὶ κατὰ τοῦ παραβάτου τοῦ δικαίου τῆς ξενίας. Μόλις δ' οὗτοι τῆς μάχης ἐξέρχονται καὶ εὐθὺς ἤπιον χαρακτῆρα δεικνύουσιν. Ἐὰν δὲ παραβάλωμεν τὰς μάχας τῆς Ἰλιάδος πρὸς ὠμότητάς τινας τῆς Ὀδυσσείας, εὑρίσκομεν, ὅτι αὕτη βαρβαρωτέρας ἐκείνης πράξεις εἰκονίζει. Ὁ σκληρὸς διαμελισμὸς τοῦ Μελανθίου, οὗ τὴν ῥῖνα, τὰ ὦτα, τοὺς ὄρχεις, τὰς χεῖρας καὶ τοὺς πόδας οἱ περὶ τὸν Ὀδυσσέα διαταμόντες τοῖς κυσὶν ἔρριψαν, καὶ ὁ ἀπηνὴς τῶν δώδεκα δούλων πνιγμός, ὡς ὁ Knight καὶ ὁ Grote[1]) ὁμολογοῦσι, καὶ ἤθη καὶ βίον βαρβαρώτερον δεικνύουσιν. Καὶ ἐν τῇ Ἰλιάδι καίει μὲν ὁ Ἀχιλλεὺς δώδεκα νέους, ἀλλ' ὁ ποιητὴς ψέγει τὴν πρᾶξιν. λέγων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα[2]). Εἶτα λέγομεν πρὸς τοὺς περὶ τὸν W. Müller, ὅτι αἱ νύμφαι τῆς Ὀδυσσείας γνωσταὶ καὶ τῷ ποιητῇ τῆς Ἰλιάδος εἰσίν[3]). Ἐὰν δὲ παραβάλωμεν τὰ τερατώδη τῆς Ὀδυσσείας ὄντα πρὸς τὰ ἐν τῷ Φ τῆς Ἰλιάδος, ἔνθα ὁ Σκάμανδρος κατὰ τοῦ Ἀχιλλέως ὀργίζεται καὶ πλημμυρεῖ καὶ ἔνθα ὁ Ἥφαιστος ξηραίνει καὶ καίει τὸν ποταμόν[4]), οὐχ εὑρίσκομεν μεγάλην δια-

---

1) Μετάφρ. ὑπὸ Fischer II, 193. 2) Ἰλιάδ. Ψ 176. 3) Ἰλιάδ. Υ 8. 4) Ἰλιάδ. Φ 46 καὶ ἑξῆς.

φοράν. Ὁ δὲ Ξάνθος (ὁ ἵππος δηλαδὴ) τῆς Ἰλιάδος, ὅστις ἀποκρίνεται πρὸς τὸν Ἀχιλλέα[1]), δύναται παραβληθῆναι πρὸς τὴν νοοῦσαν ναῦν τῆς Ὀδυσσείας. Τελευταῖον παρατηροῦμεν, ὅτι ὁ ποιητὴς τῆς Ἰλιάδος οὐκ ἠδύνατο εἰς το ἔπος αὐτοῦ πλείονα τοιαῦτα ὄντα εἰσαγαγεῖν. Διότι μόνη ἡ φαντασία τῶν ἐν ἐρημίᾳ καὶ ἐν πελάγεσι πλανωμένων τοιαῦτα τέρατα δημιουργεῖ καὶ οὐχὶ ἡ τῶν ἐν τῷ στρατοπέδῳ βιούντων.

Πολλοὶ τῶν κριτικῶν παρατηροῦσιν[2]), ὅτι οἱ τῆς Ὀδυσσείας θεοὶ ἐπὶ ὑψηλοτέρας βαθμῖδος ἵστανται ἢ οἱ τῆς Ἰλιάδος. Ὁ δὲ B. Constant[3]) ἐνόμισεν, ὅτι ἐν τῇ Ὀδυσσείᾳ ὑπάρχει διάφορος μυθολογία καὶ θρησκεία τῆς ἐν τῇ Ἰλιάδι. Ὁμολογοῦμεν μέν, ὅτι οἱ τῆς Ὀδυσσείας θεοὶ οὐ καταβαίνουσιν εἰς τὸ πεδίον τῆς μάχης, ἵνα μεθ' ἡρώων μάχωνται, ἀλλὰ πρὸς τοῦτο ὁ ποιητὴς οὐκ εἶχεν ἀφορμήν, ἡ δὲ αἰτία ἔγκειται ἐν τοῖς μύθοις. Ἐν τῇ Ἰλιάδι, ἐπειδὴ προὔκειτο περὶ τῆς σωτηρίας ἢ τοῦ ὀλέθρου πόλεως ἄλλοις μὲν τῶν θεῶν προσφιλοῦς, ἄλλοις δ' ἀπεχθοῦς, τὰ πάθη αὐτῶν συνεκρούοντο. Πρὸς δέ, καὶ ἡ τῶν ὁμηρικῶν ἀνθρώπων φαντασία τὰ ἐπὶ τῆς γῆς πάθη εἰς τὸν Ὄλυμπον ἀνύψου. Διὰ ταῦτα ἦν οὐ μόνον ἄτοπον, ἀλλὰ καὶ γελοῖον, εἰ ἐν ἔπει, ἐν ᾧ ἐπὶ τῆς γῆς ὑπάρχει εἰρήνη, οἱ θεοὶ πρός ἀλλήλους ἤριζον καὶ ἐμάχοντο. Ἐν τῷ ἔπει τούτῳ πρόκειται περὶ τοῦ νόστου ἑνὸς μόνου ἥρωος διὰ τῆς ἰδίας πανουργίας δυναμένου οἴκαδε ἐπανελθεῖν, εἰ μὴ ὁ Ποσειδῶν κατ' αὐτοῦ ὠργίζετο. Ἐν τῷ ἔπει τούτῳ δύο μόνον θεοί, ἡ Ἀθηνᾶ καὶ ὁ Ποσειδῶν, ἀντίθετα πρὸς ἀλλήλους συμφέροντα ἔχουσιν. Ἀλλ' ἐπειδὴ ἡ θεὰ μείζονος παρὰ τῷ Διὶ εὐνοίας ἐτύγχανε καὶ ἐπειδὴ πάντες οἱ ἄλλοι θεοὶ οὐ δυσμενῶς πρὸς τὸν Ὀδυσσέα εἶχον[4]), ὁ τοῦ ἥρωος νόστος ἄνευ πολλῶν ἐρίδων ἐπιτυγχάνεται. Ἄλλως οἱ θεοὶ τῆς Ἰλιάδος ἐν τῇ Ὀδυσσείᾳ οὐ μετέβαλον τὴν αὐτῶν φύσιν. Καὶ ὁ Ζεὺς τούτου τοῦ ἔπους τηρεῖ τὸν χαρακτῆρα,

---

1) Ἰλιάδ. Τ 408. 2) Otfr. Müller, Geschichte der griech. Literatur I, 06. 3) De la religion τόμ. III. 4) Ὀδυσσ. Α 78.

ὃν παρὰ τῆς Ἰλιάδος ἐμάθομεν, καὶ ἡ σχέσις τούτου πρὸς τὴν θυγατέρα ἡ αὐτὴ ἐναργῶς δείκνυται. Καὶ οὗτος ῥεῖ ἐνδίδωσι[1]) ταῖς παρακλήσεσιν ἢ ταῖς μομφαῖς τῆς Ἀθηνᾶς, ὡς καὶ ἐν τῇ Ἰλιάδι, καὶ αὕτη τηροῦσα τὸν δυστράπελον αὐτῆς χαρακτῆρα μέμφεται τῷ πατρί[2]). Ἀκολουθεῖ μὲν ἡ θεὰ τῷ Τηλεμάχῳ καὶ συμβουλεύει τῷ Ὀδυσσεῖ, ἀλλὰ τοῦτο οὐκ ἀποδείκνυσιν, ὅτι οἱ τῆς Ὀδυσσείας θεοὶ ἠθικώτεροί εἰσι καὶ ἐπὶ ὑψηλοτέρας βαθμῖδος ἵστανται. Διότι ἡ αὐτὴ θεὰ ἐν Ἰλιάδι σοφωτέρας συμβουλὰς δίδωσι τῷ Ἀχιλλεῖ[3]), τῷ Διομήδει[4]) καὶ τῷ Ὀδυσσεῖ[5]). Ἐὰν δὲ παραβάλωμεν τὴν ἐν τῇ Ὀδυσσείᾳ μῖξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης, ἔνθα ὑπὸ τῶν θεῶν τὰ αἴσχιστα διαπράττονται καὶ ἔνθα οἱ θεοὶ ἀναιδῶς γελῶσι καὶ ἀναιδέστερον διαλέγονται[6]), ἐὰν ταῦτα πάντα παραβάλωμεν πρὸς τὴν ἐν τῇ Ἰλιάδι ἀνάμιξιν τῶν θεῶν εἰς τὰς μάχας τῶν ἡρώων, ἀναντιρρήτως ὑψηλοτέραν περὶ τοῦ θείου τῆς Ἰλιάδος ἰδέαν λαμβάνομεν. Ἀλλ' αἱ τοιαῦται διαφοραί, ἐπαναλαμβάνομεν, εἰσί φαινόμεναι μόνον.

Οἱ τὰ ὁμηρικὰ ἔπη παραβαλόντες εὗρον ἐν τούτοις καὶ διαφοράς τινας εἰδήσεων. Ἐν μὲν τῇ Ἰλιάδι ἡ Ἶρις ὡς ἄγγελος τοῦ Διὸς εἰκονίζεται[7]), ἐν δὲ τῇ Ὀδυσσείᾳ ὁ Ἑρμῆς[8]). Ἐν ταύτῃ μὲν ὁ Αἴολος ἐπιμελεῖται τῶν ἀνέμων[9]), ἐν ἐκείνῃ ὅμως ἡ Ἶρις παρακαλεῖ τὸν Βορρᾶν καὶ τὸν Ζέφυρον ὡς αὐτοτελεῖς θεούς, ἵνα τὸ σῶμα τοῦ Πατρόκλου καύσωσιν[10]). Ἐν μὲν τῷ Θ τῆς Ὀδυσσείας ἡ Ἀφροδίτη ἐστὶ σύζυγος τοῦ Ἡφαίστου[11]), ἐν δὲ τῇ Ἰλιάδι ὀνομάζεται μία τῶν Χαρίτων[12]). Τοιαῦται ὅμως διαφοραὶ ἀποδοτέαι τοῖς μύθοις, ὡς ἐν ἀρχῇ τούτου τοῦ βιβλίου εἴρηται. Ἡ δὲ πολυθρύλητος διαφορὰ τῆς γλώσσης τῶν δύο ἐπῶν μᾶλλον λέγεται, ἢ ἀποδείκνυται, οἱ δ' ἐπιχειρήσαντες ἴχνη διαφορᾶς δεῖξαι ἀπέτυχον. Ἐν τοῖς δημοτικοῖς ᾄσμασιν ἡ διάφορος ὑπόθεσις οὕτω τὸν τόνον καὶ τὸ χρῶμα τῆς

---

1) Αὐτόθι 64. Ε 22. 2) Ὀδυσσ. Α 45. Ε 7. 3) Ἰλιάδ. Α 207. 4) Ἰλιάδ. Ε 124. 5) Ἰλιάδ. Β 173. 6) Ὀδυσσ. Θ 326 καὶ 335. 7) Ἰλιάδ. Γ 121. 8) Ὀδυσσ. Ε 28. 9) Ὀδυσσ. Κ 21. 10) Ἰλιάδ. Ψ 199. 11) Ὀδυσσ. Θ 270. 12) Ἰλιάδ. Σ 382.

γλώσσης ἀλλοιοῖ, ὥστε, ἂν μή τις ἄλλοθεν τὴν ταὐτότητα τοῦ ποιητοῦ τῶν διαφόρων ᾀσμάτων γινώσκῃ, δικαίως περὶ ταύτης ἀμφιβάλλει. Διὰ τοῦτο νομίζομεν, ὅτι πρὸ πάσης ἐρεύνης οἱ κριτικοὶ ὀφείλουσιν ἐξετάσαι, πόσον ἡ διαφορὰ ὑποθέσεως ποιήματός τινος τὸ χρῶμα τῆς γλώσσης αὐτοῦ ἀλλοιοῖ. Τελευταῖον οἱ κριτικοὶ τὴν κρείττονα τῆς Ὀδυσσείας ἑνότητα ἐθεώρησαν ὡς ἀπόδειξιν τῆς μεταγενεστέρας τοῦ ἔπους γενέσεως. Ἀλλ' ἡ ὑπόθεσις αὕτη, ὡς ὀρθῶς ὁ Grote[1]) *παρετήρησεν, ἄγει ἡμᾶς εἰς ἄτοπον. Διότι τούτου ὑποτεθέντος τὰ τοῦ ἐπικοῦ κύκλου ἔπη ὤφειλον ἔχειν κρείττονα τῆς Ὀδυσσείας ἑνότητα. Ἀλλὰ τοὐναντίον ἐν τῷ δευτέρῳ βιβλίῳ ἐδείξαμεν, ὅτι ἐκεῖνα πολὺ ἥττονα κατὰ τὴν ἑνότητα τῆς Ὀδυσσείας ἦσαν. Διὰ ταῦτα λοιπὸν νομίζομεν, ὅτι ἡ διαφορὰ τῆς ὕλης ἱκανή ἐστιν, ὅπως τὰς μικρὰς διαφορὰς ἐξηγήσῃ ἢ φαινομένας καὶ ἀπατηλὰς ἀποδείξῃ.*

Ἀλλ' ἆρά γε μόνον τὸ δικαίωμα τοῦ ἀνευρίσκειν διαφορὰς ἔχομεν; Ἆρά γε αἱ ὁμοιότητες οὐκ ἔχουσι βάρος, ὅπως τὴν τοῦ ζητήματος λύσιν πρὸς τὴν ἀντίθετον διεύθυνσιν ἕλξωσιν; Δίκαιος κριτὴς ἑκάτερα σταθμίζει. Ἐν τοῖς ἡγουμένοις πολλὰς καὶ μεγάλας ὁμοιότητας καὶ συμφωνίας ἐδείξαμεν. Παραδείγματος χάριν τὰ προοίμια τῶν δύο ἐπῶν οὕτως ὅμοια πρὸς ἄλληλα εὕρομεν, ὥστε ἕκαστος προχείρως τὴν ταὐτότητα τοῦ ποιητοῦ δύναται εἰκάσαι. Σπουδαῖος δ' ἀναγνώστης ἐν τῇ ἐξετάσει τῶν δύο ἐπῶν ἐνεῖδε μεγίστην ὁμοιότητα. Ὡς ἐν τῇ Ὀδυσσείᾳ ὁ τοῦ Τηλεμάχου καὶ τῶν μνηστήρων μῦθος περιεπλέχθη ἐν τῷ τοῦ Ὀδυσσέως, οὕτως ἐν τῷ τοῦ Ἀχιλλέως διακλαδοῦνται οἱ μῦθοι τῶν ἐν Τροίᾳ μαχομένων ἡρώων. Ὡς ἐν τῇ Ἰλιάδι μεγάλα ἐπεισόδια ἐνυφάνθησαν, οὕτω καὶ ἐν τῇ Ὀδυσσείᾳ. Ὡς ἐκεῖ ὁ Ζεὺς βραδύνει, ἵνα τὴν πρὸς τὴν Θέτιδα ὑπόσχεσιν ἐκπληρώσῃ, οὕτω καὶ ἐνταῦθα βραδέως ἐκτελεῖ τὴν αἴτησιν τῆς Ἀθηνᾶς, ὅπως ὁ Ὀδυσσεὺς εἰς τὴν Ἰθάκην ἀπανέλθῃ. Ὁ αὐτὸς χαρακτὴρ τοῦ Διός, ὁ αὐτὸς τῆς Ἀθηνᾶς, ὁ αὐτὸς τοῦ Ὀδυσσέως, ὁ αὐτὸς τέλος πάν-

1) II, 193.

των τῶν θεῶν καὶ πάντων τῶν ἡρώων. Ἐνταῦθα οὐ δυνάμεθα πάσας τὰς ὁμοιότητας ἀριθμῆσαι. Διότι καὶ τὸ ἔργον ἐστὶν οὐ σμικρὸν καὶ ἕκαστος δύναται ῥαδίως ταύτας διιδεῖν. Ἡ δὲ τοῦ σχεδίου τῶν δύο ἐπῶν ὁμοιότης οὕτω μεγάλη ἐστίν, ὥστε ὁ Otfr. Müller[1]) ἐνόμισεν, ὅτι ὁ Ὅμηρος διέγραψε τὸ τῆς Ὀδυσσείας σχέδιον, καὶ ὅτι κατὰ τοῦτο μαθητής τις αὐτοῦ τὸ ἔπος ἐποίησεν. Ἀρά γε πάντων τούτων ἠδύνατο διάφορος ποιητὴς καὶ ταῦτα διαφόρου αἰῶνος, καθ' ὃν τὰ τῆς διαδόσεως τῶν ἰδεῶν μέσα οὐκ ἦσαν πρόχειρα, οὕτως ἐπιτηδείως ἐπιτυχεῖν, ὥστε πολλοὺς αἰῶνας ἐπλανήθησαν καὶ οἱ τὰ ἐλάχιστα ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ἐρευνήσαντες; Ἀλλά, δύναταί τις εἰπεῖν, πιστεύετε, ὅτι ὁ Ὅμηρος ἀμφότερα τὰ ἔπη ἐποίησεν; Τοῦτο δὴ οἱ πλεῖστοι τῶν κριτικῶν τοῦ ἡμετέρου αἰῶνος ἀρνοῦνται. Ἀρνοῦνται μέν, ἀλλ' αἱ ἀποδείξεις, ἃς φέρουσιν, εἰσὶν ἡμαρτημέναι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Σύνοψις τῶν σπουδαιοτέρων θεωριῶν τοῦ ὁμηρικοῦ ζητήματος.

Ἐν παντὶ τῷ ἡμετέρῳ πονήματι πολλῶν σοφῶν ἀνδρῶν μνημονεύσαντες ἐπειράθημεν, ὅπως τὰ διάφορα τῆς ἱστορίας τῶν ὁμηρικῶν ἐπῶν μέρη διὰ τῆς μαρτυρίας τούτων ἐπικυρώσωμεν. Ὁσάκις δ' ἐνομίσαμεν, ὅτι τὰ ὑπὸ τούτων λεγόμενα ἢ ἀπίθανα ἦσαν ἢ ἡμαρτημένα ἐφαίνοντο, ἔσχομεν τὴν τόλμην, ὅπως ταῦτα κατά γε τὸ ἐφ' ἡμῖν ἀναιρέσωμεν. Ἐπειδὴ ὅμως αἱ θεωρίαι τῶν ἀνδρῶν τούτων κατὰ τὴν ὑπὸ τῆς οἰκονομίας τοῦ ἡμετέρου πονήματος ἀπαιτουμένην θέσιν ἐτάχθησαν, καὶ ἐπειδὴ πλεῖσται ἄλλαι θεωρίαι, καίπερ ἐκ τῶν εἰρημένων αἰτίων ἐκρέουσαι, ὅμως

---

1) Geschichte der griech. Literatur I, 108.

εἰς πολλὰ καὶ ποικίλα συμπεράσματα φθάνουσι, σκόπιμον ἐνομίσαμεν, ἵνα βραχυτάτην περίληψιν τῶν σπουδαιοτέρων θεωριῶν δῶμεν.

Ἐν τοῖς ἔμπροσθεν εἴρηται, ὅτι ἐν τοῖς νεωτέροις χρόνοις πρῶτον μὲν ὁ Vico, εἶτα δ' ὁ Wolf ἐπιστημονικώτερον ἐπειρᾶτο ἀποδεῖξαι, ὅτι τὰ ὑπὸ τὸ ὄνομα τοῦ Ὁμήρου φερόμενα ἔπη ἦσαν προϊὸν οὐχὶ ἑνὸς νοός, ἀλλὰ συλλογὴ συνηρμοσμένων αὐτοτελῶν ᾀσμάτων. Αἱ δὲ αἰτίαι, ἐφ' ὧν ὁ μέγας οὗτος ἀνὴρ ἠρείδετο, ἦσαν ἐξωτερικαί. Ὁ κριτικὸς ἔτυχε πολλῶν ὀπαδῶν καὶ ἡ περὶ τοῦ ζητήματος τούτου ἔρευνα ἴσως μετ' ὀλίγον ἔμελλε παύσασθαι, εἰ μὴ μέγας τις κριτικὸς τοῦ ἡμετέρου αἰῶνος, ὁ Lachmann, ἐπεχείρει, ὅπως τὴν Ἰλιάδα ἀναλύσας ποιητικὰς ἀνωμαλίας καὶ ἴχνη συναρμογῆς μικρῶν ᾀσμάτων δείξῃ. Μετὰ τὴν ἔκδοσιν τῶν παρατηρήσεων τοῦ ἀνδρὸς τούτου ὁ φιλολογικὸς κόσμος οἱονεὶ ἐπιλήσμων τῶν Προλεγομένων τοῦ Wolf γενόμενος τῇ ὑπὸ τούτου χαραχθείσῃ ὁδῷ ἠκολούθησεν. Ἐκ δὲ τῆς ἐποχῆς ταύτης τὸ ὁμηρικὸν ζήτημα ἀλλοίαν φάσιν ἔσχε καὶ δύναταί τις εἰπεῖν, ὅτι ἡ πρὶν ἄπειρος τούτου τοῦ ζητήματος ἔκτασις ἐν τοῖς τελευταίοις χρόνοις περιωρίσθη ἐν τῇ ἐρεύνῃ τῆς ἑνότητος τῆς Ἰλιάδος, ὡσεὶ ἐκ ταύτης ἢ ἐκείνης τῆς λύσεως ἡ ὅλη τοῦ ὁμηρικοῦ ζητήματος λύσις ἐξηρτᾶτο. Οἱ δὲ ἐρευνηταὶ διῃρέθησαν εἰς τρία στρατόπεδα, τοὺς ἄκρους χωρίζοντας ἤτοι τοὺς καλουμένους θηρευτὰς μικρῶν ᾀσμάτων (Kleinliederjäger), τοὺς μέσην τινὰ ὁδὸν θηρεύσαντας, οἵτινες δὴ εἰς πολλὰς τάξεις ὑποδιαιροῦνται, καὶ τοὺς ἄκρους ἑνωτικούς, ὧν ὁ ἀριθμὸς δυστυχῶς ὁσημέραι ἐλαττοῦται. Ἀρχόμεθα τῆς ἀριθμήσεως αὐτῶν κατὰ τὴν εἰρημένην τάξιν. Ἐπειδὴ δὲ τὰ στρατόπεδα περιέχουσι πολυαρίθμους μαχητάς, νομίζομεν, ὅτι οὐκ ἄξια μομφῆς πράττομεν, εἰ τῇ ὁμηρικῇ μεθόδῳ ἑπόμενοι μόνους τοὺς στρατηγοὺς αὐτῶν ὀνόμαζομεν.

Πρὸ τοῦ Lachmann ὁ W. Müller ἐν τῷ συχνάκις ὑφ' ἡμῶν μνημονευθέντι συγγράμματι ἐπειρᾶτο, ἵνα ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν ἐσωτερικὰ ἴχνη συναρμογῆς εὕρῃ, καὶ διεῖλεν, ὡς εἴδομεν, τὴν Ἰλιάδα εἰς τέσσαρα ῥαψῳδικὰ συστή-

ματα[1]). *Ὁ δὲ* B. Thiersch[2]) *ὠνειροπόλει μὲν ἐν τῇ Ὀδυσσείᾳ δώδεκα μέρη, ὅμως δύο μόνον ἐδείκνυε (δηλαδὴ ἔλεγεν, ὅτι δεικνύει). Ὡσαύτως πρὸ τοῦ* Lachmann *ὁ* G. Hermann *τὴν τοῦ* Wolf *θεωρίαν ἀσπασάμενος διεῖλε τὰ ὁμηρικὰ ἔπη εἰς τρεῖς τάξεις, εἰς Προομηρικά, Ὁμηρικά καὶ Μεθομηρικά*[3]). *Ὁ δὲ* Naeke *σχεδόν συγχρόνως τῷ* Lachmann *ὁμοίαν τούτῳ θεωρίαν ἐξέφραζεν*[4]). *Ἀλλ' ὁ* Lachmann *θεωρεῖται τούτου τοῦ στρατοπέδου ἡγεμών, οὗ τὴν θεωρίαν ἐν ἰδιαιτέρῳ κεφαλαίῳ ἐπραγματεύθημεν. Τῷ κριτικῷ τούτῳ ἠκολούθησαν πλεῖστοι σοφοὶ ἄνδρες, ἐν οἷς καὶ ὁ* Cauer, *ὅστις ἐκ μέρους τοῦ Λ καὶ τοῦ Π δημιουργεῖ ᾆσμά τι, τὴν Πατρόκλειαν. Ὁ αὐτὸς ἐν τῷ Ν τῆς Ἰλιάδος εὑρίσκει σύντηξιν δύο ᾀσμάτων τοῦ Ποσειδῶνος. Ἀλλ' αἱ αἰτίαι εἰσὶν οὕτως ἀσθενεῖς καὶ τὸ ἔργον οὕτω τολμηρόν, ὥστε καὶ ὁ σοφὸς* Curtius, *ὅστις τῇ τοῦ* Lachmann *θεωρίᾳ ἕπεται, ἀποδοκιμάζει. Ὁ* Cauer *ποιεῖ τὴν ἑπομένην ἀξιοσημείωτον παρατήρησιν. Ἡ διαφορὰ τῶν θεωριῶν συνίσταται προδήλως οὐχὶ ἐν τῇ ὑπάρξει ἢ μὴ ὑπάρξει ἑνωτικῶν ἐν τῇ Ἰλιάδι στοιχείων, ἀλλ' ἐν τῷ ζητήματι, πῶς ἡ τούτων ὕπαρξις πρέπει ἐξηγηθῆναι. Οἱ μὲν οὐ δύνανται ταύτην ἄλλως ἐξηγῆσαι ἢ διὰ τῆς παραδοχῆς ἑνὸς ποιητοῦ, οἱ δὲ ζητοῦσι τὴν ἀρχὴν τῶν ἑνωτικῶν στοιχείων οὐχὶ ἐν τῷ ποιητῇ αὐτῷ, ἀλλ' ἄλλοθι καὶ οἱ μὲν ἐνταῦθα, οἱ δὲ ἐκεῖ· οἱ μὲν δηλαδὴ εὑρίσκουσι ταύτην ἐν τῇ ἑνότητα ἐχούσῃ μυθικῇ ὕλῃ, οἱ δὲ ἐν τῇ ἐνεργείᾳ τῶν διασκευαστῶν*[5]). *Τῷ* Lachmann *ἠκολούθησε καὶ ὁ* Ad. Holm[6]), *ὅστις πρὸς τοῖς ἄλλοις καὶ τὴν καλλίστην ῥαψῳδίαν τῆς Ἰλιάδος κατεσπάραξεν, καὶ ὅστις οὐδὲ τῆς καλλίστης ὁμηρικῆς φράσεως ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ ἐφείσθη.*

Μετὰ τὴν ἔκδοσιν τῶν Betrachtungen *τοῦ* Lachmann

---

1) Homerische Vorschule, Leipzig 1826, *σελ.* 146. 2) Urgestalt der Odyssee, Königsberg 1821, *σελ.* 125. 3) Opuscula VI, 79. 4) Programm lector. Univ. Bonn. 1838. 5) Ueber die Urform einiger Rhapsodien der Ilias, Berlin 1850. 6) Ad Caroli Lachmanni exemplar de aliquod Iliadis carminum compositione quaeritur, Lübeck 1853.

πολλοὶ τῶν κριτικῶν νομίσαντες, ὅτι ἀκριβὴς τῆς γλώσσης τῶν ὁμηρικῶν ἐπῶν ἐξέτασις ἠδύνατο ἀνακαλύψαι ἴχνη τῆς γενέσεως αὐτῶν, εὐτόλμως καὶ καρτερικῶς εἰς τὸν πολύπονον τοῦτον ἀγῶνα ἀπεδύθησαν. Τούτων οἱ μὲν ἠρεύνησαν τὴν κατασκευὴν τοῦ ὁμηρικοῦ μέτρου, οἱ δὲ τὴν γλῶσσαν. Καὶ δὴ ὁ C. A. Hoffmann [1]) μετὰ μεγάλων πόνων, μόνον ἐν Γερμανίᾳ ἀνεκτῶν, ἐπειράθη, ὅπως ἐκ τῆς διαφορᾶς τοῦ ὁμηρικοῦ μέτρου τὴν διαφορὰν ποιητῶν ἀνιχνεύσῃ. Ὁ ἀνὴρ ἐξετάζει τὰ δυσχερέστερα καὶ μᾶλλον πεπλεγμένα ζητήματα, ὡς τὴν τομὴν τοῦ ὁμηρικοῦ στίχου τὴν χασμῳδίαν, τὸ δίγαμμα καὶ τὰ συγγενῆ τούτοις. Περὶ δὲ τὴν ὁμηρικὴν γλῶσσαν ἠσχολήθησαν ὁ J. Bekker [2]), ὁ Ellendt [3]), ὁ Geppert [4]), ὁ B. Giseke [5]) καὶ ἄλλοι. Ὁ τελευταῖος νομίζει, ὅτι ἐκ τῆς διαφορᾶς τῶν προθέσεων τὴν κατ' ὀλίγον γένεσιν τῆς Ἰλιάδος ἐξάγει. Ἐκτησάμεθα τὸ βιβλίον, ἀλλ' οὐχ εὕρομεν, ὅ, τι ὁ συγγραφεὺς ὑπισχνεῖται. Διότι ἐξετάζει μὲν οὗτος τὰς ἐν τῇ Ἰλιάδι προθέσεις, ὅμως οὐδαμοῦ τὰ ἐκ τῆς ἐρεύνης τούτων ἐξαγόμενα συμπεράσματα παραβάλλει. Ὁ συγγραφεὺς τοῦ ἄλλως πολυπόνου τούτου συγγράμματος δέχεται ὡς πρότερον γεννηθέντα ᾄσματα τὰς ἐν τῇ Ἰλιάδι πρότερον τεθειμένας ῥαψῳδίας! Ἵνα δὲ ἐνταῦθα δι' ἑνὸς μόνου παραδείγματος δείξωμεν τὴν ἀξίαν τοῦ πονήματος, σημειοῦμεν τὴν ἑπομένην τοῦ συγγραφέως παρατήρησιν. Τὸ ἐκ πολέμοιο ἐν μὲν ταῖς πρώταις τῆς Ἰλιάδος ῥαψῳδίαις σπανίως εὕρηται ἐν δὲ τοῖς ἑπομέναις συχνάκις. Ἀλλ', ὅστις ἔτυχεν ἀναγνοὺς τὴν παρατήρησιν, πάραντα ἐξεφώνησεν, ὅτι τοῦτο ἀπῄτει ἡ ὕλη. Ἐν γένει ὁ συγγραφεὺς δείκνυσι μεγάλην τάσιν, ὅπως ἀφαιρῇ καὶ γενικὰ συμπεράσματα ἐξάγῃ. Καὶ πᾶσαι αἱ τοιαῦται ἔρευναι εἰς τοιοῦτον ἀηδὲς τέλος καταλήγουσιν. Πολλοὶ ἐπίστευσαν, ὅτι ἡ ἔρευνα μικρῶν μέν, ῥαδίως ὅμως καταληπτῶν ζητημάτων καὶ μηδε-

---

1) Quaestiones Homericae, Clausth. 1842 καὶ 1848. 2) Monatsbericht der Akad. d. Wiss. 1860, σελ. 101 καὶ Homerische Blätter σελ. 167. 3) Drei Homerische Abhandlungen, Leipzig 1864. 4) Ueber den Ursprung der Homerischen Gesänge II. 5) Die allmälige Entstehung der Gesänge der Ilias aus Unterschieden im Gebrauch der Präpositionen, Göttingen 1853,

μιᾷ διαφορᾷ γνώμης προσιτῶν, ὡς ἡ γλῶσσα καὶ τὸ μέτρον, δύναται δοῦναι ἀντικειμενικὰ τεκμήρια, ἅπερ σπουδαῖα πρὸς λύσιν τοῦ ὁμηρικοῦ ζητήματός εἰσιν. Ὅσοι ὅμως βαθέως εἰς τοιαύτας ἐρεύνας ἐνέκυψαν, μετ' ὀλίγον τὸ παράβολον τῶν τοιούτων ἐρευνῶν κατεῖδον, ὡς πάνυ ὀρθῶς λέγει ὁ σοφὸς ἡμῶν διδάσκαλος, G. Curtius [1]). *Ἡ ὁμολογία αὕτη τοῦ ἀνδρὸς ἔχει μέγα κῦρος. Διότι οὗτος δικαίως ἐν τοῖς δεινοῖς ἐρευνηταῖς τῆς ἑλληνικῆς γλώσσης τίθεται. Ἔτι δὲ σπουδαιοτέρα ἐστὶν ἡ ὁμολογία αὐτοῦ λέγοντος, ὅτι ἡ γλῶσσα καὶ ἡ κατασκευὴ τοῦ μέτρου ἐν ἀμφοτέροις τοῖς ἔπεσίν εἰσι τὰ αὐτά, ὅτι ἡ ὁμηρικὴ γλῶσσα ἔχει χαλαρώτερόν τινα κανόνα ἢ αἱ πλεῖσται ἄλλαι διάλεκτοι καὶ ὅτι αὕτη ἐν μεγίστῳ βαθμῷ κέκτηται τὴν ἰδιότητα ἐκείνην, ἣν ὑγρότητα ὀνομάζουσιν* [2]).

Οἱ κριτικοὶ οἱ εἰς τὴν τάξιν ταύτην ὑπαγόμενοι δίδουσι πολλὰς τοῦ ὁμηρικοῦ ζητήματος λύσεις, ὧν τὰς ἑξῆς δύο σημειοῦμεν. Ὁ Hoffmann [3]) *ἀποφαίνεται, ὅτι ὁ τοῦ Τρωικοῦ πολέμου μῦθος ἦν κοινὸν πολλῶν προδωρικῶν φυλῶν τῶν Ἑλλήνων κτῆμα, ὅπερ μεθ' ἑαυτῶν εἰς τὴν μικρὰν Ἀσίαν παρέλαβον. Ἐν τῇ μετοικήσει ἤδη τὰ ᾄσματα τῶν φυλῶν τούτων ἀνεμιγνύοντο. Ἐν δὲ τῇ μικρᾷ Ἀσίᾳ ἐκτήσαντο ἐγχώριον ἐπαγωγόν* (Interesse). *Ἐν ταῖς ἀποικίαις ἐγένετο ποικίλη τῶν φυλῶν μῖξις. Διὰ τοῦτο ἀφ' ἑνὸς μὲν οἱ μῦθοι ἐγίνοντο γενικώτεροι (διότι οἱ γεννήτορες τῶν φυλῶν ἥρωες εἰς τοὺς ἐξ ἀρχῆς περιωρισμένους κύκλους τῶν μύθων εἰσήρχοντο), ἀφ' ἑτέρου δὲ μέρη τινὰ τοῦ μύθου ἐν ταῖς διαφόροις ἀποικίαις, μάλιστα δὲ μετὰ τὴν ἐν αὐταῖς γενομένην μῖξιν, εἰδικώτερα ἐξεμορφοῦντο. Τὰ μέρη δὲ ταῦτα οἱ ἀοιδοὶ ἐν μορφῇ ᾀσμάτων ἐπραγματεύοντο. Οὕτως ἀνεπτύχθη ἐπική τις τέχνη μεγάλην τελειότητα ἔχουσα. Βραδύτερον οἱ ἀοιδοὶ τῆς μικρᾶς Ἀσίας συνῆλθον εἰς ἑταιρίας. Πρῶτον πιθανῶς οἱ Χῖοι Ὁμηρίδαι.*

---

1) Andeutungen über den gegenwärtigen Stand der Homerischen Frage *σελ.* 33. 2) *Αὐτόθι.* 3) Der gegenwärtige Stand der Untersuchungen über die Einheit der Ilias. *Ἡ διατριβὴ ἐδημοσιεύθη ἐν τῷ* Allgemeine Monatsschrift für Wissenschaft und Literatur 1852, *σελ.* 275—293.

Ἐντεῦθεν μείζων περιορισμὸς ἐν ὡρισμένοις κύκλοις μύθων ἐγένετο καὶ ποιητική τις ἕνωσις τῶν τούτοις τοῖς κύκλοις ἀνηκόντων ᾀσμάτων δυνατὴ κατέστη. Ἐν ἀκμῇ ἔτι τῆς ποιητικῆς δημιουργικῆς δυνάμεως ᾄσματα, ἅπερ ἐξ ἀρχῆς οὐδεμίαν ἄλλην σχέσιν πρὸς ἄλληλα εἶχον, ἢ τὴν τοῦ μύθου, δι' ἐπιτηδείας συναρμογῆς μάλιστα μειζόνων ᾀσμάτων πιθανῶς οὕτω μετ' ἀλλήλων συνεδέοντο, ὥστε μικρότεροι συγκεντρικοὶ ἐν τῷ μείζονι μυθικῷ κύκλῳ ἐμορφοῦντο, ὅπερ ἡ κυρία ἀσχολία τῆς ἑταιρίας τῶν ἀοιδῶν ἦν. Ἡ πρὸς τοιαύτην ὅμως ἕνωσιν ἐνέργεια οὐκ ἔστιν ἱκανὴ πρὸς ἐξήγησιν τῆς δόξης, ἥτις τὸ τοῦ Ὁμήρου ὄνομα περιβάλλει. Ῥιζικὴ δέ τις μόρφωσις ἀρχαιοτέρων ᾀσμάτων μόλις ἐγένετο καὶ ἐκεῖνα τὰ μέρη, ἅπερ ὡς σκοποῦντα τὴν ἕνωσιν ἀρχαιοτέρων δυνάμεθα ἀναγνωρίσαι, εἰσὶν ἧττονα τῶν ὡς ἀρχαιοτέρων θεωρουμένων. Εἰ λοιπὸν τὸ ὄνομα Ὅμηρος ἔχει τὴν σημασίαν τοῦ ἑνωτῆς ἢ συναρμογεὺς καὶ ὡς προσηγορικὸν δυνάμεθα αὐτὸ θεωρῆσαι, ὁ συγγραφεὺς προτιμᾷ νοῆσαι μᾶλλον τὸν ἱδρυτὴν τῆς πρώτης ἢ τῆς ἐπιφανεστέρας ἑταιρίας τῶν ἀοιδῶν παρὰ τὸν ἑνωτὴν τῶν ᾀσμάτων.

Ὁ δὲ σοφὸς Curtius[1]) *ὑποτίθησι πέντε δημιουργικὰ στοιχεῖα, ἐξ ὧν ἡ Ἰλιὰς ἐγένετο τοιαύτη, οἵαν οἱ μετὰ τὸν Πεισίστρατον Ἕλληνες αὐτὴν εἶχον.* 1) *Τὸν μῦθον, ὅστις κατ' ὀλίγον τὴν μορφὴν μικρῶν ᾀσμάτων ἐλάμβανεν. Ταῦτα ὅμως ἦσαν ἀρεστὰ μᾶλλον διὰ τὴν ὕλην ἢ διὰ τὴν μορφήν.* 2) *Τοὺς ποιητάς, οἵτινες ἐκ τῆς μυθικῆς ὕλης σκηνὰς ἐλάμβανον καὶ ταῦτα εἰς ζωηρὰ καὶ τεχνήεντα ᾄσματα μετεμόρφουν. Εἰ ὑπῆρξεν ὁ Ὅμηρος, τοιοῦτός τις ἦν.* 3) *Τοὺς τῶν τοιούτων ποιητῶν μιμητάς, οἵτινες κατὰ τὸν τύπον τῶν γνησίων ἢ τοῦ γνησίου ποιητοῦ ἐξηκολούθουν ᾄδοντες. Τούτων δυνάμεθα νοῆσαι ἑταιρίας ὡς τὴν τῶν Χίων Ὁμηριδῶν. Τὰ ᾄσματα αὐτῶν προσετίθεντο τοῖς γνησίοις, τοῖς ἀρχαιοτέροις δηλαδή, καὶ μεταξὺ τούτων καὶ τῶν νεωτέρων διετυποῦτο μὲν ἐναργεστέρα ἑνότης, ὅμως εἰσέρρεον καὶ ἀντιφάσεις.* 4) *Τοὺς ῥαψῳδούς, ὧν τὰ ἔργα ἰδίως εἰσὶ μετα-*

---

1) Ueber den gegenwärtigen Stand etc. *σελ.* 47.

θέσεις, ἐπικοσμήσεις, διαφθοραὶ καὶ ὑποβαλαί, ὡς ἐν τῷ Β ἡ βουλὴ τῶν γερόντων καὶ ἐν τῷ Λ ἡ τοῦ Νέστορος στωμυλία. 5) Τοὺς διασκευαστάς, οἷς δημιουργικὴν ἐνέργειαν οὐ δυνάμεθα ἀποδοῦναι, εἰ καὶ ἡ τῶν τεσσάρων ἀνδρῶν ἐπιτροπὴ ποικίλας μικρὰς μεταβολὰς ἀναγκαίως ἐποίησεν. Ἀπὸ Πεισιστράτου ἡ Ἰλιὰς ἐγένετο βιβλίον καὶ ὑπέστη ὁμοίαν τύχην τοῖς ἄλλοις βιβλίοις.

Μεταβαίνοντες εἰς τὴν μέσην τάξιν ὀνομάζομεν τὸν συγγραφέα τῆς ἑλληνικῆς ἱστορίας, τὸν Grote[1]), ὅστις, ὡς ἀλλαχοῦ εἴρηται, διεῖλε τὴν Ἰλιάδα εἰς δύο μικρότερα ἔπη, τὴν Ἀχίλλειαν καὶ μικράν τινα Ἰλιάδα. Ὁμοίαν θεωρίαν ἤδη πρὸ αὐτοῦ ὁ W. Müller καὶ ὁ Düntzer[2]) ἐξέφρασαν. Ἐπειδὴ ὅμως ὁ ἱστορικὸς πολλαχοῦ τῆς αὐτοῦ ἱστορίας πρωτότυπον πνεῦμα καὶ εὐφυΐαν δείκνυσιν, ἴσως ὁ Ἄγγλος μηδόλως τοὺς ὑπαινιγμοὺς τῶν δύο εἰρημένων φιλολόγων ἰδὼν ἐμόρφωσε τὴν αὐτοῦ θεωρίαν, ἥτις ἀντίθεσιν πρὸς τὴν ἀτομιστικὴν τῶν Γερμανῶν ποιεῖ. Ὁ ἱστορικὸς νομίζει, ὅτι ἡ νῦν Ἰλιὰς τὸ κατ' ἀρχὰς ἦν Ἀχίλλειά τις, ἧς τὰ στοιχεῖα διετηρήθησαν μέν, ὅμως ἀπ' ἀλλήλων διεχωρίσθησαν. Ἡ Ἀχίλλεια συνίσταται ἐκ τοῦ πρώτου βιβλίου, τοῦ ὀγδόου καὶ τοῦ ἑνδεκάτου μέχρι τοῦ εἰκοστοῦ δευτέρου. Τὰ δὲ βιβλία ἀπὸ τοῦ δευτέρου μέχρι τοῦ ἑβδόμου ὡς καὶ τὸ ἔνατον καὶ δέκατον ὁ ἱστορικὸς τῆς Ἀχιλλείας ἀποκλείει. Διότι ταῦτα, ὡς λέγει, τὴν διήγησιν διατέμνουσι καὶ οὐδὲ τὸ ἐλάχιστον αὐτὴν ὠφελοῦσιν. Διὰ τῆς προσθήκης λοιπὸν τῶν εἰρημένων μερῶν ἡ Ἀχίλλεια εἰς Ἰλιάδα ἐξετάθη. Τὴν θεωρίαν τοῦ Grote ζωηρῶς ὑποστηρίζει ὁ εὐφυὴς Friedländer[3]). Ἡ μέση ὁδὸς παρὰ τοῖς πλείστοις θεωρεῖται προτιμητέα καὶ πρὸς ταύτην συνήθως ῥέπουσιν οἱ σωφρονέστεροι. Ἀλλὰ πολλαὶ μέσαι ὁδοὶ σκολιώτεραι τῶν ἄκρων εἰσίν. Καὶ δή, ἂν τὴν Ἰλιάδα εἰς δύο μικρότερα ἔπη διατάμωμεν, ἐγείρονται πλείονες δυσχέρειαι, ἢ ὅσας ἡ θεωρία τοῦ σοφοῦ ἀνδρὸς προτίθε-

---

1) History of Greece τόμ. II. 2) Homer u. der epische Cyklus 59—64.
3) Die Homerische Kritik von Wolf bis Grote σελ. 28 καὶ ἑξῆς.

ται ἀποσοβῆσαι. Ἡ θεωρία αὕτη κατὰ τὸν Friedländer αἴρει τὴν δυσχέρειαν, ὅτι ἐν τοῖς βιβλίοις ἀπὸ τοῦ δευτέρου μέχρι τοῦ ἑβδόμου βιβλίου ἡ μῆνις τοῦ Ἀχιλλέως καὶ ἡ πρὸς τὴν Θέτιδα ὑπόσχεσις οὐ μνημονεύονται. Τοῦτο ὅμως οὐκ ἔστιν ἀληθές. Διότι ἐν τῷ τμήματι τούτῳ τῆς Ἰλιάδος πολλαχοῦ μνεία τῆς μήνιδος τοῦ ἥρωος γίνεται[1]) καὶ ὁ Ζεὺς πρὸς ἐκπλήρωσιν τῆς ὑποσχέσεως βραδέως μέν (διότι ἀεὶ τὸ θεῖον βραδέως ἐνεργεῖ), ἀλλ' ἀσφαλῶς ἐργάζεται[2]). Πρὸς δέ, ἡ Ἀχίλλεια περιέχει πλείστους στίχους μετὰ τῆς Γροτείου Ἰλιάδος στενῶς συνδεομένους. Οἱ περὶ τὸν Grote συμβουλεύουσιν ἡμῖν, ἵνα τούτους ἀθετήσωμεν. Οἱ στίχοι ὅμως οὗτοι συνδέονται ἀρρήκτως μετὰ πολλῶν ἄλλων τμημάτων. Τούτων δὲ ἀποτεμνομένων ἡ Ἀχίλλεια τοῦ Grote μένει οὕτω μικρά, ὥστε δύναται παραβληθῆναι πρὸς τὰ Λαχμάννεια ᾄσματα, ἅπερ αὐτὸς ὁ ἱστορικὸς ἔψεξεν. Πρὸς τούτοις ἐγείρεται τὸ ζήτημα, διὰ τί ὁ Ἀχιλλεὺς ἐν τῇ μικρᾷ Ἰλιάδι τῆς μάχης οὐ μετέχει. Οὐ δυνάμεθα εἰκάσαι, ὅτι ὁ ἥρως πρὸς λεηλασίαν ἀπῆν. Διότι ὁ Ἕκτωρ οὐκ ἠδύνατο ἔχειν θάρρος πέραν τῶν Σκαιῶν πυλῶν προβῆναι. Ὁ ἀπὼν αἴφνης ἔρχεται. Ὡσαύτως οὐ δύναταί τις ὑποθεῖναι, ὅτι ὁ ἥρως πρὸ τῶν μαχῶν τούτων ἤδη ἐφονεύθη. Διότι οὕτω σπουδαῖον συμβὰν ἔδει μνημονεύεσθαι ἔν γε τῷ τῶν νηῶν καταλόγῳ, ὅστις ὑπ' αὐτοῦ τοῦ Grote ὡς μέλος μεγάλου ὅλου ἐθεωρήθη. Ἐπειδὴ λοιπὸν πᾶσαι αἱ ἄλλαι εἰκασίαι ἀποτυγχάνουσιν, ὑπολείπεται μόνη ἡ ὑπόθεσις, ὅτι ἐν τῇ μικρᾷ Ἰλιάδι ὁ Ἀχιλλεὺς διὰ τὴν μῆνιν τῆς μάχης οὐ μετέχει. Ἀλλ', εἰ ἐν τῇ μεγάλῃ Ἰλιάδι ἄπορόν ἐστιν, ὅτι ἡ μῆνις οὐ μνημονεύεται, ἐν τῇ μικρᾷ τοῦτο ἀποβαίνει ἀπορώτερον. Διότι ἐκεῖ μὲν ἴσως τὸ πρᾶγμα βραδύνει, ἐνταῦθα ὅμως οὐδαμοῦ μνημονεύεται. Ὥστε, εἰ ἡ σπανίως μνημονευομένη μῆνις οὐκ ἐπιτρέπει τὴν τῆς Ἰλιάδος διχοτομίαν, τίνος αὕτη ἐγένετο; Ἴσως διὰ τὰς ἀντιφάσεις. Ἂν ὅμως αἱ ὑπὸ τοῦ Lachmann ἀνα-

---

1) Ἰλιάδ. Β 240, 375 καὶ 685—394. Δ 512. Ε 788. Η 226—230.
2) Ἰλιάδ. Β ἐν ἀρχῇ.

καλυφθεῖσαι ἀντιφάσεις ὄντως ὑπάρχωσιν, αὗται διὰ τῆς διχοτομίας οὐκ ἐξαλείφονται. Διότι καὶ μετὰ ταύτην μένουσιν.

Εἰς τὴν μέσην τάξιν τίθεται καὶ ὁ J. U. Faesi[1]), *ὁ ἐν τοῖς πλείστοις ἀκολουθῶν τῷ* Welcker, *περὶ οὗ ἱκανὰ ἐν τῷ ἡμετέρῳ πονήματι ἐλέχθησαν. Κατὰ τὸν κριτικὸν τοῦτον ὁ Ὅμηρός ἐστιν ὑψηλοτέρου καὶ περιεκτικωτέρου ποιητικοῦ πνεύματος ἄνθρωπος, ὅστις ἡρωικὰ ᾄσματα συνήνωσε καὶ τὴν ἤδη ἐν τούτοις ὑπάρχουσαν συνέχειαν εἰς ποιητικὴν ἑνότητα ἀνύψωσεν. Ὁ ἀνὴρ δέχεται δύο Ὁμήρους (κατ' αὐτὸν τὸ ὄνομα Ὅμηρος προσηγορικόν ἐστι), ὧν ὁ μὲν τὴν Ἰλιάδα, ὁ δὲ τὴν Ὀδύσσειαν συνήνωσεν. Οἱ ἑνωταὶ οὗτοι τοῦ* Faesi *μείζονας ἀξιώσεις τῶν ψιλῶν συλλογέων ἔχοντες πολλὰς ἀνωμαλίας τοῖς συναρμοσθεῖσιν ἔπεσιν ἐπέτρεψαν. Ἀλλὰ τῇ ἀληθείᾳ ἀμφιβάλλομεν, εἰ τοιοῦτοι ἑνωταὶ ἠδύναντο ὀνομασθῆναι ποιηταὶ καὶ ταῦτα ὑψηλοτέρου ποιητικοῦ πνεύματος. Οἱ τοιοῦτοι ἦσαν καὶ ὤφειλον ὀνομασθῆναι διασκευασταὶ καὶ πλέον οὔ. Ὁ δὲ* Sengebusch[2]) *τὰς διαφόρους παραδόσεις περὶ τῆς ἐποχῆς καὶ τῆς πατρίδος τοῦ Ὁμήρου μετ' εὐφυΐας ἐξηγεῖ. Κατ' αὐτὸν οἱ πολῖται τῶν πόλεων, ἐν αἷς ἑταιρίαι ἢ σχολαὶ ἐπικῆς ποιήσεως ἱδρύθησαν, ἔλεγον, ὅτι ὁ Ὅμηρος ἐν τῇ πόλει αὐτῶν ἐγεννήθη κατὰ τὴν ἐποχήν, καθ' ἣν οὗτοι μέτοχοι τῆς ἐπικῆς ποιήσεως ἐγένοντο. Ὁ Ὅμηρος τοῦ* Sengebusch *ἐγεννήθη ἐν Ἀθήναις, μετὰ τῶν Ἰώνων εἰς τὴν μικρὰν Ἀσίαν ἀπερχόμενος καθ' ὁδὸν ἐν Ἴῳ σχολὴν ἐπικῆς ποιήσεως ἵδρυσε καὶ τελευταῖον ἐν Σμύρνῃ ἀπῴκησεν. Ταῦτα πάντα ὁ συγγραφεὺς νομίζει βέβαια, ἐὰν μή τις τὸν Ὅμηρον ἀρνῆται. Τούτου ὅμως γενομένου ὁ ἀνὴρ ἀποφαίνεται, ὅτι εἷς τῶν πολλῶν ποιητῶν ἐκαλεῖτο Ὅμηρος, ἐξ οὗ τὸ ὅλον ὁμηρικὸν γένος τὸ ὄνομα ἔσχεν. Ὁ δὲ* Schömann *ἀφ' ἑνὸς μὲν κλίνει πρὸς τὴν θεωρίαν τοῦ* Lachmann, *ἀφ' ἑτέρου δὲ τὴν ἀπόστασιν αὐτοῦ ἀπὸ τοῦ* Nitzsch *οὐχ εὑρί-*

---

1) *Εἰσαγωγὴ εἰς τὴν Ὀδύσσ. σελ. 3 καὶ εἰς τὴν Ἰλιάδ. σελ. 1.* 2) Homerica dissertatio posterior.

σκει μεγάλην. Κλίνει δὲ πρὸς τὸν Lachmann[1]), καθ' ὅσον πλείστας ἀνωμαλίας καὶ ἀντιφάσεις ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν εὑρίσκει. Εἰ καὶ οὗτος οὐκ ἠδυνήθη ἐν τῇ Ἰλιάδι ἀνακαλύψαι ἠθικοτραγικὴν ἰδέαν, ὡς ὁ Nitzsch, ὅμως ὁμολογεῖ, ὅτι ἡ ἑνότης τῷ ἑνοῦντι ποιητῇ ἐπῆλθεν εἰς τὸν νοῦν, ἀλλὰ βεβαίως ταύτης οὐκ ἐπέτυχεν. Ὡσαύτως ὁμολογεῖ, ὅτι ὁ Ὅμηρος τὰ κρείττονα τῆς Ἰλιάδος μέρη ἐποίησεν, qui meliores Iliadis partes fecit. Νομίζομεν, ὅτι ἐνταῦθα ὀρθῶς ποιοῦντες παραλείπομεν τὴν θεωρίαν τοῦ Bernhardy[2]), ὅστις τῇ μέσῃ τάξει ἀνήκει. Διότι, εἰ εἰς ἀκριβῆ ἐξήγησιν τῆς θεωρίας τούτου εἰσηρχόμεθα, τῇ ἀληθείᾳ ἀνεδεχόμεθα ἄλλην λύσιν ὁμηρικοῦ ζητήματος. Ὁ ἀνὴρ οὕτω γριφωδῶς γράφει, ὥστε οἱ Γερμανοὶ εἰς ὑποθέσεις καταφεύγουσιν, ὅπως τὴν θεωρίαν αὐτοῦ ἑρμηνεύσωσιν.

Εἰς δὲ τὴν τρίτην τάξιν κατατάσσονται οἱ ἄνδρες ἐκεῖνοι, οἵτινες, ἂν μὴ δέχωνται τὸν Ὅμηρον τοιοῦτον, οἷον οἱ ἀρχαῖοι, ὅμως ἥκιστα ἐκείνων ἀφίστανται. Ὁ φιλόπονος καὶ φιλόμηρος Nitzsch, ὅστις διὰ πολλῶν μικρῶν διατριβῶν τὴν τοῦ Wolf θεωρίαν ἐπειράθη ἀναιρέσαι, ἀνέλαβε τὸν ἀγῶνα καὶ κατὰ τοῦ Welcker, Hermann καὶ Lachmann. Ὡς δ' ὁ Lachmann θεωρεῖται ἡγεμὼν τοῦ πρώτου στρατοπέδου, οὕτως ὁ Nitzsch τοῦ τελευταίου. Εἰ καὶ πολλαὶ ἄλλαι ἀπόπειραι σοφῶν ἀνδρῶν ἐγένοντο πρὸς ὑπεράσπισιν τῆς προσωπικῆς τοῦ Ὁμήρου ὑπάρξεως, ὅμως τὸ σύγγραμμα τοῦ ἀνδρὸς τούτου, die Sagenpoesie der Griechen, γεγραμμένον ἐν γλώσσῃ ἐζητημένῃ καὶ τοῖς Γερμανοῖς πολλαχοῦ σκοτεινῇ, δικαίως ὡς τὸ ἐντελέστατον ὅπλον τούτου τοῦ στρατοπέδου θεωρεῖται. Διότι δι' ἰσχυρῶν ἀποδείξεων πολεμεῖ πάντας, ὅσοι τὴν ἐθνικὴν τῶν Ἑλλήνων πεποίθησιν πειρῶνται διασεῖσαι. Παραλείποντες δὲ τὰς ἀποδείξεις αὐτοῦ σημειοῦμεν μόνον, ὅτι ὁ ἀνὴρ πολλὰς ἀνωμαλίας καὶ ἀντιφάσεις τῷ ποιητῇ ἐπιτρέπει καὶ ἄλλας ἀναιρεῖ. Ἐν τῇ Ἰλιάδι ἀνακαλύπτει ἠθικοτραγικὴν ἰδέαν, νο-

---

1) De reticent. Homer. 1853 καὶ Neue Jahrbücher für Philologie und Pädagogik 1854, 69. 2) Grundriss der griech. Literatur 1862 καὶ 1858.

μίζει δηλαδή, ὅτι ὁ ὕψιστος τοῦ κόσμου κυβερνήτης τῇ δικαίᾳ τοῦ Ἀχιλλέως μήνιδι ὑπισχνεῖται τιμωρίαν. Ἀλλὰ τὸ ἀνθρώπινον πάθος φέρει τὴν καθ' ἑαυτὴν δικαίαν μῆνιν εἰς ἀμετρίαν. Διὰ τῆς ἀποκρούσεως δὲ τοῦ ἐξιλὰσμοῦ τῶν Ἀχαιῶν ὁ Ἀχιλλεὺς ἄξιος κολάσεως γενόμενος τιμωρεῖται διὰ τοῦ θανάτου τοῦ Πατρόκλου. Ὁμολογοῦμεν μέν, ὅτι ἐν τῇ ἀκολουθίᾳ τῶν γεγονότων δύναταί τις ἀνακαλύψαι τοιοῦτόν τι, ὅμως ἀμφιβάλλομεν, εἰ τῷ ποιητῇ τῆς Ἰλιάδος ἐπῆλθε τοιαύτη ἠθικοτραγικὴ ἰδέα. Ὁ Ζεὺς ὑπισχνεῖται οὐχὶ τῇ δικαίᾳ τοῦ Ἀχιλλέως μήνιδι τιμωρίαν χάριν δικαιοσύνης, ἀλλ' ἐξ ἀτομικῆς πρὸς τὴν Θέτιδα εὐγνωμοσύνης[1]). *Πρὸς δέ, καὶ μετὰ τὴν ἀπώθησιν τοῦ ἐξιλασμοῦ ὁ Ζεὺς οὐ παύεται πιέζων τοὺς Ἀχαιοὺς καὶ τιμῶν τὸν Ἀχιλλέα, ὅπερ διὰ τῆς ἠθικοτραγικῆς τοῦ* Nitzsch *ἰδέας οὐκ ἐξηγεῖται. Ὁ Ἀπόλλων συνεβάλετο μὲν πρὸς φόνον τοῦ Πατρόκλου, ὅμως οὔτε εἰς τὴν κεφαλὴν τῶν θεῶν, οὔτε εἰς τὴν τῶν ἀνθρώπων ἐπῆλθεν ἡ ἰδέα, ὅτι ὁ ἥρως πρὸς τιμωρίαν τοῦ Ἀχιλλέως ἔπεσεν. Ὁ δὲ* Otfr. Müller[2]) *λέγει, ὅτι οἱ ἀοιδοὶ κατὰ πρῶτον ἐπὶ μακρὸν χρὸνον μικρά τινα ᾄσματα ἐκ τοῦ μεγάλου μυθικοῦ κύκλου ἐποίουν. Ἡ ἡρωικὴ μυθολογία ἐχάραξεν ἤδη τὴν ὁδόν, ἣ ὁ ποιητὴς ὤφειλεν ἀκολουθῆσαι. Διότι αἱ πράξεις τῶν κυριωτέρων ἡρώων ἐσχημάτιζον ἐν αὐτῇ συστήματα. Ἦν δὲ μέγα τι φαινόμενον, εἰ ποιητής τις ἐκ τοῦ ἡρωικοῦ μύθου ἐξέλεγεν ὑπόθεσιν, ἥτις πλὴν τὴν σχέσεως αὐτῆς πρὸς τὰ λοιπὰ τοῦ αὐτοῦ μυθικοῦ κύκλου μέρη ἐν ἑαυτῇ πιθανότητα περιεῖχε καὶ ζωηρὸν ἐπαγωγὸν διήγειρεν. Τοιαύτην ὑπόθεσιν ὁ Ὅμηρος εὗρεν ἐν τῇ μήνιδι τοῦ Ἀχιλλέως καὶ τῷ νόστῳ τοῦ Ὀδυσσέως. Καὶ τῆς μὲν Ἰλιάδος αὐτὸς ὁ Ὅμηρος τό τε σχέδιον διέγραψε καὶ τὰ μέρη ἐποίησεν, τῆς δ' Ὀδυσσείας τὸ μὲν σχέδιον ὀφείλεται τῷ Ὁμήρῳ, ἡ δ' ἐκτέλεσις μαθητῇ τινι αὐτοῦ. Ὁ κριτικὸς ὁμολογεῖ, ὅτι εἰς τὰ ὁμηρικὰ ἔπη εἰσέρρευσε πολλὴ ἀλλοτρία ὕλη, ἣ κατὰ μέγα μέρος τὰς ἀνωμαλίας καὶ ἀντιφάσεις ἀποδίδωσιν. Ὁ Ὅμη-*

---

1) *Ἰλιάδ. Α* 395 *καὶ* 593. 2) Geschichte der griech. Literatur I, 71

ρος τοῦ Müller ἦν Ἴων τὸ γένος ἐκ τῶν οἴκων τῶν ἐκ τῆς Ἐφέσου εἰς τὴν Σμύρνην μετοικησάντων ἐν τῷ χρόνῳ, καθ' ὃν οἱ Ἀχαιοὶ τὸ κύριον στοιχεῖον τοῦ συνοικισμοῦ ἀπετέλουν. Τοῦ στρατοπέδου τούτου μαχητής ἐστι καὶ ὁ Nägelsbach[1]), ὁ θερμότατος τῆς ἀρχαίας κριτικῆς ὑπέρμαχος. Κατὰ τοῦτον ὁ Ὅμηρός ἐστιν ἐκ φύσεως ποιητὴς καὶ ἐν τῇ φύσει τούτου ἡ εὐγενεστάτη τέχνη ἀποκαλύπτεται. Ἐν ᾧ οὗτος τὰ αὐτοῦ ἔπη ποιεῖ, οὐκ ἀκολουθεῖ νόμοις τῆς ἐπικῆς ποιήσεως, ἀλλὰ δημιουργεῖ τούτους. Πρὸ ὀλίγων δ' ἐτῶν ὁ εὐφυὴς Ad. Kiene ἐξέδω τὸ σύγγραμμα, die Composition der Ilias des Homer, ἐν ᾧ τὴν προσωπικὴν τοῦ Ὁμήρου ὕπαρξιν ὁμολογεῖ καὶ περὶ τῆς ἑνότητος τῆς Ἰλιάδος εὐφυῶς πραγματεύεται.

Ἄν τις ἤδη ἀπὸ ὑψηλοτέρας σκοπιᾶς πρὸς τὰ τρία ταῦτα στρατόπεδα ἀπίδῃ, παρατηρεῖ τὰ ἑξῆς. Τὸ μὲν πρῶτον πολλοὺς καὶ μεγάλους πόνους καταβάλλει, ὅπως ποιητικὰς ἀνωμαλίας, ἀντιφάσεις καὶ γλωσσικὰς ἢ μετρικὰς διαφορὰς ἀντιχνεῦσαν κατακερματίσῃ τὰ ὁμηρικὰ ἔπη, ἰδίως δὲ τὴν Ἰλιάδα. Οἱ μαχηταὶ τούτου τοῦ στρατοπέδου λέγουσιν, ὅτι τὸ κάλλος καὶ ἡ τέχνη τῶν ὁμηρικῶν ἐπῶν κεῖνται οὐχὶ ἐν τῇ ἑνότητι αὐτῶν, ἀλλ' ἐν τοῖς μέρεσιν. Οἱ δὲ τοῦ δευτέρου εὑρίσκουσι μὲν οὐ σμικρὰν ἑνότητα ἐν τοῖς ἔπεσιν, ὅμως οὔτε ἐντελῆ, οὔτε πανταχοῦ. Διὰ τοῦτο οἱ μὲν δημιουργοῦσι τερατώδη μικρότερα ἔπη, οἱ δὲ ὀνειροπολοῦσι συναρμογέα μικροτέρων ᾀσμάτων, ὃν Ὅμηρον ὀνομάζουσιν. Οἱ δὲ τοῦ τρίτου εὑρίσκουσι μεγάλην ἑνότητα ἐν τοῖς ὁμηρικοῖς ἔπεσι, τὰς δὲ ἀντιφάσεις ἢ ἐξηγοῦσιν ἢ θεωροῦσι μικρὰς καὶ τῷ ποιητῇ ἐπιτρέπουσιν. Ἐπαινοῦσι δ' οὐ μόνον τὰ μέρη, ἀλλὰ καὶ τὸ ὅλον τῶν ἐπῶν. Ἂν δέ τις ἀριθμήσῃ τοὺς μαχητὰς τῶν τριῶν τούτων στρατοπέδων, ῥᾳδίως εὑρίσκει, ὅτι τὸ πρῶτον ἔν γε τῇ Γερμανίᾳ τοὺς πλείονας κέκτηται, Ἡ αἰτία ὅμως κατὰ τὸ πλεῖστον ἔγκειται ἐν τῇ φύσει τοῦ ἀνθρωπίνου πνεύ-

1) Anmerkungen zur Ilias, Nürnberg 1850 καὶ Homerische Theologie ἐν ἀρχῇ τῆς εἰσαγωγῆς.

ματος καὶ μάλιστα τοῦ φιλολογικοῦ, ὅπερ ἀεὶ τῶν νέων ὀρέγεται καὶ τοῖς νέοις ἀεὶ προστίθεται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τελευταῖον συμπέρασμα.

Ἐν τῷ τελευταίῳ τούτῳ κεφαλαίῳ σκοποῦμεν, ἵνα δι' ὀλίγων λέξεων ἐκφράσωμεν, ὅ, τι ἐν τοῖς ἔμπροσθεν διὰ μακρῶν εἴπομεν, καὶ τὸν τρόπον, καθ' ὃν ἡμεῖς γε νοοῦμεν τὴν τῶν ὁμηρικῶν ἐπῶν γένεσιν, δείξωμεν.

Τὴν ἱστορίαν αὐτῶν εἰς τρεῖς ὅρους διαιρέσαντες καὶ κατὰ τὴν διαίρεσιν ταύτην τὸ ἡμέτερον σύγγραμμα χωρίσαντες κατὰ πρῶτον ἐκρίναμεν τὰς βιογραφίας, αἵτινες τοὺς περὶ Ὁμήρου μύθους περιέχουσι καὶ ἀπεφάνθημεν, ὅτι οὗτοι καταρρέουσιν ἐκ πολὺ προγενεστέρας ἐποχῆς τῆς τοῦ Θεαγένους καὶ τῶν ἄλλων, ὅσοι ἐν τοῖς πρώτοις λέγονται περὶ Ὁμήρου γράψαντες. Ἐπειδὴ δὲ πολλοῖς φαίνεται, ὅτι οἱ περὶ Ὁμήρου μῦθοι τεκμήριον κατὰ τῆς προσωπικοῖς αὐτοῦ ὑπάρξεώς εἰσιν, ἐπειράθημεν, ἵνα τὴν πρόληψιν ταύτην ἀναιρέσωμεν. Εἶτα εἴδομεν, ὅτι αἱ πολλαὶ τοῦ ποιητοῦ πατρίδες οὐ δεικνύουσι προσωποποίησιν περιόδων, καθ' ἃς ἡ ἐπικὴ ποίησις ἤκμαζεν. Διότι ἐδείξαμεν, ὅτι πᾶσαι αἱ δυσχέρειαι αἴρονται, ἐὰν τὴν Σμύρνην ὡς πατρίδα τοῦ ποιητοῦ δεχθῶμεν. Ἐκ πολλῶν δὲ τεκμαιρόμεθα, ὅτι ὁ ποιητὴς τῶν ὁμηρικῶν ἐπῶν ἦν Ἴων. Ὡσαύτως ἀνῃρέσαμεν τὰς εἰκασίας ἐκείνων, οἵτινες διὰ τὰς πολλὰς τοῦ Ὁμήρου ἐποχὰς ταρασσόμενοι πρὸς ἀνάπαυσιν εἰς προσωποποιήσεις καταφεύγουσιν. Ἡ μὲν διαφορὰ τῶν ἐποχῶν ἀπορρέει ἐκ φιλοτιμίας τῶν Ἑλληνίδων πόλεων καὶ ἐξ εἰκασιῶν, ὁ δὲ βίος τοῦ Ὁμήρου οὐ δύναται καταβιβασθῆναι πλέον τῶν τριῶν αἰώνων μετὰ τὰ Τρωικά. Χωροῦντες δ' ἐδείξαμεν, πόσον ἀτυχεῖς ὑπὸ τῶν ἀρχαίων ἐτυ-

μολογίαι τῷ ὀνόματι τοῦ Ὁμήρου ἐδόθησαν καὶ πόσον ἀτυχέστεραι ὑπὸ τῶν νεωτέρων, προσθέντες, ὅτι ἡ ἐτυμολογία οὐ δύναται λῦσαι τὸ ὁμηρικὸν ζήτημα. Πρὸς τούτοις ἀπηλλάξαμεν τὸν ποιητὴν τοῦ μεγίστου ὄγκου τοῦ ἐπικοῦ κύκλου, ὑφ' ὃν ἐπειράθησάν τινες τὸν ποιητὴν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας μέχρι θανάτου καταπιέσαι. Τελευταῖον, ἐπειδὴ οἱ νεώτεροι περὶ τοῦ ὁμηρικοῦ ζητήματος ψηφίζοντες ψέγουσιν ἢ ὀλιγωροῦσι τῆς ψήφου τῶν ἀρχαίων, ἐπειράθημεν, ἵνα τὸ βάρος τῆς ψήφου ἐκείνων σταθμίσωμεν.

Ἀφ' οὗ λοιπὸν ἐν τῷ πρώτῳ βιβλίῳ τὰ κατὰ τὸν Ὅμηρον ἐξητάσαμεν, ἐν τῷ δευτέρῳ διὰ τῆς γραφῆς ἢ ἐν ἐλλείψει ταύτης διὰ τῆς στοματικῆς παραδόσεως τοῦτον μετὰ τῶν ἐπῶν συνεδέσαμεν. Καὶ δὴ εἴδομεν, ὅτι αἱ ἀποδείξεις, ἐφ' ὧν ὁ Wolf *ἠρείδετο, ἀσθενεῖς καὶ ἡμαρτημέναι ἦσαν καὶ ὅτι ἡ τοῦ Ὁμήρου ὕπαρξις οὐκ ἐξαρτᾶται ἐκ τῆς γνώσεως τῆς γραφῆς. Διότι καὶ ἄνευ ταύτης τὰ ὁμηρικὰ ἔπη ἠδύναντο συλληφθῆναι, ποιηθῆναι καὶ διατηρηθῆναι. Εἶτα ἱστορήσαμεν, ὅτι ταῦτα πρῶτοι οἱ Ὁμηρίδαι παρέλαβον καὶ μετὰ τούτους οἱ ῥαψῳδοί, οἵτινες οὐ σμικρὸν ταῦτα διέφθειραν. Πρὸς τούτοις ἐδείξαμεν, ὅτι οὔτε ὁ Πεισίστρατος, οὔτε οἱ περὶ αὐτὸν ἠδύναντο συναρμόσαι αὐτοτελῆ ᾄσματα, ὡς οἱ περὶ τὸν* Wolf *ἐνόμισαν. Οἱ δὲ καλούμενοι διασκευασταὶ οὐ συνεβάλοντο πρὸς ἑνότητα τῶν ἐπῶν, ἀλλὰ μᾶλλον πρὸς διαφθορὰν αὐτῶν. Ἡ δὲ διαφθορὰ προέβαινε καὶ παρὰ τοῖς φιλοσόφοις, σοφισταῖς καὶ ἄλλοις. Εὐτυχῶς ὁ Ἀριστοτέλης ἐξετάσας τὴν ἑνότητα τῶν ὁμηρικῶν ἐπῶν ἀρίστην αὐτὴν κατέδειξεν. Ταύτην δ' οἱ Ἀλεξανδρικοὶ καὶ Περγαμηνοὶ κριτικοὶ μᾶλλον διέσπασαν, ἢ ἐβελτίωσαν. Τελευταῖον εἴπομεν βραχέα καὶ περὶ τῆς ἀγεννήσεως τῶν ὁμηρικῶν σπουδῶν, ἃς τῷ μεγάλῳ* Wolf *ὀφείλομεν.*

Ἐν δὲ τῷ τρίτῳ βιβλίῳ πρῶτον ἐδείξαμεν πολλὰ αἴτια, οἷς ποιητικαὶ ἀνωμαλίαι, εἰ ὄντως ὑπῆρχον, δύνανται ἀποδοθῆναι. Ἀλλὰ καὶ μετὰ τὴν κατάδειξιν τούτων ἐνομίσαμεν σκόπιμον, ἵνα καὶ τὰς πολυθρυλήτους ἀνωμαλίας καὶ ἀντιφάσεις ἐξετάσωμεν. Καὶ δὴ πρῶτον τὰ προοίμια τῶν

ὁμηρικῶν ἐπῶν ἀναλύσαντες εὕρομεν ταῦτα τοσοῦτον περιεκτικά, ὅσον ὁ ποιητὴς κατὰ τὴν φύσιν τῆς ἰδίας ἐποχῆς ἠδύνατο ποιῆσαι. Εἶτα δὲ τὴν ἑνότητα τῆς Ὀδυσσείας κρίναντες εὕρομεν αὐτὴν ἀρίστην. Ἠγέρθησαν μὲν ἀπορίαι τινὲς περὶ τοῦ μύθου τοῦ Τηλεμάχου, ἀλλ', ὡς εἴδομεν, εὐκόλως λύονται. Ἡ δὲ Ἰλιὰς συνέστηκεν ὡς ἐν δέχεται ἄριστα, δηλαδὴ ὅσον ἡ ὕλη ἐπέτρεπεν. Πρὸς δὲ ἐξητάσαμεν καὶ τὰς ἀντιφάσεις, ἃς ὁ Lachmann εὗρεν, ἀλλ' εἴδομεν, ὅτι αὗται ἐκ παρανοήσεως τῶν ὁμηρικῶν ἐπῶν ἀπορρέουσιν. Πρὸς κύρωσιν δὲ τῆς ἑνότητος τῆς τε Ἰλιάδος καὶ Ὀδυσσείας ἐδείξαμεν τὴν τοπογραφικὴν συμφωνίαν καὶ καὶ χρονολογικὴν ἁρμονίαν αὐτῶν. Εἶτα παρεβάλομεν τὰ δύο εἰρημένα ἔπη καὶ ἐκ τῆς παραβολῆς δῆλον ἐγένετο, ὅτι ταῦτα οὔτε χρονολογικῶς ἀπ' ἀλλήλων δύνανται χωρισθῆναι, οὔτε σπουδαία αἰτία ὑπάρχει, ὅπως τὸν ποιητὴν τῆς Ἰλιάδος ἀπὸ τοῦ τῆς Ὀδυσσείας χωρίσωμεν. Τελευταῖον, ὅπως δείξωμεν, ποῦ νῦν τὸ ὁμηρικὸν ζήτημα βαίνει καὶ τίνες λύσεις αὐτῷ δίδονται, διὰ βραχέων τὰς περὶ τούτου θεωρίας ἠριθμήσαμεν.

Μετὰ τὰ εἰρημένα, εἴ τις νομίζει, ὅτι ὁ Ὅμηρος ζῇ καὶ ὅτι παρὰ τὸ δίκαιον κατὰ ζῶντος αἱ τῆς κριτικῆς μάχαιραι ἐπετέθησαν, οὗτος δύναται ἀπαιτῆσαι παρ' ἡμῶν, ἵνα εἴπωμεν (κατὰ τοὺς νόμους τῆς πιθανότητος), πῶς ὁ ποιητὴς ἐπέτυχε τοῦ μεγάλου αὐτοῦ ἔργου. Τὴν ἀπαίτησιν ταύτην ἐκπληροῦντες ἀποκρινόμεθα ὡς ἑξῆς. 1) Οὐ πολὺν μετὰ τὰ Τρωικὰ χρόνον ἐγένοντο ἐν τῇ Ἑλλάδι πολλαὶ μετοικήσεις, ἐν αἷς καὶ ἡ τῶν Δωριέων εἰς τὴν Πελοπόννησον εἰσβολή. Αἱ πιεσθεῖσαι φυλαὶ εἰς τὴν μικρὰν Ἀσίαν μετοικήσασαι παρέλαβον μεθ' ἑαυτῶν τῆς πρώτης αὐτῶν πατρίδος τὰς ἀναμνήσεις, ἐν αἷς καὶ τὰ κατὰ τὸν Τρωικὸν πόλεμον. 2) Ἡ παράδοσις αὕτη καὶ πρὶν μέν, μάλιστα δὲ νῦν μυθικόν τι χρῶμα προσεκτήσατο. 3) Ὑπὸ δὲ τὸν ποιητικὸν τῆς μικρᾶς Ἀσίας οὐρανὸν οἱ μῦθοι οὗτοι μετεμορφοῦντο ὑπὸ τῶν ἀοιδῶν εἰς μικρὰ ᾄσματα, ὧν τὸν τύπον ἐν τῇ Ὀδυσσείᾳ ὁρῶμεν. Οἱ δὲ ἐν τῇ μικρᾷ Ἀσίᾳ Ἕλληνες μετὰ ζωηροῦ ἐνθουσιασμοῦ ἠκροῶντο τῶν ᾀσμάτων, ἐν

οἷς αἱ ἀριστεῖαι καὶ αἱ συμφοραὶ τῶν προγόνων εἰκονίζοντο. 4) Ὁ ἐνθουσιασμὸς ἐνεθάρρυνε τοὺς ἀοιδούς, ὧν ἡ ἀκρόασις κατέστη τοσοῦτον ἀναγκαία, ὅσον ἡ τοῦ τέκτονος καὶ ἰατροῦ. Διὰ τοῦτο ἀνεπτύσσετο ἔξοχος ποιητικὴ τέχνη. 5) Ἀφ' οὗ δ' οἱ ἀοιδοὶ περὶ τὴν ποίησιν μικρῶν ᾀσμάτων ἠσκήθησαν, καὶ εἰς ποίησιν μακροτέρων ᾀσμάτων ἐτρέποντο. Πιθανῶς οὗτοι ἐδανείζοντο ἢ ἐκαρποῦντο τῶν μικροτέρων, παρ' ὧν ἀψόγως ἐλάμβανον φράσεις, στίχους καὶ ὁλόκληρα τμήματα. 6) Οὕτω κατ' ὀλίγον ἡ τῶν ἀοιδῶν ποίησις μετέβαλλε χαρακτῆρα, μέχρις ὅτου οἱ ἀοιδοὶ ποιηταὶ ἐγένοντο. 7) Ὁ δοκιμώτερος τούτων τῶν ποιητῶν, Ἴων τὸ γένος, ὠφεληθεὶς α) ἐκ τοῦ οὔπω μεταμορφωθέντος μύθου, β) ἐκ τῶν μικροτέρων ᾀσμάτων ἢ ποιημάτων, οἷς ἐλευθέρως ὡς ἰδίοις ἐχρήσατο, γ) ἐκ τῆς περὶ τὴν ποίησιν μεγάλης ἀσκήσεως τῆς ἐποχῆς καὶ δ) ἐκ τῆς ἰδίας ἐξόχου φύσεως ἐποίησε τὴν Ἰλιάδα, μετὰ μεγάλης δὲ τῆς πιθανότητος καὶ τὴν Ὀδύσσειαν. 8) Ὁ θεσπέσιος οὗτος ποιητὴς ἐπειράθη, ὅπως τοὺς ἤδη ἑνότητα ἔχοντας μύθους ἐναργέστερον εἰς πρωτεύουσαν ἰδέαν ὑποβάλῃ. Τούτου δ' ὡς ἐνδέχεται μάλιστα ἐπέτυχεν. Καὶ τῆς μὲν Ἰλιάδος ὑπόθεσίς ἐστιν ἡ μῆνις τοῦ Ἀχιλλέως, τῆς δ' Ὀδυσσείας ὁ νόστος τοῦ φερωνύμου ἥρωος. 9) Τὰ ὑπὸ τοῦ Ὁμήρου ποιηθέντα ἔπη παραβαλλόμενα πρὸς ταῦτα, ἅπερ νῦν ἔχομεν, ἴσως ἦσαν μικρότερα μέν, κρείττονα δὲ τὴν ἑνότητα. Ἡ ἐπικὴ ποίησις καὶ ἰδίως ἡ ὁμηρικὴ πολλῶν ὑποβολῶν ἐπιδεκτική ἐστιν. Διότι οὔτε ὁ κατάλογος στρατηγῶν, οὔτε ἡ ἀπαρίθμησις μαχῶν, οὔτε ἡ διήγησις πλανῶν προσθήκας ἀποκρούει. 10) Αἱ ὑποβολαὶ αὗται παρήγαγον μικρὰς ἀνωμαλίας, ἃς οἱ ἀρχαῖοι κριτικοὶ ἐπειράθησαν ἐξαλεῖψαι. Ἀλλὰ δυστυχῶς ἡ ἀγαθὴ πρόθεσις μετεβλήθη εἰς ἀκολασίαν, ἥτις πολλαχῶς τὰ ὁμηρικὰ ἔπη διέφθειρεν.

Τέλος.

Παρατηρηθέντων τυπογραφικῶν ἁμαρτημάτων διόρθωσις.

Σελὶς	Στίχος	Ἀντὶ	ἀνάγνωθι
11	19	τὴ	τὸ
13	13	ἐπκληθεὶς	ἐπικληθεὶς.
22	1	ὁμηρεῖον	Ὁμήρειον
23	9	Ὁμηρεῖον	Ὁμήρειον
25	2	Περὶ τὴν πατρίδα	Περὶ τῆς πατρίδος
28	10	πεμποβόλων	πεμπωβόλων·
34	30	Quam	Quum
37	32	ἡ περὶ	τὸ περὶ
40	35	ἡπομνήμασι	ὑπομνήμασι
42	21	Ρωμαῖον	Ῥωμαῖον
43	30	Ομηρον	Ὅμηρον
44	11	σογχρόνου	συγχρόνους
49	29	εὴφυΐα	εὐφυΐα
71	29	ὑφ ἦν	ὑφ ἣν
74	15	ἡ Ἀθηνᾷ	ἡ Ἀθηνᾶ
77	2	Τηλεγονία	Τηλεγόνεια
81	26	ζητήματος	ζητήματος;
85	31	ὀρῶμεν	ὁρῶμεν
91	20	ὁμήρου	Ὁμήρου
108	26	διά φοραι	διάφοροι
114	11	γρφὴν	γραφὴν
120	6	ἀπηρχαιωμένη	ἀπηρχαιωμένη
174	26	αὐτοτελῆ	αὐτοτελῆ
182	1	Λωριεῖς	Δωριεῖς
221	20	ὑπεμνημάσισε	ὑπεμνημάτισε
225	11	ὁ μαθητὴς τοῦ ὁμηρικοῦ Εὐσταθίου	[Ἡ φράσις κατὰ παραδρομὴν εἰσέρρευσε καὶ ἐξαλειπτέα.]
229	23	τῆς ἐπιστήμη	τῆς ἐπιστήμης
236	19	ἐκκλησιαστικοὶ	ἐκκλησιαστικαὶ
251	27	μῖτος	μίτος
258	31	διηρημένον	διῃρημένον
296	12	μῖτον	μίτον

ΕΝ ΛΕΙΨΙΑι, ΤΥΠΟΙΣ ΟΘΩΝΟΣ ΒΙΓΑΝΔΟΥ.



